ΒΑΡΣΑΝΟΥΦΙΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ
(Α΄ - ΣΚΘ΄)

ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟ - ΜΕΤΑΦΡΑΣΗ - ΣΧΟΛΙΑ
Ἀπὸ τὴν
ΖΑΧΑΡΙΑΔΟΥ ΣΤΑΥΡΟΥΛΑ
Θεολόγο

ΦΙΛΟΚΑΛΙΑ
ΤΩΝ
ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ
10Α

Ἐπόπτης

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΜΕΡΕΤΑΚΗΣ Γ. ΕΛΕΥΘΕΡΙΟΣ, Θεολόγος

ΕΠΕ

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ

«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1988

ΒΑΡΣΑΝΟΥΦΙΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ
(Α΄ – ΣΚΘ΄)

ΕΙΣΑΓΩΓΗ

Ὁ Βαρσανούφιος ἦταν μεγάλος Ἀσκητὴς καὶ συγγραφέας τοῦ στ´ αἰώνα. Καλούμενος ἀπὸ ὅλους ὁ «μέγας γέρων», ἄσκησε ἰσχυρὴ ἐπιρροὴ σὲ συγχρόνους καὶ μεταγενεστέρους. Αἰγύπτιος στὴν καταγωγή, γεννήθηκε στὰ μέσα τοῦ ε´ αἰώνα. Ὅταν ἦρθε γιὰ προσκύνηση τῶν Ἁγίων τόπων, ἐκάρη μοναχὸς ἀπὸ τὸν ἐρημίτη Μάρκελλο, μὲ τὸν ὁποῖο συνεμόνασε. Γιὰ λίγο χρόνο διατέλεσε «περιάκτης» ἢ «ἀκάθιστος», δηλαδὴ ἐλεύθερος, χωρὶς μοναστηριακὸ δεσμὸ καὶ μετακινούμενος μοναχός. Ἂν καὶ δὲν ἦταν ἱερεύς, παρεῖχε ἄφεση ἁμαρτιῶν, καὶ κατέστη περιζήτητος μεταξὺ τῶν ἡγουμένων μοναστηρίων.

Τέλος προσῆλθε στὴ μονὴ τοῦ Σέριδου ποὺ ἦταν στὴ Γάζα, χωρὶς αὐτὸς νὰ τὸν ζητήσει· «Πόσοι ἤθελαν ἡμᾶς τοὺς γέροντας καὶ ἔτρεχον καὶ οὐκ ἐδόθη αὐτοῖς! Καὶ καθημένου αὐτοῦ [τοῦ Σέριδου] ἔπεμψεν ἡμᾶς πρὸς αὐτὸν ὁ Θεὸς καὶ τέκνον γνήσιον ἡμῶν αὐτὸν ἐποίησεν»[1]. Στὴν ἀρχὴ ἔμενε σὲ κελλὶ τῆς μονῆς, τὸ ὁποῖο ἀργότερα παραχώρησε στὸν Ἰωάννη τὸν ἐπικληθέντα Προφήτη, καὶ αὐτὸς ἐγκαταστάθηκε σὲ κάθισμα πάνω ἀπὸ τὴ μονὴ καὶ παρέμεινε ἐκεῖ ἔγκλειστος γιὰ 18 χρόνια. Δὲν δεχόταν οὔτε ἐπίσκοπο οὔτε ἀδελφό, παρὰ μόνο τὸν Σέριδο ποὺ τοῦ ἔφερε ἀρτίδια, κοινωνία καὶ νερό. Ἄλλοτε λησμονοῦσε νὰ φάγει.

Ἡ μόνη ἐπαφή του μὲ τὸν κόσμο ἦταν μὲ ἀποκρίσεις ποὺ δίδονταν σὲ ἐρωτήσεις ἐπισκεπτῶν μέσω τοῦ Σέριδου. Ἐπειδὴ δὲν ἔβγαινε ποτὲ ἀπὸ τὸ κελλὶ καὶ κανεὶς δὲν τὸν ἔβλεπε ἐκτὸς ἀπὸ τὸν ἡγούμενο, κατέστη μυθικὴ προσωπικότητα καὶ σὲ πολλοὺς σχηματίσθηκε ἡ ἐντύπωση ὅτι ἦταν ἀνύπαρκτο πρόσωπο,

---

1. *Ἀπόκρισις 17.* σ. 44,28 ἑ.

καὶ τὶς ἀποκρίσεις τὶς συνέτασσε ὁ Σέριδος. Πρὸς διάλυση αὐτῆς τῆς ἐντυπώσεως δέχθηκε τότε ἀπὸ μία φορὰ τοὺς μοναχοὺς καὶ τοὺς ἔπλυνε τὰ πόδια[2]. Παρὰ τὶς ἀσθένειές του δὲν ἐγκατέλειπε ποτὲ τὸ ἐργόχειρό του.

Δὲν μετεῖχε στὶς δογματικὲς ἔριδες τῆς ἐποχῆς του καὶ κατέκρινε τὴν ἐπίδοση σ' αὐτές. «Οὐαὶ καὶ ἀλαλαὶ τῷ γένει ἡμῶν! Τί ἀφήκαμεν καὶ τί ἐρευνῶμεν!... Οὐρανοὶ φρίττουσι, τί πολυπραγμονοῦσιν ἄνθρωποι. Ἡ γῆ σίεται, πῶς ἐξιχνιᾶσαι θέλουσι τὰ ἀκατάληπτα. Οὐκ ἀπαιτεῖ ἡμᾶς ὁ Θεὸς ταῦτα, ἀλλ' ἁγιασμόν, κάθαρσιν, σιωπὴν καὶ ταπείνωσιν»[3]. Μεταγενέστερα ἐπικράτησε ἡ φήμη ὅτι ἦταν μονοφυσίτης, ἀλλὰ τὴν ἀπέκρουσε ὁ Θεόδωρος ὁ Στουδίτης[4]. Ἡ φήμη αὐτὴ προῆλθε πιθανῶς ἐπειδὴ λέγει σὲ ἀπόκρισή του: «κάτεχε τὴν βασιλικὴν ὁδόν, τὴν πίστιν λέγω τῶν 318 Ἁγίων Πατέρων, εἰς ἣν ἐβαπτίσθης· πάντα γὰρ ἔχει μετ' ἀκριβείας τοῖς νοοῦσι τὸ τέλειον»[5]. Θεωρήθηκε ὅτι ὁ περιορισμὸς σὲ μόνη τὴ σύνοδο τῆς Νίκαιας ἐσήμαινε ἀπόρριψη τῆς συνόδου τῆς Χαλκηδόνας (451) ἡ ὁποία καταδίκασε τὸν Μονοφυσιτισμό. Ἀλλὰ ἡ ἀποσιώπηση αὐτὴ εἶναι προφανῶς ἀποτέλεσμα τῆς διακαοῦς ἐπιθυμίας του ν' ἀποφύγει τὶς δογματικὲς συζητήσεις.

Ὁ μεταγενέστερος βίος του ἀναφέρει ὅτι ἐγκατέλειψε μία φορὰ τὸ κελλί του, γιὰ νὰ ἔρθει στὴν Κωνσταντινούπολη καὶ νὰ μεσιτέψει στὸν Ἰουστινιανὸ γιὰ τοὺς μοναχοὺς τῆς περιοχῆς ποὺ τοὺς κατηγοροῦσαν ὡς ὠριγενιστές.

Μετὰ τὸ θάνατο τοῦ Σέριδου, σὲ βαθειὰ γηρατειά, ἀπομακρύνθηκε τελείως, δὲν δεχόταν πλέον οὔτε τὸν νέο ἡγούμενο, δὲν ἀπαντοῦσε στὶς ἐρωτήσεις καὶ δὲν ἔπαιρνε τροφή. Ὅπως ἦταν φυσικό, πέθανε μετὰ ἀπὸ λίγο χρόνο. Ὁ ἱστορικὸς Εὐάγριος ποὺ ἔγραψε τὸ 594, λέγει ὅτι ἀπὸ 50 ἐτῶν καὶ πλέον δὲν τὸν εἶδε κανένας· ὥστε πιθανὸν νὰ πέθανε τὸ 543.

---

2. *Ἀπόκρισις 61*, σ. 138,1 ἑ.
3. *Ἀπόκρισις 600*.
4. *PG* 88, 1613 καὶ 99,1816.
5. *Ἀπόκρισις 59*, σ. 130–132.

Ἡ μνήμη του ἑορτάζεται στὴν Ἀνατολικὴ Ἐκκλησία στὶς 6 Φεβρουαρίου, καὶ στὴ Δυτικὴ στὶς 11 Ἀπριλίου. Τὸ λείψανό του μεταφέρθηκε ἀπὸ τὴ Γάζα στὸ χωριὸ Ὅρια Ἀπουλίας. Ἀπὸ τὸν Νικόδημο τὸν Ἁγιορείτη συντάχθηκαν πρὸς τιμή του δύο μεγαλυνάρια καὶ δίστιχα[6] καὶ τὸ 1865 συντάχθηκε ὁλόκληρη ἀκολουθία του στὴ μονὴ Παντελεήμονος τοῦ Ἁγίου Ὅρους.

Τὰ μόνα γραπτὰ τοῦ Βαρσανουφίου εἶναι οἱ *Ἀποκρίσεις* του, τὶς ὁποῖες ζητοῦσαν πλήθη ἐπισκεπτῶν, ἰδίως μοναχῶν. Ἐπειδή, ὅπως εἰπώθηκε, οἱ ἐρωτήσεις καὶ ἀποκρίσεις δινόταν μὲ τὸ χέρι τοῦ Σέριδου, μερικοὶ ἐπισκέπτες δίσταζαν λόγῳ συστολῆς νὰ διατυπώσουν τὰ ἐρωτήματά τους. Ἔτσι ἕνας μοναχὸς ἔστειλε ἐρώτηση μὲ συμβολικὲς ἐκφράσεις, πεπεισμένος ὅτι ὁ Γέροντας θὰ ἐννοοῦσε τὰ ὑπονοούμενα. Αὐτὸς τότε ἀπάντησε μὲ ὅμοιο τρόπο· «μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ μηδὲ εἰς τὰ ἀριστερά, ἕως οὗ τὰ δύο ἀμφοτεροδέξια γένηται». Βέβαια ὁ μοναχὸς δὲν κατάλαβε τίποτε καὶ ἔστειλε δεύτερη αἰνιγματικὴ ἐρώτηση· «μόνῳ τῷ νοΐ ἐνθυμηθῇς». Ἡ ἀπόκριση ἦταν· «τὸ μὲν πρῶτόν ἐστι ἐπιζήμιον, τὸ δὲ δεύτερον ὠφέλιμον· καὶ ὅσον ἐπιζήμιόν ἐστι τὸ πρῶτον, τοσοῦτον ὠφελιμώτερον τὸ δεύτερον». Ὁ μοναχὸς ἀναγκάσθηκε πλέον νὰ ἐκφράσει σαφῶς τὸ ἐρώτημά του. Τότε πῆρε ἐπίσης σαφῆ ἀπάντηση καὶ μαζὶ μ' αὐτὴ τὴ συμβουλή· «φανερῶς εἰπέ σου τοὺς λογισμοὺς διὰ τοῦ ἀδελφοῦ ἢ γράψον καὶ οὕτως ἀκούεις»[7].

Τίς ἐρωταποκρίσεις αὐτοῦ συνέλεξε μαζὶ μὲ τὶς τοῦ Ἰωάννη τοῦ προφήτη ὁ Δωρόθεος. Ὁλόκληρη ἡ συλλογὴ περιλαμβάνει 840, ἀπὸ τὶς ὁποῖες οἱ 396 εἶναι τοῦ Βαρσανουφίου, δηλούμενες ὡς «τοῦ μεγάλου Γέροντος», καὶ τοῦ Ἰωάννη 444, δηλούμενες ὡς «τοῦ ἄλλου γέροντος». Ἦταν ταξινομημένες κατὰ χρονολογικὴ σειρὰ ἐρωτήσεων, ἀλλὰ ἐπῆλθαν μεταβολὲς στὴ σειρά. Τὴ συλλογὴ γνώριζε καὶ ἐπαίνεσε ὁ Θεόδωρος ὁ

6. *Συναξαριστὴς Β'* 110, Βενετία 1819.

7. *Ἀπόκρισις 219–223*, σ. 464–470.

Στουδίτης[8]. Ἤδη μεταφράσθηκε στὴ ρωσική, καὶ τμήματα αὐτῆς καὶ σὲ ἄλλες γλῶσσες.

Οἱ ἀποκρίσεις εἶναι συντεταγμένες σὲ ὕφος πλῆρες ρυθμοῦ, εἰκόνων καὶ ἀλληγοριῶν. Ἂν καὶ καταγραφόταν στὰ πλακίδια ἀπὸ τὸν Σέριδο, ἀποδίδουν πλήρως σκέψεις τοῦ Βαρσανουφίου, διότι αὐτὸς ὄχι μόνο ὑπαγόρευε ἀλλὰ καὶ ἔβλεπε τὰ γραφόμενα.

Αὐτὲς ἀποτελοῦν ἑνιαῖο σύνολο σκέψεων, οἱ ὁποῖες ἀποσκοποῦν στὴν καλλιέργεια τῆς συνειδήσεως τοῦ ἔσω ἀνθρώπου. Σὲ μία ἀπὸ αὐτὲς λέγεται· «ἐγράφη σοι ἀπὸ τοῦ Α ἕως τοῦ Ω, ἀπὸ ἀρχαρίου καταστάσεως μέχρι τελείου, ἀπ' ἀρχῆς τῆς ὁδοῦ μέχρι τέλους αὐτῆς, ἀπὸ τοῦ ἐκδύσασθαι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς ἐπιθυμίαις αὐτοῦ μέχρι τοῦ ἐνδύσασθαι τὸν νέον, τὸν κατὰ Θεὸν κτισθέντα»[9].

Ὁ Βαρσανούφιος ἦταν εὐρύνους καὶ βαθύνους, παρέχοντας συμβουλές, ἀφήνει ἐλευθερία στοὺς παραλῆπτες: «οὐκ ἔδησά σε, ἀδελφέ, οὐδὲ ἐντολή σοι δέδωκα, ἀλλὰ γνώμην· ὡς θέλεις οὖν ποίησον»[10]. «Μὴ νομίσητε ὅτι, κἂν ἅγιοι ἦσαν, ὅλα τὰ βάθη τοῦ Θεοῦ γνησίως ἠδυνήθησαν καταλαβεῖν»[11]. Σὲ ζηλωτὴ ποὺ στενοχωριόταν, διότι λόγῳ ἀσθενείας δὲν μποροῦσε νὰ νηστέψει, ἔλεγε· «καὶ περὶ τῆς νηστείας τῆς αἰσθητῆς μὴ λυπηθῇς· οὐδὲν γάρ ἐστιν ἄνευ τῆς πνευματικῆς»[12]. [13].

---

8. *PG* 88, 1615 ἑ.
9. *Ἀπόκρισις 49*, σ. 110.
10. *Ἀπόκρισις 56*, σ. 126.
12. Ἀπόκρισις 173, σ. 368.
13. Ἡ εἰσαγωγὴ αὐτὴ ἑτοιμάσθηκε μὲ βάση τὸ ἄρθρο τοῦ καθηγητοῦ Παν. Κ. Χρήστου στὴν *Ἠθικὴ καὶ Θρησκευτικὴ Ἐγκυκλοπαιδεία*.

ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ

ΒΑΡΣΑΝΟΥΦΙΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ

ΔΙΑΚΟΣΙΕΣ ΕΙΚΟΣΙ ΕΝΝΕΑ ΑΠΑΝΤΗΣΕΙΣ

ΠΟΥ ΑΝΗΚΟΥΝ ΣΕ ΔΙΑΦΟΡΕΣ ΥΠΟΘΕΣΕΙΣ

ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ

ΒΑΡΣΑΝΟΥΦΙΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ

ΑΠΟΚΡΙΣΕΙΣ ΟΚΤΑΚΟΣΙΑΙ ΤΡΙΑΚΟΝΤΑ ΟΚΤΩ

ΔΙΑΦΟΡΟΙΣ ΥΠΟΘΕΣΕΣΙΝ ΑΝΗΚΟΥΣΑΙΣ

Α'

***Ἀπόκρισις** τοῦ μεγάλου Γέροντος πρὸς τὸν ἀπὸ Μηρωσάβης Ἀββᾶν Ἰωάννην, αἰτήσαντα ἐλθεῖν καὶ οἰκῆσαι παρ' αὐτοῖς ἐν τῷ Κοινοβίῳ.*

Γέγραπται ἐν τῷ Ἀποστόλῳ ὅτι, «ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθοῦ, αὐτὸς καὶ τελειώσει ἕως τῆς ἡμέρας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Καὶ πάλιν ὁ Δεσπότης ἡμῶν εἶπε τῷ προσελθόντι αὐτῷ· «εἴ τις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καὶ τῷ γένει, ἔτι δὲ μὴ μισεῖ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής». Δυνατὸν δέ ἐστι τῷ Θεῷ πληρῶσαι ἐφ' ἡμᾶς τὸν λόγον. Ὅτι ἰδοὺ δὴ τί καλὸν καὶ τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Εὔχομαι δὲ ἵνα φθάσῃς τὸ μέτρον τὸ γεγραμμένον ἐν ταῖς Πράξεσιν· ὅτι ὅσοι εἶχον κτήματα, ἐπώλουν καὶ φέροντες τὸ τίμημα τῶν πιπρασκομένων, ἐτίθουν πρὸς τοῖς ποσὶ τῶν Ἀποστόλων.

Κἀγὼ εἰδώς σου τὴν προθυμίαν, κατὰ Θεὸν οὖσαν, εἴπω τῷ ἀγαπητῷ υἱῷ ἡμῶν Σερίδῳ, τῷ μετὰ Θεὸν σκεπάσαντι ἡμᾶς ἀπὸ τῶν ἀνθρώπων (ἐλπίζομεν δὲ εἰς τὸν Θεόν, ὅτι καὶ σὲ

---

3. Λουκᾶ 14,33.
4. Πράξ. 4,34.

ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΜΑΣ

ΒΑΡΣΑΝΟΥΦΙΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ

ΟΚΤΑΚΟΣΙΕΣ ΤΡΙΑΝΤΑΟΚΤΩ ΑΠΑΝΤΗΣΕΙΣ ΠΟΥ ΑΝΗΚΟΥΝ ΣΕ ΔΙΑΦΟΡΕΣ ΥΠΟΘΕΣΕΙΣ

1

Ἀπόκριση τοῦ μεγάλου Γέροντα[1] πρὸς τὸν Ἀββᾶ Ἰωάννη ἀπὸ τὴ Μυρωσάβη, ποὺ ζήτησε νὰ ἔλθει καὶ νὰ μείνει κοντά τους στὸ κοινόβιο.

Ἔχει γραφεῖ στὸν Ἀπόστολο, ὅτι «αὐτὸς ποὺ ἄρχισε ἀνάμεσά σας ἀγαθὸ ἔργο, ὁ ἴδιος καὶ θὰ τὸ τελειώσει μέχρι τὴν ἡμέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[2]. Καὶ πάλι ὁ Δεσπότης μας εἶπε σ' ἐκεῖνον ποὺ τὸν πλησίασε· «ἐὰν κάποιος δὲν ἀπαρνηθεῖ ὅλα τὰ ὑπάρχοντά του, καὶ τὴν οἰκογένεια, καὶ ἀκόμα ἂν δὲν μισεῖ καὶ τὴν ψυχή του, δὲν μπορεῖ νὰ εἶναι μαθητής μου»[3]. Ὁ Θεὸς ἔχει τὴ δύναμη νὰ πραγματοποιήσει τὸ λόγο σ' ἐμᾶς. Διότι τί εἶναι πιὸ καλὸ καὶ πιὸ εὐχάριστο ἀπὸ τὸ νὰ κατοικοῦν οἱ ἀδελφοὶ στὸ ἴδιο μέρος; Ἀλλὰ εὔχομαι νὰ φθάσεις τὸ μέτρο ποὺ εἶναι γραμμένο στὶς Πράξεις· ὅτι δηλαδὴ ὅσοι εἶχαν κτήματα, τὰ πουλοῦσαν καί, φέρνοντας τὰ χρήματα ἀπὸ ἐκεῖνα ποὺ πουλοῦσαν, τὰ τοποθετοῦσαν μπροστὰ στὰ πόδια τῶν Ἀποστόλων[4].

Καὶ ἐγώ, ἐπειδὴ γνωρίζω τὴν προθυμία σου, ποὺ εἶναι σύμφωνη μὲ τὸ θέλημα τοῦ Θεοῦ, θὰ πῶ στὸν ἀγαπητὸ υἱό μας Σέριδο, ὁ ὁποῖος μαζὶ μὲ τὸ Θεὸ μᾶς προστατεύει ἀπὸ τοὺς αν-

1. Μεγάλος Γέροντας λέγεται ὁ Βαρσανούφιος.
2. Φιλ. 1,6.

μεθ' ἡμῶν σκεπάζει), ὅτι, δέξαι τὸν ἀδελφὸν Ἰωάννην μετὰ ἀγάπης πολλῆς, καὶ μὴ διακριθῇς ὅλως. Πρὸ γὰρ δύο ἐτῶν ἀπεκάλυψέ μοι ὁ Θεός, ὅτι μέλλει ἥξειν ἐνταῦθα, καὶ ὅτι πολλοὶ τῶν ἀδελφῶν μέλλουσι συνιέναι πρὸς ἡμᾶς. Καὶ ἐγὼ ἐτήρησα τὴν ἀποκάλυψιν, ἕως οὗ μάθω τί ποιεῖ ὁ Κύριος.

Ὡς οὖν ἐπληρώθη ὁ καιρός, κἀγὼ ἐφανέρωσα ὑμῖν. Καὶ ἐπειδὴ ἐλογίσω, ὅτι ἐξ ὧν φορῶ παρέχω σοι, ἰδοὺ ἐπὶ τοῦ ἀδελφοῦ ἐπῆρα τὸ κουκούλιόν μου ἀπὸ τῆς κεφαλῆς μου, καὶ ἔπεμψά σοι αὐτὸ δι' αὐτοῦ, εἰπών· 'δὸς αὐτῷ καὶ φέρε μοι ἀντ' αὐτοῦ ἄλλο'. Κράτει οὖν τοῦτο ἕως τῆς τελευτῆς σου· μέλλει γὰρ σκεπάσειν σε ἀπὸ πολλῶν κακῶν καὶ πειρασμῶν. Μὴ δώσῃς οὖν αὐτό τινι· ἔστι γὰρ εὐλογία Θεοῦ ἐκ τῶν χειρῶν μου· καὶ σπούδασον τοῦ τελειῶσαί σου τὸ ἔργον, καὶ εὐλυτῶσαι ἀπὸ παντὸς πράγματος, ὡς ἡμεῖς εὐλυτώσαμεν, καὶ κάθου μεθ' ἡμῶν μετὰ ἀμεριμνίας σχολάζων τῷ Θεῷ.

Κἀγὼ Σέριδος λέγω σοι πρᾶγμα θαυμαστόν· ὡς γὰρ ἐλάλησε ταῦτα ὁ Γέρων, ἐλογισάμην ἐν ἐμαυτῷ. 'Πῶς ἔχω κρατῆσαι τοῦ γράψαι ταῦτα; εἰ ἤθελεν ὁ Γέρων, εἶχον ἐνεγκεῖν ὧδε τὸ μέλαν καὶ τὸ χαρτίον, καὶ ἀκοῦσαι ἕνα λόγον καὶ γράψαι'. Καὶ αὐτὸς ἔγνω ἃ ἐλογισάμην, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς πῦρ, καὶ εἶπέ μοι· 'ὕπαγε γράψον, μὴ φοβηθῇς· ἐὰν εἴπω σοι μυρίους λόγους γράψαι, οὔτε περισσόν, οὔτε παρά, ἕως ἑνὸς γράμματος ἀφῇ σε τὸ Πνεῦμα τοῦ Θεοῦ γράψαι αὐτό, οὔτε ἐὰν σὺ θέλῃς· ἀλλ' ὁδηγεῖ τὴν χεῖρά σου πῶς αὐτὰ γράψεις μετὰ ἀκολουθίας.

θρώπους (καὶ ἐλπίζουμε στὸ Θεό, ὅτι θὰ προστατέψει μαζὶ μὲ μᾶς καὶ σένα), δέξου τὸν ἀδελφὸ Ἰωάννη μὲ πολλὴ ἀγάπη καὶ μὴ διστάσεις καθόλου. Διότι πρὶν ἀπὸ δύο χρόνια μοῦ ἀποκάλυψε ὁ Θεός, ὅτι πρόκειται νὰ ἔλθει ἐδῶ, καὶ ὅτι πολλοὶ ἀπὸ τοὺς ἀδελφοὺς πρόκειται νὰ συγκεντρωθοῦν κοντά μας. Καὶ ἐγὼ τήρησα τὴν ἀποκάλυψη ὥς ποὺ νὰ μάθω, τί θὰ κάνει ὁ Κύριος.

Μόλις λοιπὸν πληρώθηκε ὁ καιρός, καὶ ἐγὼ σᾶς τὸ φανέρωσα. Καὶ ἐπειδὴ σκέφθηκες ὅτι ἀπ' ὅσα φορῶ σοῦ δίνω, νὰ λοιπὸν μπροστὰ στὸν ἀδελφὸ πῆρα τὸ κουκούλιό μου ἀπὸ τὸ κεφάλι μου καὶ σοῦ τὸ ἔστειλα μ' αὐτόν, λέγοντάς του· 'Δῶσε το σ' αὐτὸν καὶ φέρε μου ἀντὶ αὐτοῦ ἄλλο'. Κράτησε λοιπὸν αὐτὸ μέχρι τὸ θάνατό σου· διότι πρόκειται νὰ σὲ προστατέψει ἀπὸ πολλὰ κακὰ καὶ πειρασμούς. Καὶ νὰ μὴ τὸ δώσεις σὲ κανένα· διότι εἶναι εὐλογία Θεοῦ ἀπὸ τὰ χέρια μου· καὶ φρόντισε νὰ τελειώσεις τὸ ἔργο σου καὶ ν' ἀπαλλαχθεῖς ἀπὸ κάθε ἐνόχληση, ὅπως ἀπαλλαχθήκαμε καὶ ἐμεῖς, καὶ μεῖνε κοντά μας ἀμέριμνα, συγκεντρώνοντας τὴν ἀφοσίωσή σου στὸ Θεό.

Καὶ ἐγὼ ὁ Σέριδος[5] σοῦ λέγω ἕνα θαυμαστὸ πρᾶγμα· διότι, ὅταν ὁ Γέροντας εἶπε αὐτά, σκέφθηκα μόνος μου. 'Πῶς μπορῶ νὰ συγκρατηθῶ ἀπὸ τὸ νὰ γράψω αὐτὰ τα πράγματα; ἐὰν ἤθελε ὁ Γέροντας, μποροῦσα νὰ φέρω ἐδῶ τὴ μελάνη καὶ τὸ χαρτὶ καὶ ν' ἀκούσω ἕνα λόγο καὶ νὰ τὸν γράψω'. Καὶ αὐτὸς κατάλαβε αὐτὰ ποὺ σκέφθηκα, καὶ ἔλαμψε τὸ πρόσωπό του σὰν φωτιὰ καὶ μοῦ εἶπε· 'Πήγαινε γράψε, μὴ φοβηθεῖς· ἐὰν σοῦ πῶ νὰ γράψεις μύριους λόγους, τὸ Πνεῦμα τοῦ Θεοῦ δὲ θὰ σὲ ἀφήσει νὰ γράφεις οὔτε ἕνα γράμμα περισσότερο ἢ λιγότερο, οὔτε κι ἂν ἐσὺ τὸ θέλεις, ἀλλὰ θὰ ὁδηγεῖ τὸ χέρι σου πῶς νὰ τὰ γράψεις αὐτὰ μὲ τὴ σειρά'.

---

5. Ὁ Σέριδος αὐτὸς ἦταν ἡγούμενος τοῦ κοινοβίου ποὺ βρισκόταν στὴ Γάζα, καὶ πνευματικὸ τέκνο τοῦ μεγάλου Βαρσανουφίου, γιὰ τὸν ὁποῖο ἔκανε καὶ αὐτὲς τὶς ἀπαντήσεις. Τὰ λόγια αὐτὰ εἶναι προσθήκη τοῦ Σέριδου.

Β'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν,*

προμηνύουσα αὐτῷ τὰς διαφόρως ἐσομένας αὐτῷ θλίψεις, καὶ τὴν σωματικὴν ἀσθένειαν καὶ τὴν ἐκ τούτων τῆς ψυχῆς προκοπήν.

Εἰπὲ τῷ ἀδελφῷ Ἰωάννῃ. Στερέωσόν σου τὴν καρδίαν ὡς στερεὰν πέτραν. Πέτραν δὲ λέγω τὴν νοητήν, πρὸς τὸ δύνασθαι ἀκοῦσαι ἃ μέλλω λέγειν· πρόσεχε οὖν σεαυτῷ, μήποτε ἀκούσας τοῦτο ἐπαρθῇς ἐν τῇ καρδίᾳ σου, καὶ ἐκπέσῃς τῆς πνευματικῆς ἐπαγγελίας. Πολοὺς γὰρ ἀπώλεσεν ἡ τύφωσις καὶ τῶν φθασάντων εἰς μέτρον· ἀλλ' ἑτοίμασον σεαυτὸν εἰς εὐχαριστίαν ἐν πᾶσιν, ἀκούσας τοῦ ἁγίου Ἀποστόλου λέγοντος, «ἐν παντὶ εὐχαριστεῖτε»· εἴτε οὖν ἐν θλίψεσιν, εἴτε ἐν ἀνάγκαις ἢ στενοχωρίαις, εἴτε ἐν ἀσθενείαις καὶ κόποις σωματικοῖς, ἐν πᾶσι τοῖς ἐπερχομένοις σοι εὐχαρίστησον τῷ Θεῷ. Ἐλπίζω γὰρ ὅτι καὶ σὺ ἔχεις ἐλθεῖν εἰς κατάπαυσιν αὐτοῦ· «διὰ πολλῶν γὰρ θλίψεων δεῖ ἡμᾶς ἐλθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ».

Μὴ οὖν διστάσῃς τῇ ψυχῇ σου καὶ μὴ ἐκλυθῇς τὴν καρδίαν σου ἔν τινι. Ἀλλὰ μιμνήσκου τοῦ ἀποστολικοῦ λόγου, ὅτι, «εἰ καὶ ὁ ἔξω ἄνθρωπος ἡμῶν φθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέραν ἐξ ἡμέρας». Ἐὰν οὖν μὴ ὑπομείνῃς τὰ πάθη, ἐλθεῖν εἰς τὸν σταυρὸν οὐ δύνασαι· ἐὰν δὲ βαστάσῃς ἐν πρώτοις τὰ πάθη, εἰσέρχῃ εἰς τὸν λιμένα τῆς αὐτοῦ καταπαύσεως, καὶ ἡσυχάζεις λοιπὸν ἐν πολλῇ ἀμεριμνίᾳ, ἔχων τὴν ψυχὴν ἐστερεωμένην καὶ κεκολλημένην τῷ Κυρίῳ διὰ παντός, ἐν πίστει φρουρουμένην, ἐν ἐλπίδι χαίρουσαν, ἐν ἀγάπῃ εὐφραινομένην, ἐν τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ Τριάδι φυλαττομένην καὶ τότε πληρωθήσεται περὶ σοῦ τὸ εἰρημένον· «εὐφρανθήτωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιά-

---

6. Ἠσ. 50,7.
7. Α' Θεσ. 5,18.
8. Πράξ. 14,22.
9. Β' Κορ. 4,16.
10. Ψαλμ. 95,11.

2

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο,

ποὺ τοῦ προμηνύει τὶς διάφορες θλίψεις ποὺ θὰ τοῦ συμβοῦν, τὴ σωματικὴ ἀσθένεια καὶ τὴν προκοπὴ τῆς ψυχῆς ἀπὸ αὐτές.

Πὲς στὸν ἀδελφὸ Ἰωάννη. Στερέωσε τὴν καρδιά σου σὰν στερεὰ πέτρα[6]. Πέτρα ἐννοῶ τὴ νοητή, γιὰ νὰ μπορεῖς νὰ ἀκούσεις αὐτὰ ποὺ πρόκειται νὰ πῶ· πρόσεχε λοιπὸν τὸν ἑαυτό σου, μὴ τυχὸν ἀκούοντας αὐτὸ τὸ πρᾶγμα ὑπερηφανευθεῖ ἡ καρδιά σου καὶ ἐκπέσεις ἀπὸ τὴν πνευματικὴ ἐπαγγελία. Διότι ἡ ἀλαζονεία κατέστρεψε πολλοὺς καὶ ἀπὸ αὐτοὺς ποὺ ἔφθασαν στὸ τέλειο μέτρο· ἑτοίμασε λοιπὸν τὸν ἑαυτό σου νὰ εὐχαριστεῖ ὅλους, ἀκούοντας τὸν ἅγιο Ἀπόστολο ποὺ λέγει· «νὰ εὐχαριστεῖτε σὲ κάθε περίπτωση»[7]. Εἴτε λοιπὸν κατὰ τὶς θλίψεις εἴτε κατὰ τὶς ἀνάγκες ἢ στενοχώριες εἴτε κατὰ τὶς ἀσθένειες καὶ τοὺς σωματικοὺς κόπους, σὲ ὅλα αὐτὰ ποὺ θὰ σοῦ συμβαίνουν νὰ εὐχαριστεῖς τὸ Θεό. Διότι ἐλπίζω ὅτι καὶ ἐσὺ μπορεῖς νὰ φθάσεις στὴν ἀνάπαυσή του· «διότι ἐμεῖς πρέπει νὰ φθάσουμε διὰ μέσου πολλῶν θλίψεων στὴ βασιλεία τοῦ Θεοῦ»[8].

Μὴ νοιώσεις λοιπὸν δισταγμὸ στὴν ψυχή σου καὶ νὰ μὴ παραλύσει ἡ καρδιά σου ὡς πρὸς κάτι. Ἀλλὰ νὰ θυμᾶσαι τὸν Ἀποστολικὸ λόγο ὅτι, «ἂν καὶ ὁ ἐξωτερικὸς ἄνθρωπός μου φθείρεται, ὅμως ὁ ἐσωτερικὸς ἀνακαινίζεται ἡμέρα μὲ τὴν ἡμέρα»[9]. Ἐὰν λοιπὸν δὲν ὑπομείνεις τὰ πάθη, δὲν μπορεῖς νὰ ἔλθεις στὸ σταυρό· ἐὰν ὅμως βαστάξεις πρῶτα τὰ πάθη, θὰ εἰσέλθεις στὸ λιμάνι τῆς ἡσυχίας του καὶ θὰ ἡσυχάζεις στὸ ἑξῆς μὲ πολλὴ ἀμεριμνησία, ἔχοντας τὴν ψυχὴ στερεωμένη καὶ προσκολλημένη στὸν Κύριο γιὰ πάντα, φρουρούμενη μὲ τὴν πίστη, χαιρόμενη μὲ τὴν ἐλπίδα, εὐφραινόμενη μὲ τὴν ἀγάπη καὶ φυλασσόμενη ἀπὸ τὴν ἁγία καὶ ὁμοούσια Τριάδα, καὶ τότε θὰ ἐκπληρωθεῖ ἐκεῖνο ποὺ λέχθηκε γιὰ σένα· «ἂς εὐφρανθοῦν οἱ οὐρανοὶ τοῦ Θεοῦ κι ἂς νοιώσει ἀγαλλίαση ἡ γῆ»[10]. Αὐτὴ εἶναι ἡ

σθω ἡ γῆ»· αὐτὴ γάρ ἐστιν ἡ ἀμέριμνος ζωὴ τοῦ ἀνθρώπου τοῦ Θεοῦ· χαίρει γὰρ ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ ὁ ἅγιον Πνεῦμα ἐπὶ τῇ σωτηρίᾳ τῆς ψυχῆς σου, ἀγαπητέ μου ἀδελφέ.

Γ'

***Ἀπόκρισις** τοῦ ἄλλου γέροντος πρὸς τὸν αὐτὸν αἰτήσαντα αὐτῷ συντυχεῖν.*

Εἰπὲ τῷ ἀδελφῷ, συγχώρησόν μοι διὰ τὸν Κύριον· ὅτι ἐπιθυμῶ σε ἰδεῖν, ἀλλὰ διὰ τὴν τῶν ἄλλων συνείδησιν, οὐχ εὑρίσκω ἐλευθερίαν· συγχαίρω δὲ τῇ ἀγάπῃ σου ἐπὶ ταῖς πεμπομέναις σοι παρὰ τοῦ ἁγίου Γέροντος εὐλογίαις, καὶ μακάριος εἶ τούτων ἀξιωθείς.

Δ'

Πειρασμοῦ κινηθέντος τοῖς μοναχοῖς τοῦ τόπου ἔνθα διῆγεν ὁ Ἀββᾶς Ἰωάννης πρὶν ἐλθεῖν εἰς τὸ κοινόβιον, καὶ μελλούσης κινεῖσθαι ἐκεῖ ταραχῆς ὄντος αὐτοῦ ἐκεῖ, τοῦτο προθεωρήσας ὁ μέγας Γέρων τῷ πνεύματι, γράφει αὐτῷ ταῦτα.

Γράψον τῷ ἀδελφῷ Ἰωάννῃ· ἰδοὺ πέμπω σοι τρεῖς μαρτυρίας ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως καὶ ἀπὸ τῶν Γραφῶν τοῦ ἁγίου Πνεύματος, ἐν αἷς ἐξυπνίζω σου τὸν νοῦν εἰς ἐγρήγορσιν Θεοῦ καὶ εἰς νοήματα τοῦ ἁγίου Πνεύματος, εἰς τὸ γνῶναί σε τὰ περὶ τοῦ ἐνεστῶτος καιροῦ τί ἐστι.

Πρώτη μαρτυρία αὕτη ἐστίν. Εἶπεν ὁ Θεὸς διὰ τοῦ ἁγίου προφήτου Ἡσαΐου· «βάδιζε, λαός μου, εἴσελθε εἰς τὸ ταμεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου».

---

11. Δηλαδὴ τοῦ Ἰωάννη τοῦ Ἡσυχαστῆ, τοῦ ἐπονομαζόμενου Προφήτη, πρὸς τὸν ἴδιο τὸν Ἰωάννη ἀπὸ τὴ Μυρωσάβη. Εἶναι συνοδευτικὴ ἐπιστολὴ τῆς παραπάνω τοῦ Βαρσανούφιου.

ἀμέριμνη ζωὴ τοῦ ἀνθρώπου τοῦ Θεοῦ· διότι ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιο Πνεῦμα χαίρονται γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου, ἀγαπητέ μου ἀδελφέ.

3

Ἀπόκριση τοῦ ἄλλου Γέροντα[11] πρὸς τὸν ἴδιο

ποὺ ζήτησε νὰ τὸν συναντήσει.

Πὲς στὸν ἀδελφό, συγχώρησέ με στὸ ὄνομα τοῦ Κυρίου, ἐπειδὴ ἐπιθυμῶ νὰ σὲ δῶ, ἀλλὰ γιὰ τὴ συνείδηση τῶν ἄλλων, δὲν βρίσκω ἐλευθερία. Συγχαίρω τὴν ἀγάπη σου γιὰ τὶς εὐλογίες ποὺ σοῦ στέλνει ὁ ἅγιος Γέροντας[12] καὶ εἶσαι ἀξιομακάριστος ποὺ ἀξιώθηκες νὰ λάβεις αὐτές.

4

Ἐπειδὴ συνέβηκε πειρασμὸς στοὺς μοναχοὺς τοῦ τόπου ὅπου ζοῦσε ὁ Ἀββᾶς Ἰωάννης πρὶν ἔλθει στὸ κοινόβιο, καὶ ἐπειδὴ ἐπρόκειτο νὰ προκληθεῖ ἐκεῖ ταραχή, ὅσο αὐτὸς ἦταν ἐκεῖ, ὁ μεγάλος Γέροντας, προβλέποντάς το αὐτὸ διὰ τοῦ Πνεύματος, γράφει σ' αὐτὸν αὐτά.

Γράψε στὸν ἀδελφὸ Ἰωάννη· Νὰ σοῦ στέλνω τρεῖς μαρτυρίες ἀπὸ τὴ δύναμη τοῦ Θεοῦ καὶ ἀπὸ τὶς Γραφὲς τοῦ ἁγίου Πνεύματος, μὲ τὶς ὁποῖες σοῦ ἀφυπνίζω τὸν νοῦ, ὥστε νὰ εἶναι ἄγρυπνος πρὸς τὸ Θεὸ καὶ τὰ νοήματα τοῦ ἁγίου Πνεύματος, γιὰ νὰ γνωρίσεις τί εἶναι αὐτὰ τὰ σχετικὰ μὲ τὸν παρόντα καιρό.

Πρώτη μαρτυρία εἶναι αὐτή. Ὁ Θεὸς εἶπε μὲ τὸν ἅγιο προφήτη Ἠσαΐα· «βάδιζε, λαέ μου, καὶ εἴσελθε στὸ ταμεῖο σου, κλεῖσε τὴ θύρα σου, καὶ κρύψου γιὰ λίγο, ὡς ποὺ νὰ περάσει ἡ ὀργὴ τοῦ Κυρίου»[13].

---

12. Ὁ Βαρσανούφιος μὲ τὴν *Ἐπιστολὴ 2*.

13. Ἠσ. 26,20.

Ἡ δὲ δευτέρα μαρτυρία αὕτη ἐστίν· «ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, λέγει Κύριος, κἀγὼ εἰσδέξομαι ὑμᾶς, καὶ ἔσομαι ὑμῖν εἰς Πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος Παντοκράτωρ».

Τρίτη μαρτυρία· «βλέπετε πῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν».

Ἐγὼ δὲ λέγω σοι, τρέχε πρὸς τὰ προκείμενά σοι, καὶ τελείωσόν σου τὸ ἔργον ταχέως, μεμνημένος τοῦ Κυρίου σου, λέγοντος· «οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»· ἐγὼ γὰρ βλέπω τὸν ἡσύχιόν σου βίον, τὸν μένοντά σε ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ε'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν Ἀββᾶ,*

λυπηθέντα ὅτι ἐχρόνισεν ἐλθεῖν ὁ Ἀββᾶς Ἰωάννης, καὶ ἐκ τούτου νομίσαντα ὅτι οὐκ ἔρχεται.

Μὴ ἀθυμήσῃς, τέκνον, μηδὲ λυπηθῇς περὶ τοῦ ἀδελφοῦ ἡμῶν· καὶ γὰρ εἰ καὶ ἄπεστι τῷ σώματι, ἀλλὰ πάρεστι τῷ πνεύματι, καὶ σὺν ἡμῖν ἐστι διὰ παντός· ὁμόψυχος γὰρ ἡμῶν ἐστι, καὶ οὐδὲν αὐτὸν χωρίζει ἀπὸ τῆς ἡμῶν ἀγάπης, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

S'

***Ἐπιστολὴ** τοῦ αὐτοῦ μεγάλου Γέροντος,*

---

14. Β' Κορ. 6,17–18.
15. Ἐφ. 5,15–16.

Ἡ δεύτερη μαρτυρία πάλι εἶναι αὐτή· «βγεῖτε ἀνάμεσα ἀπὸ αὐτοὺς καὶ ἀποχωρισθεῖτε αὐτοὺς καὶ μὴν ἐγγίζετε ἀκάθαρτο, λέγει ὁ Κύριος, καὶ ἐγὼ θὰ σᾶς δεχθῶ καὶ θὰ εἶμαι γιὰ σᾶς ὁ Πατέρας καὶ ἐσεῖς θὰ εἶσθε υἱοί μου καὶ θυγατέρες, λέγει ὁ Κύριος ὁ Παντοκράτωρ»[14].

Τρίτη μαρτυρία εἶναι· «Νὰ προσέχετε πῶς περπατᾶτε, ὄχι σὰν ἄσοφοι, ἀλλὰ σὰν σοφοί, ἐξαγοράζοντας τὸν καιρό, ἐπειδὴ οἱ ἡμέρες εἶναι πονηρές»[15].

Ἐγὼ ὅμως σοῦ λέγω, τρέχε σὲ ὅσα ἔχεις προγραμματισμένα καὶ τελείωσε τὸ ἔργο σου γρήγορα, ἐνθυμούμενος τὸν Κύριό σου ποὺ λέγει· «κανένας ποὺ πιάνει τὸ ἄροτρο καὶ στρέφει τὸ βλέμμα του πρὸς τὰ πίσω, δὲν εἶναι εὐπρόσδεκτος στὴ βασιλεία τῶν οὐρανῶν»[16]· διότι ἐγὼ βλέπω τὴν ἥσυχη ζωή σου, ποὺ εἶναι σύμφωνη μὲ τὶς ἐντολὲς τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

5

Ἀπόκριση τοῦ μεγάλου Γέροντα πρὸς τὸν Ἀββᾶ,

ποὺ λυπήθηκε[17], ἐπειδὴ καθυστέρησε νὰ ἔλθει ὁ Ἀββᾶς Ἰωάννης, καὶ ἀπὸ αὐτὸ ἐνόμισε ὅτι δὲν θὰ ἔλθει.

Μὴ μικροψυχήσεις, τέκνο μου, οὔτε νὰ λυπηθεῖς γιὰ τὸν ἀδελφό μας· διότι, ἂν καὶ εἶναι μακριὰ μὲ τὸ σῶμα, ὅμως παραβρίσκεται ἐδῶ μὲ τὸ πνεῦμα καὶ εἶναι μαζί μας γιὰ πάντα· διότι εἶναι ὁμόψυχός μας καὶ τίποτε δὲν τὸν χωρίζει ἀπὸ τὴν ἀγάπη μας ἀπὸ τώρα καὶ μέχρι τὸν αἰώνα.

6

Ἐπιστολὴ τοῦ ἴδιου μεγάλου Γέροντα,

16. Λουκᾶ 9,62.
17. Δηλαδὴ πρὸς τὸν Ἀββᾶ τῆς μονῆς Σέριδο.

γραφεῖσα πρὸς τὸν Ἀββᾶν Ἰωάννην, ποιοῦντα ἐν τῇ αὐτοῦ χώρᾳ τινὰς χρείας τῷ κοινοβίῳ, καὶ ὀχλούμενον ὑπὸ σωματικοῦ πολέμου.

Γράψον τῷ ἀδέλφῷ, ὡς ἔτι εἶ ἔξω ποιῶν τὸν κόπον σου κατὰ τὴν δύναμίν σου διὰ τὸν Θεὸν καὶ διὰ τὰς ψυχὰς τῶν ἀδελφῶν· μᾶλλον δὲ διὰ τὴν ἡμῶν καὶ σοῦ ἀνάπαυσιν καὶ ἡσυχίαν· ἐὰν γὰρ ἀναπαῶσιν οἱ ἀδελφοὶ καὶ σπεπασθῶσι δι' ἡμῶν, καὶ ἡμεῖς δι' αὐτῶν εὑρίσκομεν τελείαν ἡσυχίαν· καὶ πληροῦται ἐφ' ἡμᾶς ὁ λόγος ὁ γεγραμμένος. «Ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ τετειχισμένη»· κόψον τὰς σχέσεις ὅλας καὶ τὰς προφάσεις ἃς ἔχεις ἕως εἶ ἔξω, καὶ μὴ ἐάσῃς πρόφασιν μηδὲ σχέσιν μετά τινος ἕλκουσάν σε εἰς τὰ ὀπίσω· ἐὰν γὰρ μὴ οὕτως, οὐχ ἡσυχάζεις ἐν τελείᾳ ἡσυχίᾳ· οὕτω γὰρ καὶ ἡμεῖς ἐποιήσαμεν. Ταῦτα οὖν ποιῶν, τελείως ἐλπίζω ὅτι ἡσυχάζεις· καὶ γὰρ μεθ' ἡμῶν σὺν Θεῷ γίνεταί σου ὁ κλῆρος καὶ τὸ μέρος μεθ' ἡμῶν εἰς τὸν αἰῶνα.

Μηδεὶς μάθῃ τέως τὰ γραφόμενά σοι· ποιῶν οὖν τὸν κόπον, ἐὰν κατευοδοθῇ τὸ πρᾶγμα ἔμπροσθέν σου, εὐχαρίστησον τῷ Θεῷ καὶ εὔχου αὐτῷ· τοῦτο γάρ ἐστι τό, «ἐν παντὶ εὐχαριστεῖτε». Καὶ μὴ ἀμελήσωμεν ἀποδοῦναι τὴν εὐχαριστίαν τῷ Θεῷ. Καθὼς ἐκεῖνος περὶ οὗ εἶπας ποτὲ τὴν παραβολήν. Ὅτι ἀπήρχετο εὔξασθαι εἰς τὴν Ἐκκλησίαν οἰκονομηθῆναι τροφήν, καὶ ἀπήντησεν αὐτῷ τις ποτε λέγων, ὅτι 'ἀρίστησον σήμερον μετ' ἐμοῦ, καὶ ὕπαγε εὔξου'· καὶ εἶπεν, 'οὐχ ὑπάγω, τοῦτο γὰρ ἀπηρχόμην αἰτήσασθαι παρὰ τοῦ Θεοῦ'.

Ἀλλ' ἡμεῖς, ἐὰν εὕρωμεν, ἐὰν μὴ εὕρωμεν, τὴν εὐχὴν καὶ τὴν εὐχαριστίαν ἀποδώσωμεν τῷ Θεῷ. Βλέπε δὲ τοῦ βαστάσαι τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματί σου διαπαντός.

---

18. Τὴν ἀπάντηση αὐτὴ γράφει ὁ Ἀββᾶς Βαρσανούφιος πρὸς τὸν ἀπὸ Μυρωσάβης, Ἀββᾶ Ἰωάννη, ποὺ ἦλθε στὸ κοινόβιο, ἔξω ἀπὸ τὸ ὁποῖο ἦταν ἔγκλειστος καὶ ὁ Βαρσανούφιος.

γραμμένη πρὸς τὸν 'Αββᾶ 'Ιωάννη, ποὺ τακτοποιοῦσε στὴ χώρα του κάποιες ἀνάγκες τοῦ κοινοβίου καὶ ἐνοχλοῦνταν ἀπὸ σωματικὸ πόλεμο[18].

Γράψε στὸν ἀδελφό, ὅτι ἀκόμα εἶσαι ἔξω κοπιάζοντας σύμφωνα μὲ τὴ δύναμή σου, γιὰ τὸ Θεὸ καὶ γιὰ τὶς ψυχές τῶν ἀδελφῶν· ἢ καλύτερα γιὰ τὴ δική μας καὶ τὴ δική σου ἀνάπαυση καὶ ἡσυχία· διότι, ἂν ἀναπαυθοῦν οἱ ἀδελφοὶ καὶ προστατευθοῦν ἀπὸ μᾶς καὶ ἐμεῖς ἀπὸ αὐτούς, βρίσκουμε τὴν τέλεια ἡσυχία· καὶ ἐκπληρώνεται σὲ μᾶς ὁ γραμμένος λόγος· «ἀδελφὸς ποὺ βοηθεῖται ἀπὸ ἀδελφὸ μοιάζει μὲ ὀχυρὴ καὶ περιτειχισμένη πόλη»[19]. Κόψε ὅλες τὶς σχέσεις καὶ τὶς προφάσεις ποὺ ἔχεις, ὅσο εἶσαι ἔξω, καὶ μὴ ἀφήσεις πρόφαση οὔτε σχέση μὲ κανέναν ποὺ νὰ σὲ σύρει πρὸς τὰ πίσω· διότι, ἐὰν δὲν συμβαίνει αὐτό, δὲν ἡσυχάζεις μὲ τέλεια ἡσυχία· τὸ ἴδιο κάναμε καὶ ἐμεῖς. Κάνοντας λοιπὸν αὐτὰ ἐλπίζω ὅτι θὰ ἡσυχάσεις τέλεια· διότι ἔτσι γίνεσαι συγκληρονόμος μας μὲ τὸ Θεὸ καὶ τὸ μερίδιό σου θὰ εἶναι μαζί μας στὸν αἰώνα[20].

Κανένας νὰ μὴ μάθει ἕως τότε τὰ γραφόμενα πρὸς ἐσένα· κάνε λοιπὸν τὸν κόπο, ἐὰν κατευοδοθεῖ τὸ πρᾶγμα μπροστά σου, εὐχαρίστησε τὸ Θεὸ καὶ προσευχήσου σ' αὐτόν· διότι αὐτὸ σημαίνει τὸ «νὰ εὐχαριστεῖτε γιὰ ὅλα τὸ Θεό»[21]. Καὶ νὰ μὴ ἀμελήσουμε νὰ ἀποδώσουμε τὴν εὐχαριστία στὸ Θεό, ὅπως ἐκεῖνος γιὰ τὸν ὁποῖο εἶπες κάποτε τὴν παραβολή· ὅτι πήγαινε νὰ προσευχηθεῖ στὴν ἐκκλησία πρὸς ἐξοικονόμηση τροφῆς, καὶ τὸν συνάντησε τότεε κάποιος καὶ τοῦ εἶπε, 'γευμάτισε σήμερα μαζί μου καὶ πήγαινε νὰ προσευχηθεῖς'· καὶ εἶπε, 'δὲ θὰ πάω, διότι αὐτὸ πήγαινα νὰ ζητήσω ἀπὸ τὸ Θεό'.

'Αλλὰ ἐμεῖς εἴτε βροῦμε εἴτε δὲ βροῦμε, ἂς προσφέρουμε τὴν προσευχὴ καὶ τὴν εὐχαριστία μας στὸ Θεό. Καὶ πρόσεχε νὰ κρατᾶς γιὰ πάντα τὴ νέκρωση τοῦ 'Ιησοῦ στὸ σῶμα σου[22].

---

19. Παρ. 18,19.
20. Β' Κορ. 4,10.
21. Α' Θεσ. 5,18.

Ζʹ

Ἀπόκρισις τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν μέλλοντα ἀπέρχεσθαι μετὰ τῶν ἀδελφῶν συλλέξαι ἐργόχειρον, καὶ φοβηθέντα τὴν ἐρημίαν τῶν τόπων. Καὶ ὑπόμνησις τοῦ νήφειν αὐτὸν πρὸς τὸν παρενοχλοῦντα αὐτῷ σωματικὸν πόλεμον. Καὶ ἐπαγγελία τῆς τοῦ Θεοῦ συνεργείας πρὸς τὴν σπουδαζομένην αὐτῷ πρὸς αὐτοὺς ἀναχώρησιν.

Εἰπὲ τῷ διὰ τοῦ ἄνωθεν θείου νεύματος κληθέντι πρὸς ἡμᾶς οἰκῆσαι, οὐ μόνον ἐν τῷ νῦν αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, ἀδελφῷ ἡμῶν γνησίῳ καὶ ὁμοψύχῳ Ἰωάννῃ. Εἶπεν ὁ δεσπότης ἡμῶν Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς· «οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τῆς γῆς, ἄνευ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς ἠριθμημέναι εἰσί· μὴ οὖν φοβηθῆτε, πολλῶν στρουθίων διαφέρετε ὑμεῖς· πᾶς οὖν ὅς τις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς».

Πρόσεχε οὖν σεαυτῷ νηφαλέως θεῖναι τὸν Θεὸν ἔμπροσθέν σου διὰ παντός, ἵνα καὶ περὶ σοῦ πληρωθῇ ὁ προφητικὸς λόγος, «προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ». Ἔκτεινον οὖν τὰς χεῖράς σου ἐξ ὅλης σου τῆς ψυχῆς ἐπὶ τὰ προκείμενά σοι· καὶ ἐν τούτοις μελέτησον διὰ παντός, ὅπως ἀκούσῃς τῆς φωνῆς τοῦ Θεοῦ πρὸς σὲ λεγούσης· «ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου».

Ηʹ

Ὁ αὐτὸς ἱκανῶς κοπωθεὶς καὶ μὴ εὑρὼν ἐργόχειρον ἐλυπεῖτο

22. Βʹ Κορ. 4,10.
23. Ματθ. 10,29–31, Λουκᾶ 12,6–7.

7

Ἀπόκριση τοῦ μεγάλου Γέροντα πρὸς τὸν ἴδιο,

ποὺ ἐπρόκειτο νὰ φύγει μὲ τοὺς ἀδελφοὺς γιὰ νὰ μαζέψουν ἐργόχειρα καὶ φοβήθηκε τὴν ἐρημία τῶν τόπων. Ἐπίσης ὑπενθύμηση νὰ εἶναι ἄγρυπνος ἀπέναντι στὸν σωματικὸ πόλεμο ποὺ τὸν ἐνοχλεῖ, καθὼς καὶ ὑπόσχεση τῆς βοήθειας τοῦ Θεοῦ γιὰ τὴν ἑτοιμαζόμενη ἀναχώρησή του πρὸς αὐτούς.

Πὲς σ' ἐκεῖνον ποὺ κλήθηκε μὲ τὸ ἄνωθεν θεῖο νεῦμα νὰ κατοικήσει κοντά μας, ὄχι μόνο τώρα, ἀλλὰ καὶ στὸ μέλλον, στὸν γνήσιο καὶ ὁμόψυχο ἀδελφὸ Ἰωάννη. Ὁ Δεσπότης μας Χριστὸς εἶπε στοὺς μαθητές του· «δὲν πωλοῦνται δύο σπουργίτια γιὰ ἕνα ἀσσάριο; καὶ ὅμως οὔτε ἕνα ἀπὸ αὐτὰ δὲν πέφτει στὴ γῆ, χωρὶς τὴ θέληση τοῦ οὐράνιου Πατέρα μου. Σὲ σᾶς ὅμως καὶ οἱ τρίχες τῆς κεφαλῆς εἶναι μετρημένες. Μὴ φοβηθεῖτε λοιπόν, διότι ἔχετε μεγαλύτερη ἀξία ἀπὸ πολλὰ σπουργίτια. Ἐκεῖνος λοιπὸν ποὺ θὰ μὲ ἀναγνωρίσει μπροστὰ στοὺς ἀνθρώπους, καὶ ἐγὼ θὰ τὸν ἀναγνωρίσω μπροστὰ στὸν Πατέρα μου τὸν οὐράνιο»[23].

Πρόσεχε λοιπὸν νὰ ἔχεις μὲ ἐπαγρύπνηση τὸ Θεὸ μπροστά σου γιὰ πάντα, γιὰ νὰ ἐκπληρωθεῖ καὶ γιὰ σένα ὁ προφητικὸς λόγος, «ἔβλεπα μπροστά μου τὸν Κύριο γιὰ πάντα, ὅτι βρίσκεται δεξιά μου, γιὰ νὰ μὴ κλονισθῶ»[24]. Ἅπλωσε λοιπὸν τὰ χέρια σου μὲ ὅλη τὴν ψυχή σου πρὸς αὐτὰ ποὺ βρίσκονται μπροστά σου καὶ μελέτα πάντα αὐτά, γιὰ ν' ἀκούσεις τὴ φωνὴ τοῦ Θεοῦ νὰ σοῦ λέγει· «νά, σοῦ στέλνω τὸν ἄγγελό μου πρὶν ἀπὸ σένα, ὁ ὁποῖος θὰ σοῦ ἑτοιμάσει τὸ δρόμο σου μπροστά σου»[25].

8

Ὁ ἴδιος[26], ἐπειδὴ κουράσθηκε ἀρκετὰ καὶ δὲν βρῆκε ἐργόχειρο,

24. Πράξ. 2,25. 25. Ματθ. 11,10. 26. Δηλαδὴ ὁ Ἰωάννης.

καὶ ἐθαύμαζε, πῶς κατὰ τὸν λόγον τοῦ Γέροντος «οὐκ ἐπέμφθη ὁ ἄγγελος πρὸς προσώπου αὐτοῦ»· μὴ εἰδὼς ὅτι τοῦτο ἐρρέθη αὐτῷ πρὸς τὴν εὐλυσίαν τῆς ἀναχωρήσεως· καὶ διὰ τοῦτο γράφει αὐτῷ ὁ Γέρων ταῦτα.

Γράψον τῷ ἀδελφῷ, ὅσον ἐστὶ τὸ πλοῖον ἐν τῇ θαλάσσῃ, ἐκδέχεται κινδύνους καὶ προσβολὴν ἀνέμων. Ἐὰν δὲ φθάσῃ εἰς τὸν τῆς ἡσυχίας λιμένα καὶ τὸν τῆς εἰρήνης, οὐκ ἔτι ἔχει φόβον κινδύνων καὶ θλίψεων καὶ προσβολῶν ἀνέμων, ἀλλ' ἐν γαλήνῃ ἔσται· οὕτω καὶ ἡ ἀγάπη σου, ὅσον εἶ μετὰ τῶν ἀνθρώπων, προσδόκησον θλίψεις καὶ κινδύνους καὶ προσβολὴν τῶν νοητῶν ἀνέμων, ὅταν δὲ φθάσῃς εἰς τὰ ἡτοιμασμένα σοι, τότε ἄφοβος ἔσῃ.

Περὶ δὲ οὗ προεῖπον, ὅτι εἶπεν ὁ Δεσπότης ἡμῶν, ὅτι «ἰδοὺ ἀποστελῶ τὸν ἄγγελόν μου πρὸ προσώπου σου», ἐπέμφθη. Περὶ δὲ τοῦ μὴ εὑρεῖν ἐργόχειρον, εἶπεν ὁ Θεὸς ἐν τῷ μωσαϊκῷ βιβλίῳ· «διὰ τοῦτο ἐκύκλωσέ σε καὶ ἐπαίδευσέ σε καὶ ἐλιμογχόνησέ σε ἐν τῇ ἐρήμῳ ἐκείνῃ τῇ φοβερᾷ, γνῶναι τὰ ἐν τῇ καρδίᾳ σου».

Νόησον τὰ λεγόμενά σοι παρ' ἐμοῦ καὶ ἑδραίως κάμε καὶ ἀδιστάκτως, ἀγαπητὲ ἀδελφέ.

Θ'

***Ἐπιστολὴ** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς αὐτὸν*

ἀπελθόντα εἰς ἀπόκρισιν τοῦ κοινοβίου, καὶ διὰ τὸ πολλὴν εὑρεῖν θλῖψιν ὀλιγωρήσαντα.

Γράψον, τέκνον, τῷ ἀδελφῷ ἡμῶν Ἰωάννῃ ἀσπασμὸν ἐν Κυρίῳ, ἐξ ἐμοῦ καὶ σοῦ καὶ τοῦ ἀδελφοῦ ἡμῶν Ἰωάννου καὶ εἰπὲ αὐτῷ· 'μὴ ἐκκακήσῃς ἐν ταῖς θλίψεσι καὶ τοῖς σωματικοῖς πόνοις, οὓς ὑπομένεις καὶ κοπιᾷς δι' ἡμᾶς

---

27. Ματθ. 11,10.

στενοχωριόταν καὶ ἀποροῦσε, πῶς, σύμφωνα μὲ τὰ λόγια τοῦ Γέροντα, «δὲν στάλθηκε ὁ ἄγγελος μπροστά του», μὴ γνωρίζοντας ὅτι αὐτὸ τοῦ ἐλέχθηκε γιὰ τὴν εὐκολία τῆς ἀναχωρήσεως· καὶ γι' αὐτὸ ὁ Γέροντας τοῦ γράφει αὐτά.

Γράψε στὸν ἀδελφό σου ὅτι, ὅσο τὸ πλοῖο βρίσκεται μέσα στὴ θάλασσα, δέχεται κινδύνους καὶ προσβολὴ ἀνέμων. Ἐὰν ὅμως φθάσει στὸ λιμάνι τῆς ἡσυχίας καὶ τῆς εἰρήνης, δὲν ἔχει πιὰ φόβο κινδύνων καὶ θλίψεων καὶ προσβολῶν ἀνέμων, ἀλλὰ βρίσκεται σὲ γαλήνη. Τὸ ἴδιο καὶ ἡ ἀγάπη σου, ὅσο ζεῖς μαζὶ μὲ τοὺς ἀνθρώπους νὰ περιμένεις θλίψεις καὶ κινδύνους καὶ προσβολὴ τῶν νοητῶν ἀνέμων, ὅταν ὅμως φθάσεις σ' ἐκεῖνα ποὺ ἑτοιμάσθηκαν γιὰ σένα, τότε θὰ γίνεις ἄφοβος.

Ὅσο γιὰ ἐκεῖνο ποὺ προεῖπα, ὅτι ὁ Δεσπότης μας εἶπε, «νά, σοῦ στέλνω τὸν ἄγγελό μου πρὶν ἀπὸ σένα»[27], στάλθηκε. Γιὰ τὸ ὅτι πάλι δὲν βρῆκες ἐργόχειρο, ὁ Θεὸς εἶπε στὸ μωσαϊκὸ βιβλίο· «γι' αὐτὸ σὲ περικύκλωσε καὶ σὲ παίδευσε καὶ σὲ διέφθειρε μὲ ἀσθένεια σ' ἐκείνη τὴ φοβερὴ ἔρημο, γιὰ νὰ γνωρίσει αὐτὰ ποὺ ἔχεις στὴ καρδιά σου»[28].

Σκέψου τὰ λεγόμενά μου πρὸς ἐσένα καὶ ἐνήργησε σταθερὰ καὶ ἀδίστακτα, ἀγαπητὲ ἀδελφέ.

9

Ἐπιστολὴ τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς αὐτόν,

ὅταν ἐπῆγε γιὰ ὑπηρεσία τοῦ κοινοβίου καὶ ὀλιγώρησε, ἐπειδὴ βρῆκε πολλὴ θλίψη.

Γράψε, τέκνο, στὸν ἀδελφό μας Ἰωάννη χαιρετισμὸ ἐν Κυρίῳ, ἀπὸ ἐμένα καὶ σένα καὶ ἀπὸ τὸν ἀδελφό μας Ἰωάννη, καὶ πές του· 'Μὴ δυσαναςχετήσεις στὶς θλίψεις καὶ στοὺς σωματικοὺς κόπους ποὺ ὑπομένεις καὶ κοπιάζεις

28. Δευτ. 8,3.

καὶ διὰ τὸ ἡμῶν κοινόβιον· ἔστι γὰρ καὶ τοῦτο τοῦ θεῖναι τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῶν ἀδελφῶν, καὶ ἐλπίζω ὅτι πολὺς ὁ μισθὸς τοῦ κόπου τούτου'. Καὶ ὡς κατέστησεν ὁ Θεὸς τὸν Ἰωσὴφ θρέψαι τοὺς ἀδελφοὺς αὐτοῦ ἐν λιμῷ ἐν Αἰγύπτῳ, οὕτω καὶ σὲ κατέστησε βοηθῆσαι τῷ κοινοβίῳ μετὰ τοῦ τέκνου ἡμῶν Σερίδου· κἀγὼ σοι λέγω τὸν ἀποστολικὸν λόγον τὸν πρὸς Τιμόθεον· «σὺ οὖν, τέκνον, ἐνδυναμώθητι χάριτι Πνεύματος ἁγίου». Βλέπω γάρ σου τὴν ἡσυχίαν πῶς μέλλει ἔρχεσθαι καὶ συγχαίρω σοι ἐν Κυρίῳ· ὅσον γὰρ ἔξω διάγεις, θλῖψιν καὶ κόπον σωματικὸν μέλλεις εὑρίσκειν· ὅταν δὲ φθάσῃς εἰς τὸν τῆς ἡσυχίας λιμένα, ἀνάπαυσιν καὶ εἰρήνην εὑρίσκεις· ἀψευδὴς γάρ ἐστιν ὁ Δεσπότης ἡμῶν ὁ λέγων· «ὅτι δώσω αὐτοῖς ἐν τῷ νῦν αἰῶνι ἑκατονταπλασίονα, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον».

Προθύμως οὖν κοπίασον, ἀδελφέ, ὅπως εὕρῃς πλείονα τὴν ἀγάπην καὶ τὴν ἀνάπαυσιν. Πρὸ τοῦ γὰρ φθάσαι τὸ πλοῖον τὸν λιμένα, κρούεται καὶ χειμάζεται ἀπὸ τῶν κυμάτων καὶ τῶν κλυδώνων· ἐὰν δὲ φθάσῃ εὑρίσκεται λοιπὸν εἰς πολλὴν γαλήνην. Νόησον τὰ λεγόμενα καὶ φύλαξον· «δώῃ γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσιν».

Γ'

Ἀπόκρισις *τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν,*

λίθου πεσόντος κατὰ τοῦ ποδὸς αὐτοῦ καὶ πολλὴν αὐτῷ κινήσαντος ὀδύνην καὶ ἀθυμίαν.

Ἀγαπητῷ ἀδελφῷ Ἰωάννῃ ἐν Κυρίῳ χαίρειν. Κατὰ τὸν κόπον τοῦ σώματός σου τὸν δι' ἡμᾶς καὶ τὸ σύντριμμα τοῦ ποδός σου διὰ τὸν Θεόν, ἐμπλήσαι ὁ Δεσπότης Θεὸς τὴν ψυχήν σου, ἀγαπητέ μου, τῶν ἐπουρανίων ἀγαθῶν ἑκατονταπλασίονα. Κατανόησον τὰ γραφόμενα παρ' ἐμοῦ, ἀδελ-

---

29. Β' Τιμ. 2,1.
30. Ματθ. 19,29.

γιὰ μᾶς καὶ γιὰ τὸ κοινόβιό μας· διότι εἶναι κι αὐτὸ σὰν ἐντολή, νὰ θέτεις τὴν ψυχή σου ὑπὲρ τῶν ἀδελφῶν, καὶ ἐλπίζω ὅτι ἡ ἀμοιβὴ αὐτοῦ τοῦ κόπου θὰ εἶναι μεγάλη. Καὶ ὅπως ὁ Θεὸς ὅρισε τὸν Ἰωσὴφ νὰ θρέψει τοὺς ἀδελφούς του σὲ περίοδο λιμοῦ στὴν Αἴγυπτο, μὲ τὸν ἴδιο τρόπο ὅρισε καὶ σένα νὰ βοηθήσεις τὸ κοινόβιο μαζὶ μὲ τὸ τέκνο μας τὸν Σέριδο· καὶ ἐγὼ σοῦ λέγω τὸν ἀποστολικὸ λόγο τὸν ἀπευθυνόμενο πρὸς τὸν Τιμόθεο· «ἐσὺ λοιπόν, τέκνο μου, νὰ δυναμώνεσαι μὲ τὴ χάρη τοῦ ἁγίου Πνεύματος»[29]. Διότι βλέπω τὴν ἡσυχία σου, πῶς πρόκειται νὰ ἔλθει, καὶ σὲ συγχαίρω στὸ ὄνομα τοῦ Κυρίου· διότι, ὅσο ζεῖς ἔξω, πρόκειται νὰ συναντᾶς θλίψη καὶ σωματικὸ κόπο· ὅταν ὅμως φθάσεις στὸ λιμάνι τῆς ἡσυχίας, θὰ βρεῖς ἀνάπαυση καὶ εἰρήνη· διότι εἶναι ἀψευδὴς ὁ Δεσπότης μας, ὁ ὁποῖος λέγει· «θὰ δώσω σ' αὐτοὺς ἑκατονταπλάσια τώρα καὶ αἰώνια ζωὴ στὸ μέλλον»[30].

Πρόθυμα λοιπὸν κοπίασε, ἀδελφέ, γιὰ νὰ βρεῖς μεγαλύτερη ἀγάπη καὶ ἀνάπαυση. Διότι τὸ πλοῖο πρὶν φθάσει στὸ λιμάνι χτυπιέται καὶ ταλαιπωρεῖται ἀπὸ τὰ κύματα καὶ τὶς ἀναταραχές· ὅταν ὅμως φθάσει, βρίσκεται τότε σὲ πολλὴ γαλήνη. Σκέψου καὶ φύλαξε τὰ λεγόμενα· «διότι ὁ Κύριος θὰ σοῦ δώσει σύνεση σὲ ὅλα»[31].

10

Ἀπόκριση τοῦ μεγάλου Γέροντα πρὸς τὸν ἴδιο,

ἐπειδὴ ἔπεσε πέτρα στὸ πόδι του καὶ τοῦ προκάλεσε μεγάλο πόνο καὶ ἀθυμία.

Στὸν ἀγαπητὸ ἀδελφὸ Ἰωάννη, χαιρετισμὸς στὸ ὄνομα τοῦ Κυρίου. Γιὰ τὸν κόπο τοῦ σώματός σου ποὺ γίνεται γιὰ μᾶς καὶ τὸ σπάσιμο τοῦ ποδιοῦ σου γιὰ τὸ Θεό, εἴθε ὁ Δεσπότης Θεὸς νὰ γεμίσει τὴν ψυχή σου μὲ ἑκατονταπλάσια ἀπὸ τὰ ἐπουράνια ἀγαθά. Κατανόησε τὰ γραφόμενά

31. Β' Τιμ. 2,7.

φέ, καὶ κρύψον παρὰ σεαυτῷ· ἀκουτιεῖ γάρ σε χαρμονὴν ἐπουράνιον, δεσποτικήν, θεϊκήν. Ἐν ὀνόματι γὰρ τῆς ἁγίας Τριάδος, εὑρίσκω ὅτι συγκληρονόμος εἶ τῶν ἐμῶν χαρισμάτων, τῶν παρὰ Θεοῦ δοθέντων μοι· καὶ κατὰ πρόσβασιν προσδοκῶ ὅτι ταχέως φθάνεις· ἔστι γὰρ ὁ διὰ κόπων κατὰ Θεὸν φθάνων εἰς τὴν αὐτοῦ κατάπαυσιν· ἔστι πάλιν ὁ διὰ ταπείνωσιν φθάνων εἰς αὐτήν.

Ἐλπίζω δὲ ὅτι κατ' ἀμφότερα ἕξεις, ἐν τῷ ἀποθανεῖν τὴν ὀργὴν ἀπὸ σοῦ, πνιγέντος τοῦ θυμοῦ ἀπὸ τῆς καρδίας σου, καὶ τότε πληροῦται εἰς σὲ ὁ γεγραμμένος λόγος· «Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου». Καὶ ἐπειδὴ εἶπον, ὅτι κατὰ πρόσβασιν φθάνεις, κατανόησον τὰ Εὐαγγέλια, πῶς καὶ ποσάκις δέδωκεν ὁ Χριστὸς τὰ χαρίσματα τοῖς μαθηταῖς περὶ ἰάσεων καὶ ἐκβάσεων δαιμόνων, τὴν δὲ τελειότητα περὶ ἀφέσεως ἁμαρτιῶν, εἰπὼν αὐτοῖς· «ὧν ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται». Ἐὰν οὖν διὰ τὸν κόπον σου τὸν διὰ τὸν Θεὸν ἀφήσῃ σοι τὰς ἁμαρτίας σου, ἰδοὺ τὸ μέτρον ὃ θέλω σε καταλαβεῖν.

Ἐὰν δὲ δυσνόητα ῥήματα ἐν τῇ ἐπιστολῇ ἀναγνῷς, ἐρώτησον τὸν ὁμόψυχόν σου Σέριδον, υἱὸν δὲ ἐμοῦ ἀγαπητόν, καὶ διὰ τῆς τοῦ Θεοῦ χάριτος φράσσει σοι τὰ δυσνόητα. Ἐδεήθην γὰρ τοῦ Θεοῦ ὑπὲρ αὐτοῦ καὶ περὶ τούτου. Σὺ οὖν, ἄνθρωπε τοῦ Θεοῦ, ἀκαταπαύστως τρέχε τὴν ὁδὸν τὴν ἡτοιμασμένην, ὅπως μετὰ χαρᾶς φθάσῃς, ὃν ἐφθάσαμεν τοῦ Χριστοῦ λιμένα, καὶ ἀκούσῃς τῆς φωνῆς τῆς πεπληρωμένης χαρᾶς καὶ ζωῆς καὶ φωτὸς καὶ ἀγαλλιάσεως, λεγούσης πρὸς σέ· «εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου».

Χαίροις ἐν Κυρίῳ, χαίροις ἐν Κυρίῳ, χαίροις ἐν Κυρίῳ· ὁ Κύριος φυλάξοι τὴν ψυχήν σου καὶ τὸ σῶμα σου ἀπὸ παντὸς

32. Ψαλμ. 24,18.

μου, ἀδελφέ, καὶ κρύψτα μέσα σου· διότι σοῦ γίνονται πρόξενα χαρᾶς μεγάλης, ἐπουράνιας, δεσποτικῆς, θεϊκῆς. Πράγματι, στὸ ὄνομα τῆς ἁγίας Τριάδας, βρίσκω ὅτι εἶσαι συγκληρονόμος τῶν χαρισμάτων ποὺ μοῦ δόθηκαν ἀπὸ τὸ Θεό, καὶ ἐλπίζω προοδευτικὰ ὅτι φθάνεις γρήγορα. Γιατὶ ὑπάρχει ἐκεῖνος ποὺ φθάνει στὴν κατάπαυσή του μὲ τοὺς κατὰ Θεὸν κόπους, καὶ ὑπάρχει πάλι ἐκεῖνος ποὺ φθάνει σ' αὐτὴν μὲ τὴν ταπείνωση.

Ἐλπίζω ὅτι θὰ τὰ ἔχεις καὶ τὰ δύο, ἂν πεθάνει ἡ ὀργὴ ἀπὸ σένα, ἂν πνιγεῖ ὁ θυμὸς ἀπὸ τὴν καρδιά σου, ὁπότε θὰ ἐκπληρωθεῖ σὲ σένα ὁ γραμμένος λόγος· «δὲς τὴν ταπείνωσή μου καὶ τὸν κόπο μου καὶ συγχώρεσε ὅλες τὶς ἁμαρτίες μου»[32]. Καὶ ἐπειδὴ εἶπα ὅτι φθάνεις προοδευτικά, κατανόησε τὰ Εὐαγγέλια, πῶς καὶ πόσες φορὲς ὁ Χριστὸς ἔχει δώσει στοὺς μαθητὲς τὰ χαρίσματα γιὰ θεραπεῖες καὶ ἀπομακρύνσεις δαιμόνων, ἐνῶ τὴν τελειότητα γιὰ τὴν ἄφεση ἁμαρτιῶν τὴν ἔδωσε, ἀφοῦ τοὺς εἶπε· «συγχωροῦνται οἱ ἁμαρτίες ἐκείνων ποὺ τοὺς τὶς συγχωρεῖτε»[33]. Ἐὰν λοιπὸν γιὰ τὸν κόπο σου πρὸς χάρη τοῦ Θεοῦ, σοῦ συγχωρήσει τὶς ἁμαρτίες σου, νὰ τὸ μέτρο ποὺ θέλω νὰ φθάσεις.

Ἐὰν διαβάσεις στὴν ἐπιστολὴ δυσνόητα λόγια, ρώτησε τὸν ὁμόψυχό σου Σέριδο καὶ ἀγαπητό μου υἱό, καὶ μὲ τὴ χάρη τοῦ Θεοῦ θὰ σοῦ ἐξηγήσει τὰ δυσνόητα. Διότι παρακάλεσα τὸ Θεὸ γιὰ αὐτὸν καὶ γι' αὐτό. Ἐσὺ λοιπόν, ἄνθρωπε τοῦ Θεοῦ, νὰ τρέχεις ἀκατάπαυστα τὸν ἑτοιμασμένο δρόμο, γιὰ νὰ φθάσεις μὲ χαρὰ στὸ λιμάνι τοῦ Χριστοῦ, στὸ ὁποῖο φθάσαμε ἐμεῖς, καὶ ν' ἀκούσεις τὴ γεμάτη ἀπὸ χαρὰ καὶ ζωὴ καὶ φῶς καὶ ἀγαλλίαση φωνὴ νὰ σοῦ λέγει· «εὖγε, δοῦλε καλὲ καὶ πιστέ· γιὰ λίγα φάνηκες πιστός, σὲ πολλὰ θὰ σὲ καταστήσω· εἴσελθε στὴ χαρὰ τοῦ Κυρίου σου»[34].

Εἴθε νὰ χαίρεις ἐν Κυρίῳ· εἴθε νὰ χαίρεις ἐν Κυρίῳ, εἴθε νὰ χαίρεις ἐν Κυρίῳ. Ὁ Κύριος εἴθε νὰ φυλάξει τὴν ψυχή σου

33. Ἰω. 20,23.
34. Ματθ. 25,21.

κακοῦ καὶ ἀπὸ παντὸς ἐναντιώματος διαβολικοῦ καὶ φαντασίας πάνυ θορυβώδους· ὁ Κύριος ἔσται σοι φῶς, σκέπη σου ἀγαλλιάσεως καὶ ἀντίληψις αἰωνία.

Πρόσεχε σεαυτῷ, γέγραπται γάρ· «τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων σου μὴ ἀθέτει».

ΙΑ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς αὐτὸν παραινοῦσα αὐτὸν διὰ παντὸς μνημονεύειν τῶν αὐτῷ γραφομένων, εἰς ὠφέλειαν αὐτοῦ καὶ στηριγμὸν τῆς αὐτοῦ καρδίας.*

Εἶπεν ὁ Σολομὼν περὶ τῶν γονέων αὐτοῦ· «οἵτινες καὶ ἐδίδασκόν με καὶ ἔλεγον· ἐρειδέτω ὁ λόγος ἡμῶν ἐν τῇ καρδίᾳ σου»· οὕτω κἀγώ σοι λέγω ἀδελφέ· ἐρειδέτωσαν οἱ λόγοι μου ἐν τῇ καρδίᾳ σου· καὶ μελέτησον πάντα τὰ γραφόμενά σοι παρ' ἐμοῦ διαπαντός, καθὼς εἶπεν ὁ Θεὸς διὰ στόματος Μωσέως· «ἄφαψαι αὐτὰ εἰς τὴν δεξιάν σου χεῖρα, καὶ ἔσται ἀσάλευτα πρὸ ὀφθαλμῶν σου διὰ παντός, καὶ μελέτησον αὐτὰ κοιταζόμενος καὶ ἀνιστάμενος καὶ περιπατῶν ἐν τῇ ὁδῷ καὶ κοιταζόμενος ἐν οἴκῳ».

Δεῖξον οὖν τὰ αὐτὰ ἐν τελειότητι ἔργων καὶ ὁ Θεός μου ἔσται μετὰ σοῦ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΙΒ'

Ὁ αὐτὸς ἐπέταξεν ἀδελφῷ ἔργον, καὶ ὡς οὐκ ἐποίησεν αὐτὸ γοργῶς, ἐπετίμησεν αὐτῷ. Καὶ τοῦ ἀδελφοῦ λυπηθέντος, ὡρίσατο μηκέτι εἰπεῖν τινι τῶν ἀδελφῶν, καὶ πρὸς τοῦτο ἐδήλωσεν αὐτῷ ὁ Γέρων ταῦτα.

---

35. Ψαλμ. 88,35.

καὶ τὸ σῶμα σου ἀπὸ κάθε κακὸ καὶ ἀπὸ κάθε διαβολικὴ ἐναντίωση καὶ πολὺ θορυβώδη φαντασία. Ὁ Κύριος νὰ σοῦ εἶναι φῶς, σκέπη σου, ὁδός σου, δύναμή σου, στεφάνι ἀγαλλιάσεώς σου καὶ αἰώνιος βοηθός σου.

Πρόσεχε τὸν ἑαυτό σου· διότι ἔχει γραφεῖ· «μὴν ἀθετεῖς ἐκεῖνα ποὺ βγαίνουν ἀπὸ τὰ χείλη σου»[35].

11

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς αὐτὸν μὲ τὴν ὁποία τὸν προτρέπει νὰ θυμᾶται πάντοτε τὰ γραφόμενα πρὸς αὐτὸν πρὸς ὠφέλειά του καὶ στηριγμὸ τῆς καρδιᾶς του.

Ο Σολομὼν εἶπε γιὰ τοὺς γονεῖς του· «οἱ ὁποῖοι καὶ μὲ δίδασκαν καὶ ἔλεγαν, ἂς ριζωθεῖ καλὰ ὁ λόγος μας στὴν καρδιά σου»[36]. Τὸ ἴδιο καὶ ἐγὼ σοῦ λέγω, ἀδελφέ· ἂς ριζωθοῦν οἱ λόγοι μου στὴν καρδιά σου· καὶ μελέτα πάντοτε ὅλα αὐτὰ ποὺ σοῦ ἔγραψα, ὅπως ὁ Θεὸς εἶπε μὲ τὸ στόμα τοῦ Μωϋσῆ· «θέσε αὐτὰ στὸ δεξί σου χέρι καὶ θὰ εἶναι ἀσάλευτα μπροστὰ στὰ μάτια σου γιὰ πάντα, καὶ μελέτα αὐτὰ ξαπλωμένος καὶ ὄρθιος καὶ ὅταν περπατᾶς στὸ δρόμο καὶ ὅταν πλαγιάζεις στὸ σπίτι»[37].

Δεῖξε λοιπὸν τὰ ἴδια μὲ τελειότητα ἔργων καὶ ὁ Θεός μου θὰ εἶναι μαζί σου στοὺς αἰῶνες. Γένοιτο.

12

Ὁ ἴδιος ἀνέθεσε στὸν ἀδελφὸ ἔργο καὶ ἐπειδὴ δὲν τὸ ἔκανε γρήγορα, τὸν ἐπέπληξε. Καὶ ὁ ἀδελφός, ἂν καὶ λυπήθηκε, ἀποφάσισε νὰ μὴ τὸ πεῖ σὲ κανέναν ἀπὸ τοὺς ἀδελφούς, καὶ γι' αὐτὸ ὁ Γέροντας τοῦ εἶπε αὐτά.

---

36. Παροιμ 4,4.
37. Δευτ. 6,7.

Εἰπὲ τῷ ἀδελφῷ Ἰωάννῃ, ὁ καιρὸς οὗτος ἁπαλός ἐστι· καὶ πολλῷ κόπῳ εὑρίσκεις εἰς τὸν νῦν καιρὸν ἄνθρωπον ἔχοντα στερεὰν καρδίαν· ἀλλὰ κράτησον τὸν λόγον τοῦ ἁγίου Ἀποστόλου λέγοντος· «ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ».

ΙΓ'

Οἰκοδομῆς γενομένης ἐν τῷ κοινοβίῳ, αὐτὸς ὡς ἔμπειρος ἐχάραξε τὰ μέτρα τοῦ ἔργου· καὶ λάθρᾳ αὐτοῦ τινὲς τῶν ἀδελφῶν ὡς καλόν τι νομίζοντες ποιεῖν προσέθηκαν αὐτοῖς, καὶ μικρόν τι παρέβλεψαν, καὶ ταραχθέντος αὐτοῦ καὶ ὀλιγωρήσαντος ἐξ αὐτῶν, δηλοῖ αὐτῷ ὁ Γέρων ταῦτα.

Εἰπὲ τῷ ὁμονοοῦντι ἡμῶν ἀδελφῷ Ἰωάννῃ πολλὰ τὰ γραφόμενά σοι παρ' ἐμοῦ διὰ χειρὸς τοῦ γνησίου καὶ ἀγαπητοῦ τέκνου ἡμῶν, τοῦ ἐξ ὅλης τῆς ἑαυτοῦ ψυχῆς ἀγαπῶντος ἡμᾶς τοὺς τρεῖς ἐξίσου ἐν τελείᾳ ἀγάπῃ. Καὶ ταῦτα πάντα οὐκ ἐξ ἰδίου θελήματος γράφω, ἀλλ' ἐκ κελεύσεως τοῦ ἁγίου Πνεύματος· ὅλα δὲ πρὸς διόρθωσιν καὶ ὠφέλειαν ψυχῆς, καὶ συνειδήσεως τοῦ ἔσω ἀνθρώπου· πρὸς δὲ τὴν θλῖψιν καὶ παιδείαν σώματος καὶ συντριβὴν καρδίας σου.

Πρῶτον πρόσεχε ἀπὸ τοῦ πνεύματος τῆς ἀκηδίας· γεννᾷ γὰρ πᾶν κακὸν καὶ ποικίλον πρᾶγμα· ἐὰν γὰρ γράφω σοι οὓς ὑπέμεινα πειρασμούς, ἔτι λέγω σοι οὐ βαστάζουσι τὰ ὦτά σου· ἀλλὰ τάχα οὐδὲ ἄλλου τινὸς εἰς τὸν καιρὸν τοῦτον. Ἐλπίζω δὲ ὅτι φθάνεις, καὶ οὐ μόνον ἀλλὰ καὶ αὐτοψεὶ ἰδεῖν αὐτοὺς ἔχεις, καὶ λυτρωθῆναι ἀπ' αὐτῶν χάριτι Χριστοῦ διὰ πίστεως.

Διατί ἐκλύεται ἡ καρδία σου ἀπὸ ὀλιγωρίας, ἀπὸ τῶν τοῦ Χριστοῦ προβάτων; ἢ οὐκ οἶδας οἵαν κεφαλαλγίαν ὑπομένει ὁ

---

38. Β' Τιμ. 4,2.

Πὲς στὸν ἀδελφὸ Ἰωάννη, ὅτι αὐτὸς ὁ καιρὸς εἶναι μαλθακός, καὶ ὅτι μὲ πολὺν κόπο βρίσκεις κατ' αὐτὸν τὸν καιρὸ ἄνθρωπο ποὺ νὰ ἔχει σταθερὴ καρδιά· ἀλλὰ κράτησε τὸν λόγο τοῦ ἁγίου Ἀποστόλου ποὺ λέγει· «ἔλεγξε, τιμώρησε, παρακάλεσε μὲ ὅλη τὴ μακροθυμία καὶ διδαχή»[38].

13

Ὅταν γινόταν οἰκοδομὴ στὸ κοινόβιο, αὐτὸς[39] σὰν ἔμπειρος χάραξε τὰ μέτρα τοῦ ἔργου· μερικοὶ τότε ἀπὸ τοὺς ἀδελφοὺς κρυφὰ ἀπὸ αὐτόν, νομίζοντας ὅτι κάνουν καλό, πρόσθεσαν κάτι σ' αὐτὰ καὶ τὸ παράβλεψαν λίγο, καὶ ἐπειδὴ ἐκεῖνος ταράχθηκε καὶ ὀλιγώρησε ἐξαιτίας τους, ὁ Γέροντας τοῦ λέγει αὐτά.

Πὲς στὸν ὁμονοοῦντα ἀδελφό μας Ἰωάννη, ὅτι εἶναι πολλὰ αὐτὰ ποὺ σοῦ γράφω μὲ τὸ χέρι τοῦ γνησίου καὶ ἀγαπητοῦ τέκνου μας, ποὺ ἀγαπᾶ μὲ ὅλη τὴν ψυχή του ἐξίσου ἐμᾶς τοὺς τρεῖς μὲ τέλεια ἀγάπη. Καὶ ὅλα αὐτὰ δὲν τὰ γράφω μὲ δικό μου θέλημα, ἀλλὰ κατὰ παραγγελία τοῦ ἁγίου Πνεύματος· καὶ ὅλα πρὸς διόρθωση καὶ ὠφέλεια τῆς ψυχῆς καὶ τῆς συνειδήσεως τοῦ ἐσωτερικοῦ ἀνθρώπου καθὼς καὶ πρὸς θλίψη καὶ παιδεία τοῦ σώματος καὶ συντριβὴ τῆς καρδιᾶς σου.

Πρῶτα πρόσεχε ἀπὸ τὸ πνεῦμα τῆς ἀκηδίας· διότι γεννᾶ κάθε κακὸ καὶ παρδαλὸ πρᾶγμα. Καὶ πραγματικά, ἐὰν σοῦ γράψω τοὺς πειρασμοὺς ποὺ ὑπέμεινα, σοῦ λέγω ὅτι ἀκόμα δὲν μποροῦν νὰ τοὺς βαστάξουν τὰ αὐτιά σου καὶ ἴσως οὔτε κανενὸς ἄλλου κατ' αὐτὸν τὸν καιρό. Ἐλπίζω ὅμως ὅτι φθάνεις, καὶ ὄχι μόνο αὐτό, ἀλλὰ μπορεῖς νὰ τοὺς δεῖς καὶ μὲ τὰ ἴδια σου τὰ μάτια καὶ νὰ λυτρωθεῖς ἀπὸ αὐτοὺς μὲ τὴν πίστη διὰ τῆς χάριτος τοῦ Χριστοῦ.

Γιατί ἀπομακρύνεται ἡ καρδιά σου ἐξαιτίας τῆς ὀλιγωρίας ἀπὸ τὰ πρόβατα τοῦ Χριστοῦ; ἢ δὲ γνωρίζεις ποιόν κεφαλόπονο

39. Δηλαδὴ ὁ Ἰωάννης.

καλὸς διδάσκαλος ἀπὸ τῶν παιδίων, ἕως οὗ εὐδοκιμήσωσι; καὶ τοῦτο ὅτι ἤκουσας παρ' ἐμοῦ τὸν ἀποστολικὸν λόγον· «ὅτι ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ». Ἄκουσον καὶ πρόσχες ἃ λέγω σοι· ἡ μακροθυμία γεννήτριά ἐστιν ὅλων τῶν ἀγαθῶν· κατανόησον τὸν Μωσέα ἐκλεξάμενον ἑαυτῷ «συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν». Ὅταν οὖν ταράσσῃ σε ὁ λογισμὸς ἀπὸ τοῦ δαίμονος πρός τινα ἄνθρωπον, εἰπὲ τῷ λογισμῷ μετὰ μακροθυμίας· 'ὑπετάγην ἐγὼ τῷ Θεῷ ἵνα δουλαγωγήσω ἄλλους;' καὶ παύεται ἀπὸ σοῦ.

Ἑδραίως καὶ κραταιῶς δράμε, μνημονεύων μου τῶν λόγων, μᾶλλον δὲ τοῦ Κυρίου, ὅπως καὶ σὺ καταλάβῃς ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Γένοιτο, γένοιτο.

ΙΔ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, ὅτι βαρέως ἤνεγκεν ἀκούσας, ὅτι τις τῶν ἀδελφῶν, ὡς εὐτελίζων αὐτὸν ἔλεγε· 'τίς γάρ ἐστιν οὗτος; ἢ πόθεν, ὅτι αὐτὸς θλίβεται;'*

Εἰπὲ τῷ ἀδελφῷ· καθὼς ἐδικάζετο Μιχαὴλ περὶ τοῦ σώματος Μωσέως, οὕτως ἀγωνίζομαι ὑπὲρ σοῦ, ἕως οὗ ἀπαλλαγῇς ἀπὸ τοῦ παλαιοῦ ἀνθρώπου· ἐγόγγυζον γὰρ οἱ Ἰουδαῖοι περὶ τοῦ Σωτῆρος λέγοντες· «οὐχ οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ; οὐχὶ τὴν μήτερα καὶ τοὺς ἀδελφοὺς γνωρίζομεν;».

Καὶ ταῦτα κατανόησον καὶ ὑπόμεινον ἕως τέλους.

---

40. Β' Τιμ. 4,2.
41. Ἑβρ. 11,25.

ὑπομένει ὁ καλὸς διδάσκαλος ἀπὸ τὰ παιδιά, ὥς ποὺ νὰ προκόψουν; Καὶ αὐτό, ἐπειδὴ ἄκουσες ἀπὸ μένα τὸν ἀποστολικὸ λόγο, «ἔλεγξε, ἐπίπληξε, παρακάλεσε μὲ κάθε μακροθυμία καὶ διδαχή»[40]. Ἄκουσε καὶ πρόσεχε αὐτὰ ποὺ σοῦ λέγω· ἡ μακροθυμία εἶναι μητέρα ὅλων τῶν ἀγαθῶν· κατανόησε τὸν Μωϋσῆ ποὺ διάλεξε γιὰ τὸν ἑαυτό του «νὰ ταλαιπωρεῖται μαζὶ μὲ τὸν λαὸ τοῦ Θεοῦ, παρὰ νὰ ἔχει τὴν πρόσκαιρη ἀπόλαυση τῆς ἁμαρτίας»[41]. Ὅταν λοιπὸν ταράσσεται ὁ λογισμός σου ἀπὸ τὸν δαίμονα ἐναντίον κάποιου ἀνθρώπου, πὲς στὸ λογισμὸ μὲ μακροθυμία· 'Ἐγὼ ὑποτάχθηκα στὸ Θεό, γιὰ νὰ δουλαγωγήσω ἄλλους;' καὶ τότε θὰ φύγει ἀπὸ σένα.

Τρέξε σταθερὰ καὶ δυνατά, ἐνθυμούμενος τὰ λόγια μου, ἢ καλύτερα τὰ λόγια τοῦ Κυρίου, γιὰ νὰ μᾶς φθάσεις ἐν Χριστῷ Ἰησοῦ τοῦ Κυρίου μας. Γένοιτο, γένοιτο.

14

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

ἐπειδὴ ἀγανάκτησε, ἀκούοντας ὅτι κάποιος ἀπὸ τοὺς ἀδελφοὺς γιὰ νὰ τὸν ἐξευτελίσει ἔλεγε· 'ποιός τάχα εἶναι αὐτός; ἢ ἀπὸ ποῦ κατάγεται, ὥστε νὰ θλίβεται;'

Πὲς στὸν ἀδελφό· ὅπως ἔκρινε ὁ Μιχαὴλ γιὰ τὸ σῶμα τοῦ Μωϋσῆ[42], μὲ τὸν ἴδιο τρόπο ἀγωνίζομαι γιὰ σένα, ὥς ποὺ ν' ἀπαλλαγεῖς ἀπὸ τὸν παλαιὸ ἄνθρωπο. Διότι οἱ Ἰουδαῖοι δυσανασχετοῦσαν γιὰ τὸν Σωτήρα, λέγοντας· «δὲν εἶναι αὐτὸς ὁ υἱὸς τοῦ Ἰωσήφ; δὲν γνωρίζουμε τὴ μητέρα καὶ τοὺς ἀδελφούς του;»[43].

Σκέψου τὰ αὐτὰ καλὰ καὶ ὑπόμεινέ τα μέχρι τὸ τέλος.

42. Ἰούδα 9.
43. Ἰω. 6,42.

ΙΕ'

Ἀπόκρισις τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν οὔπω καθαρεύσαντα τῆς αὐτῆς ἀθυμίας.

Εἰπὲ τῷ ἀδελφῷ· ἐμνήσθην τῆς προφητείας τοῦ ἁγίου Ἱερεμίου τοῦ προφήτου λέγοντος· «τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφαθλμοῖς μου πηγὴ δακρύων, καὶ κλαύσομαι τὸν λαὸν τοῦτον ἡμέρας καὶ νυκτός;». Προσεδόκων γάρ σε τὴν στερεὰν τροφὴν διαθρέψαι, καὶ βλέπω σε πάλιν χρήζονται τοῦ γάλακτος· βλέπε, τί γέγραπται· «καὶ ἀπὸ τῶν κρυφίων μου καθάρισόν με»· βλέπε, μὴ κλέψωσί σε οἱ πονηροὶ δράκοντες, καὶ ἐμβάλωσιν εἰς σὲ τὸν ἰὸν αὐτῶν· ἔστι γὰρ θανάσιμος. Οὐδεὶς γάρ ποτε διορθοῦται διὰ κακοῦ τὸ ἀγαθόν, ἡττᾶται γὰρ τῷ κακῷ· ἀλλὰ διὰ τοῦ ἀγαθοῦ διορθοῦται τὸ κακόν.

Ἰδοὺ οὖν στήκεις εἰς τὸ στάδιον, θηριομαχῆσαι ὀφείλεις, κατὰ τὸν Ἀπόστολον, ἐν Ἐφέσῳ· νικήσας γὰρ τὰ θηρία ἐκαυχᾶτο. Εἰς τὴν ζάλην ἐβλήθης τῆς θαλάσσης ὑπομεῖναι κινδύνους πολλούς, καὶ συναθλῆσαι πρὸς τὴν τρικυμίαν τῶν κυμάτων· καὶ οὕτω νικήσας, βοηθοῦντος τοῦ Θεοῦ, συνέρχῃ ἡμῖν εἰς τὸν τῆς γαλήνης λιμένα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΙS'

Ἀπόκρισις τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν

μέλλοντα ταράσσεσθαι πρὸς τοὺς ἀδελφοὺς ἐπὶ τῷ γενομένῳ ἀφανισμῷ τῶν πλίνθων ἐκ τῆς βροχῆς· τοῦτο γὰρ ἐπέγραψε τῇ αὐτῷ ῥᾳθυμίᾳ· προβλέπων δέ, ὅτι καὶ τῷ ἀββᾷ μέλλει περὶ τούτου μέμφεσθαι, προασφαλίζεται αὐτὸν καὶ ἐξυπνίζει πρὸς ἀσφάλειαν τῶν λογισμῶν, ὑπομι-

---

44. Ἱερ. 8,23.
45. Ἑβρ. 5,12.

15

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ἐπειδὴ δὲν ἀπαλλάχθηκε ἀπὸ τὴν ἴδια ἀθυμία.

Πὲς στὸν ἀδελφό· Θυμήθηκα τὴν προφητεία τοῦ ἁγίου προφήτη Ἱερεμία ποὺ λέγει· «ποιός θὰ δώσει νερὸ στὸ κεφάλι μου καὶ στὰ μάτια μου πηγὴ δακρύων, ὥστε νὰ κλάψω γι' αὐτὸν τὸν λαὸ μέρα καὶ νύχτα;»[44]. Διότι περίμενα νὰ τρέφεσαι μὲ στερεὴ τροφὴ καὶ σὲ βλέπω πάλι νὰ χρειάζεσαι γάλα[45]. Πρόσεχε τί ἔχει γραφεῖ· «καθάρισέ με καὶ ἀπὸ τὰ κρυφά μου»[46]. Πρόσεχε νὰ μὴ σὲ κλέψουν οἱ πονηροὶ δράκοντες καὶ βάλουν μέσα σου τὸ δηλητήριό τους· καθόσον εἶναι θανάσιμο. Διότι κανένας ποτὲ δὲ διορθώνει τὸ καλὸ μὲ τὸ κακό, διότι νικιέται ἀπὸ τὸ κακό· ἀλλὰ τὸ κακὸ διορθώνει μὲ τὸ καλό.

Νὰ λοιπόν, βρίσκεσαι μέσα στὸ στάδιο καὶ ὀφείλεις νὰ θηριομαχήσεις, σύμφωνα μὲ τὸν Ἀπόστολο στὴν Ἔφεσο[47]· διότι, ἀφοῦ νίκησε τὰ θηρία, καυχιόταν. Μπῆκες στὴν ταραχὴ τῆς θάλασσας, θὰ ὑπομείνεις πολλοὺς κινδύνους, θὰ παλαίψεις μὲ τὴν τρικυμία τῶν κυμάτων, καὶ ἔτσι, ἀφοῦ νικήσεις μὲ τὴ βοήθεια τοῦ Θεοῦ, θὰ ἔλθεις κοντά μας στὸ λιμάνι τῆς γαλήνης, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

16

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ποὺ ἐπρόκειτο νὰ ταραχθεῖ ἀπὸ τους ἀδελφοὺς γιὰ τὴ γενόμενη καταστροφὴ τῶν πλίνθων ἀπὸ τὴ βροχή· διότι αὐτὸ τὸ ἀπέδωσε στὴ ραθυμία του· προβλέποντας ὅτι καὶ ἀπὸ τὸν Ἀββᾶ πρόκειται νὰ κατηγορηθεῖ γι' αὐτό, τὸν ἀσφαλίζει ἀπὸ πρὶν καὶ τὸν ἀφυπνίζει πρὸς ἀσφάλεια τῶν

46. Ψαλμ. 18,13.
47. Α' Κορ. 15,32.

μνήσκων καὶ τῆς γνησίας ἀγάπης, ἣν πρὸς αὐτὸν ὁ Ἀββᾶς κέκτηται, ἵνα τῇ τοιαύτῃ μνήμῃ τὸν ἐναντίον ἀπώσηται λογισμόν.

Ποίησον ἀγάπην τέκνον καὶ τάχυνον τοῦ ἐνεγκεῖν χαρτίον καὶ μέλαν, ἄφες τὴν ἀπόκρισιν δι' ἣν ἀνῆλθες, καὶ γράψον τῷ ἀδελφῷ Ἰωάννῃ πρῶτον ἀσπασμὸν ἐξ ἐμοῦ· ἐνεργεῖται γὰρ τοῦ ταράξαι ἄλλους καὶ ταραχθῆναι ὑπ' ἄλλων καὶ εἰπὲ αὐτῷ· Χαίρεις ἐν Κυρίῳ, ἀδελφέ μου. Εἰ πολλὰ τὰ κύματα τῆς θαλάσσης, οὐκ ἔστιν ὁ ἐξυπνίζων τὸν Ἰησοῦν, ἵνα ἐπιτιμήσῃ τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ καὶ γένηται γαλήνη τοῦ συνιέναι καὶ προσκυνῆσαι τῷ Ἰησοῦ; Εἰ πάντα μάταια καὶ πρόσκαιρα, τί δι' αὐτῶν ἐνεργεῖται ἡμῶν ἡ καρδία, τοῦ λήθην λαβεῖν περὶ τοῦ εὐαγγελικοῦ λόγου, ὅτι, «τί ὠφεληθῇ ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδίσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;».

Μάθε, ἀδελφέ μου, ὅτι, ἐάν τις θλίβῃ τινά, εἴτε ἔργῳ, εἴτε λόγῳ, ὕστερον αὐτὸς θλίβεται ἑκατονταπλασίονα. Καὶ πολλάκις ἐγράφησαν ἐξ ἐμοῦ τὰ τῆς Γραφῆς ῥήματα τοῦ Κυρίου, τὸ μακροθυμεῖν ἐν πᾶσι, καὶ προσέχειν τοῦ μὴ εἶναι μεμιγμένον σου τὸ θέλημα τινί. Ἀλλ' ἐὰν πέμψῃς μοι τὴν ἐρώτησιν μετὰ τοῦ ἀγαπητοῦ μου υἱοῦ Σερίδου, τοῦ ἀεὶ θλιβομένου ἐν τῷ βλέπειν σε θλιβόμενον, σπούδασον ἀκριβεύσασθαι μετὰ τῶν λογισμῶν σου, μήποτε ἐμβάλωσι θανάσιμον ἰὸν εἰς τὴν καρδίαν σου τοῦ πλανηθῆναί σε, νομίζοντα κάμηλον τὸν κώνωπα, καὶ τὸ βιζάκιον λίθον. Καὶ εὑρίσκεται ὁ ἄνθρωπος ἔχων τὴν δοκὸν καὶ προσέχων τῷ κάρφει ὡς τῇ ψυχῇ μου ἔγραψά σοι· εἶδα γὰρ ὅτι χαρῆναι ἔχει ἡ καρδία σου εἰς ταῦτα· «ἔλεγξον γάρ», φησί, «σοφόν», καὶ τὰ ἑξῆς· καὶ οἶδας πῶς ἔχω σε ἐν τῇ τοῦ Χριστοῦ ἀγάπῃ, ἀδελφέ.

---

48. Ματθ. 8,26.
49. Ματθ. 16,26.

λογισμῶν, ὑπενθυμίζοντας καὶ τὴ γνήσια ἀγάπη, τὴν ὁποία τρέφει ὁ Ἀββᾶς πρὸς αὐτόν, ὥστε ν' ἀπομακρύνει μὲ αὐτὴ τὴ ὑπόμνηση τὸν ἐχθρικὸ λογισμό.

Δεῖξε ἀγάπη, τέκνο μου, καὶ βιάσου νὰ φέρεις χαρτὶ καὶ μελάνη· ἄφησε τὴν ἀπάντηση γιὰ τὴν ὁποία ἦλθες, καὶ γράψε στὸν ἀδελφὸ Ἰωάννη, πρῶτον ἀσπασμὸ ἀπὸ ἐμένα· διότι ἐνεργεῖται στὸ νὰ ταράσσει ἄλλους καὶ νὰ ταράσσεται ἀπὸ ἄλλους, καὶ πές του, χαῖρε, ἀδελφέ μου, ἐν Κυρίῳ. Ἐὰν εἶναι πολλὰ τὰ κύματα τῆς θάλασσας, δὲν ὑπάρχει ἐκεῖνος ποὺ ξυπνᾶ τὸν Ἰησοῦ, γιὰ νὰ ἐπιτιμήσει τοὺς ἀνέμους καὶ τὴ θάλασσα καὶ νὰ γίνει γαλήνη[48] γιὰ νὰ προσέλθει κανεὶς καὶ νὰ προσκυνήσει τὸν Ἰησοῦ; Ἐὰν ὅλα εἶναι μάταια καὶ πρόσκαιρα, γιατί ἡ καρδιά μας δέχεται ἐνέργειες ἀπὸ αὐτά, ὥστε νὰ λησμονήσει τὸν εὐαγγελικὸ λόγο, «τί θὰ ὠφεληθεῖ ὁ ἄνθρωπος ἐὰν κερδίσει ὅλο τὸν κόσμο, βλάψει ὅμως τὴν ψυχή του;»[49].

Περὶ δὲ τῶν ὀφθαλμῶν, δυνατός ἐστιν ὁ πλάσας αὐτούς, φωτίσαι σὺν τοῖς ἔσω ὀφθαλμοῖς· οἷς, ἐὰν συνιῶμεν κατὰ τὴν Σωτῆρος φωνήν, οὐ χρήζομεν τούτων, βλεπόντων τὴν τοῦ κόσμου ματαιότητα· δυνατὸς οὖν ὁ Θεὸς ποιῆσαι εὑρεθῆναι ἡμᾶς μετὰ τῶν σωζομένων, εἰς δόξαν τοῦ παναγίου αὐτοῦ ὀνόματος. Ἀμήν.

ΞΓ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, ἐρωτήσαντα μεθ' ἑτέρων, 'τίς ἔδωκε τῷ διαβόλῳ τὴν ἀρχὴν καὶ τὴν ἐξουσίαν'.*

Εἰ νοῆσαι θέλετε τὸ μὴ ὂν ὑμῖν ἀναγκαῖον, 'τίς ἔδωκε τῷ διαβόλῳ τὴν ἀρχὴν καὶ τὴν ἐξουσίαν', ἐκ τούτου κατανοήσατε, καὶ μὴ ποιήσητε διὰ τὴν ἀγνωσίαν ὑμῶν τὸν Θεὸν αἴτιον εἶναι τῶν κακῶν. Ἀφ' ἑαυτῶν λάβετε τὸ ὑπόδειγμα· ἐάν τις ὑμῶν ἰδίᾳ προαιρέσει ἐκκλίνῃ εἰς τὸ κακόν, καὶ

ναι ἡ ὁδός, ὥστε νὰ μὴ μᾶς σύρουν πρὸς τὰ πίσω τὰ ὁδευόμενα καὶ ἐκεῖνα ποὺ ρίπτονται πίσω ἀπὸ ἐμᾶς, διότι ἀλλιῶς βρισκόμαστε στὸν τόπο ἀπ' ὅπου βγήκαμε ἄξιοι περιφρονήσεως καὶ κοπιάσαμε στὰ χαμένα. Διότι ἐκεῖνος ποὺ θέλει νὰ γνωρίζει τέλεια τὴν ὁδό, ἐὰν δὲν ἀκολουθήσει αὐτὸν ποὺ γνωρίζει τέλεια τὴν ὁδό, ποτὲ δὲν φθάνει στὴν πόλη. Βάλε τὸ θέλημά σου πίσω σου καὶ ταπεινώσου σὲ ὅλη τὴ ζωὴ καὶ θὰ σωθεῖς.

Ὡς πρὸς τὰ ὀπωρικά, νὰ μὴ τὰ ζητήσεις σὺ ὁ ἴδιος· ἐὰν ὅμως σοῦ δώσουν, πάρε καὶ φάγε, στενάζοντας γιὰ τὴν κατάκριση τῆς ἡδονῆς· καὶ ἂν προφέρεις τοὺς ἁγίους, νὰ μιμεῖσαι καὶ τὸ ἀποτέλεσμα τῆς ἀποταγῆς καὶ τὴν πίστη ποὺ εἶναι ἀναμιγμένη μὲ τὰ ἔργα, διότι χωρὶς τὰ ἔργα διακήρυξαν ὅτι εἶναι νεκρή· καὶ ἐπειδὴ τὸ λέγεις μὲ εὐσχημοσύνη, γι' αὐτὸ δὲν τὸ θεωρεῖς εὐπρεπέστερο ἀπὸ ἐκεῖνο ποὺ γίνεται μὲ ὑποταγή· διότι εἶναι ὑπακοή· καὶ εἶπε κάποιος «ὅτι ὁ υἱὸς ποὺ εἶναι ὑπάκουος, ἔχει ζωή».

Ὅσο γιὰ τὰ μάτια, αὐτὸς ποὺ τὰ ἔπλασε, μπορεῖ νὰ τὰ φωτίσει μαζὶ μὲ τὰ ἐσωτερικὰ μάτια, ποὺ ἐὰν ἔχουμε αὐτὰ μὲ σύνεση, σύμφωνα μὲ τὰ λεγόμενα τοῦ Σωτήρα, δὲν χρειαζόμαστε τὰ ἄλλα ποὺ βλέπουν τὴ ματαιότητα τοῦ κόσμου. Ὁ Θεὸς λοιπὸν μπορεῖ νὰ βοηθήσει, ὥστε νὰ βρεθοῦμε μαζὶ μ' αὐτοὺς ποὺ σώζονται, πρὸς δόξα τοῦ παναγίου ὀνόματός του. Γένοιτο.

63

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ποὺ ἐρώτησε μαζὶ μὲ ἄλλους, ποιός ἔδωσε στὸν διάβολο τὴν ἀρχὴ καὶ τὴν ἐξουσία.

Ἐὰν θέλετε νὰ κατανοήσετε ἐκεῖνο ποὺ δὲν σᾶς εἶναι ἀναγκαῖο, ποιός ἔδωσε στὸν διάβολο τὴν ἀρχὴ καὶ τὴν ἐξουσία, θὰ τὸ κατανοήσετε ἀπὸ αὐτό, καὶ νὰ μὴ θεωρήσετε τὸ Θεὸ αἴτιο τῶν κακῶν ἐξαιτίας τῆς ἀγνωσίας σας· ἀπὸ

κρίνεται ἀπὸ τοῦ Θεοῦ, ὡς ποιήσας τὸ κακὸν ἰδίᾳ ἐξουσίᾳ. Τίς δὲ τὴν ἐξουσίαν ἔδωκεν αὐτῷ; Οὐχ ὁ Θεός; Διατί γὰρ αὐτὸν κρίνεις; Μὴ δείξητε διὰ τὴν στρέβλωσιν τοῦ διαβόλου τὸν Θεὸν θελητὴν εἶναι κακοῦ· οὐ γάρ ἐστι τοῦτο, μὴ γένοιτο· ἀλλὰ κἂν εἰπόν τινες τῶν ἁγίων, ὑμεῖς τελείως οὐ νοεῖτε πῶς εἶπον. Κατὰ τοῦτο γὰρ εἴρηται, ὅτι 'ὁ Θεὸς ἔδωκεν αὐτῷ τὴν ἀρχὴν καὶ τὴν ἐξουσίαν', παρὰ τοῦ μὴ κωλῦσαι αὐτὸν ἢ ἐμποδίσαι, πρὸς ἀποτέλεσμα τοῦ κακοῦ. Καὶ νοήσατε ἐκ τούτου· «ἐγὼ ἐσκλήρυνα τὴν καρδίαν Φαραώ».

Εἰ οὖν τοῦτό ἐστι, πῶς αὐτὸν κατακρίνει; Ἀλλὰ τοῦτο φάσκει, ὅτι οὐ προεπαίδευσεν αὐτόν. Ἀπὸ τῆς βίβλου Ἰὼβ τοῦτό ἐστι γνῶναί τινα· περιέχει γάρ, ὅτι ὁ διάβολος ἀπώλεσεν αὐτοῦ τὰ ὑπάρχοντα καὶ τὰ τέκνα, καὶ νόησον αὐτὸν λέγοντα· «ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας». Τί οὖν οὐκ ὀνομάζει τὸν ἀπολέσαντα, ἀλλὰ τὸν μακροθυμήσαντα καὶ δυνάμενον ἐμποδίσαι καὶ κωλῦσαι τὸν κακόν;

Καὶ πρόσχες, δι' οὐδὲν ἄλλο εἶπεν αὐτῷ, «ἰδοὺ δίδωμι αὐτὸν εἰς τὰς χεῖράς σου», ἀλλ' ὅτι τὸν Θεὸν κατηγόρησεν αἴτιον εἶναι τῆς ἐξομολογήσεως τοῦ δικαίου περὶ τῶν εἰς αὐτὸν εὐεργεσιῶν. Μὴ κωλύσας οὖν ὁ Θεός, ὀνομάζεται ὡς 'δεδωκὼς αὐτῷ τὴν ἀρχὴν καὶ τὴν ἐξουσίαν'· ὁ Θεὸς γὰρ ἀπ' ἀρχῆς, καλὴν ἀρχὴν αὐτῷ ἐνεπίστευσε καὶ δοὺς οὐκ ἀφείλετο· ὁ δὲ λαβὼν ἀπέθετο, καὶ ἀντ' αὐτῆς ἐνεδύσατο τὴν ἀρχὴν τῶν κακῶν. Μὴ κωλύσας οὖν ὁ Θεὸς ὀνομάζεται 'ὡς δεδωκώς'. Μὴ γράφει, 'καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ ἐμάκρυνεν αὐτὴν ἀπ' αὐτοῦ ὁ Θεός', ἀλλ' ὅτι «καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ».

---

52. Ἐξ. 14,8.

σᾶς τοὺς ἴδιους λάβετε τὸ παράδειγμα. Ἐὰν κάποιος ἀπὸ σᾶς μὲ δική του προαίρεση κλίνει στὸ κακό, κάνει τὸ κακὸ οἰκειοθελῶς καὶ κρίνεται ἀπὸ τὸ Θεό, ἐπειδὴ ἔκανε τὸ κακὸ μὲ τὴ δική του ἐξουσία. Ποιός ἔδωσε τὴν ἐξουσία σ' αὐτόν; ὄχι ὁ Θεός; Γιατί λοιπὸν τὸν κρίνει; Μὴ δείξετε, ἐξαιτίας.τῆς τυραννίας τοῦ διαβόλου, ὅτι ὁ Θεὸς εἶναι θελητὴς τοῦ κακοῦ· διότι δὲν συμβαίνει αὐτό, μὴ γένοιτο· ἀλλὰ καὶ ἂν μερικοὶ ἀπὸ τοὺς ἁγίους τὸ εἶπαν, ἐσεῖς δὲν καταλαβαίνετε τελείως πῶς τὸ εἶπαν. Μ' αὐτὴ τὴν ἔννοια ἔχει λεχθεῖ ὅτι ὁ Θεὸς ἔδωσε σ' αὐτὸν τὴν ἀρχὴ καὶ τὴν ἐξουσία, ὅτι δὲν τὸν ἐμποδίζει στὴν ἐπιτέλεση τοῦ κακοῦ. Καὶ θὰ τὸ καταλάβετε ἀπὸ αὐτό· «ἐγὼ σκλήρυνα τὴν καρδιὰ τοῦ Φαραώ»[52].

Ἐὰν λοιπὸν συμβαίνει αὐτό, πῶς τὸν κατακρίνει; Ἀλλὰ λέγει αὐτό, ὅτι δὲν τὸν προπαίδευσε. Αὐτὸ εἶναι δυνατὸ νὰ τὸ μάθει κανεὶς ἀπὸ τὸ βιβλίο τοῦ Ἰώβ· διότι λέγει ὅτι ὁ διάβολος κατέστρεψε τὰ ὑπάρχοντά του καὶ τὰ παιδιά του, καὶ σκέψου αὐτὸν ποὺ λέγει· «ὁ Κύριος τὰ ἔδωσε, ὁ Κύριος τὰ ἀφαίρεσε· ὅπως ἤθελε ὁ Κύριος, ἔτσι καὶ ἔγινε· ἂς εἶναι τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένο στοὺς αἰῶνες»[53]. Γιατί λοιπὸν δὲν ἀναφέρει ἐκεῖνον ποὺ τὰ κατέστρεψε, ἀλλὰ αὐτὸν ποὺ μακροθυμεῖ καὶ μπορεῖ νὰ ἐμποδίσει καὶ νὰ τιμωρήσει τὸ κακό;

Καὶ πρόσεχε, δὲν εἶπε σ' αὐτὸν γιὰ κανένα ἄλλο λόγο, «νά, τὸν δίνω στὰ χέρια σου», ἀλλὰ διότι κατηγόρησε τὸ Θεὸ ὅτι εἶναι αἴτιος τῆς ἐξομολογήσεως τοῦ δικαίου γιὰ τὶς εὐεργεσίες σ' αὐτόν. Ἐπειδὴ λοιπὸν ὁ Θεὸς δὲν ἐμπόδισε, λέγεται, ὅτι ἔχει δώσει σ' αὐτὸν τὴν ἀρχὴ καὶ τὴν ἐξουσία· διότι ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴ τοῦ ἐμπιστεύτηκε καλὴ ἀρχὴ καὶ ἀφοῦ τοῦ τὴν ἔδωσε, δὲν τοῦ τὴν πῆρε· ἐκεῖνος ὅμως μόλις τὴν ἔλαβε τὴν ἀπέβαλε, καὶ ἀντὶ αὐτῆς ντύθηκε τὴν ἀρχὴ τῶν κακῶν. Ἐπειδὴ λοιπὸν ὁ Θεὸς δὲν τὸν ἐμπόδισε, λέγεται ὅτι τὴν ἔχει δώσει. Δὲν γράφει «καὶ δὲν θέλησε εὐλογία», καὶ τὴν ἀπομάκρυνε ὁ Θεὸς ἀπ' αὐτόν, ἀλλὰ ὅτι «θὰ ἀπομακρυνθεῖ ἀπ' αὐτόν»[54].

53. Ἰὼβ 1,21.

54. Ψαλμ. 108,17.

Ὑμεῖς οὖν μὴ ἔχετε τὸν Θεὸν αἴτιον εἶναι τῶν κακῶν, ἐπεὶ κατακρινεῖ ὑμᾶς τοῦτο· ἀλλ' αὐτὸς ἑαυτῷ. Ἐπελέξατο τὴν ἀρχὴν τῶν κακῶν, καὶ οὐκ ἐνεπόδισεν αὐτῷ ὁ Θεός. Καὶ γὰρ λέγει, «καὶ ἠγάπησε κατάραν, καὶ ἥξεν αὐτῷ», καὶ οὐ λέγει, ὅτι 'ὁ Θεὸς ἔδωκεν αὐτὴν αὐτῷ'. Ὑμεῖς οὖν στῆτε ἀσάλευτοι ἐν Κυρίῳ, πιστεύοντες, ὅτι ἀρχηγὸς τῆς ζωῆς ἡμῶν καὶ ἁπάντων τῶν ἀγαθῶν ἐστι. Καὶ συγχωρήσατέ μοι συρέντι ὑπὸ ζητημάτων παιδικῶν, ἀφήσαντι τὴν προκειμένην τελειότητα, τέκνα.

Εὐλογήσαι καὶ αὐξήσαι τοὺς καρποὺς ὑμῶν ὁ Κύριος Ἰησοῦς Χριστὸς ἐν ὀνόματι τοῦ Πατρὸς σὺν τῷ ἁγίῳ Πνεύματι.

ΣΧΟΛΙΟΝ

Παριστᾷ διὰ τούτων σαφῶς οὑτοσὶ ὁ θεοφόρος Πατήρ, ὅτι 'οὐ δεῖ ὅλως ἐπερωτᾶν γνώσεως χάριν τὸν σωθῆναι σπουδάζοντα'· «ἡ γὰρ γνῶσις φυσιοῖ», ὥς φησιν ὁ Ἀπόστολος. Περὶ παθῶν μέντοι ἐρωτᾶν καὶ ὅπως χρὴ τὸν ἑαυτοῦ διεξάγειν τὸν βίον, ἤγουν πῶς δεῖ σωθῆναι καὶ πάνυ προσῆκόν ἐστιν, ἀναγκαῖον γὰρ καὶ εἰς ταπείνωσιν φέρει· ἡ ταπείνωσις σωτηρία σύντομος· «ἐταπεινώθην γὰρ καὶ ἔσωσέ με ὁ Κύριος»· φησὶ δὲ καὶ τῶν ἁγίων τις, «μοναχὸς ταπεινόφρων, οὐ πολυπραγμονήσει κρίματα». Τὸν νοσοκόμον δὲ ἐρωτήσαντα, 'εἰ χρὴ ἐν τοῖς ἰατρικοῖς βιβλίοις ἀδολεσχεῖν', εἴρηκεν, 'ἐν τούτοις μᾶλλον ἀδολεσχεῖν ἢ τοῖς πάθεσιν, ἐπειδή φησιν, οὔπω ἤλθομεν εἰς τελειότητα, ἵνα τελείως ἀπαλλαγῶμεν τῆς αἰχμαλωσίας τῶν παθῶν'. Ἀμφοτέροις οὖν πρεπόντως καὶ διακριτικῶς ἀπεκρίθη ὁ ἅγιος· εἰπὼν δέ, 'συγχωρήσατέ μοι συρέντι ὑπὸ ζητημάτων

Ἐσεῖς λοιπὸν νὰ μὴ θεωρεῖτε ὅτι ὁ Θεὸς εἶναι αἴτιος τῶν κακῶν, διότι αὐτὸ θὰ σᾶς κατακρίνει· ἀλλὰ αὐτὸς ἀπὸ μόνος του διάλεξε τὴν ἀρχὴ τῶν κακῶν, καὶ δὲν τὸν ἐμπόδισε ὁ Θεός. Διότι λέγει, «καὶ ἀγάπησε τὴν κατάρα καὶ θὰ ἔλθει αὐτὴ κατ' αὐτοῦ»[55], καὶ δὲν λέγει, ὅτι ὁ Θεὸς ἔδωσε αὐτὴν σ' αὐτόν. Ἐσεῖς λοιπὸν σταθεῖτε ἀπαρασάλευτοι ἐν Κυρίω, πιστεύοντας ὅτι εἶναι ἀρχηγὸς τῆς ζωῆς μας καὶ ὅλων τῶν ἀγαθῶν. Καὶ συγχωρῆστε με, τέκνα μου, ποὺ παρασύρθηκα ἀπὸ παιδικὰ ζητήματα καὶ παρέλειψα τὴν προκείμενη τελειότητα.

Εἴθε νὰ εὐλογήσει καὶ νὰ αὐξήσει τοὺς καρπούς μας ὁ Κύριος Ἰησοῦς Χριστὸς στὸ ὄνομα τοῦ Πατρὸς μαζὶ καὶ μὲ τὴ χάρη τοῦ ἁγίου Πνεύματος.

ΣΧΟΛΙΟ

Αὐτὸς ὁ θεοφόρος Πατέρας δείχνει μ' αὐτὰ τὰ λόγια ὅτι, 'ὅποιος ἐνδιαφέρεται νὰ σωθεῖ, δὲν πρέπει καθόλου νὰ ἐρωτᾶ χάριν γνώσεως'· διότι ἡ γνώση δημιουργεῖ ὑπεροψία, ὅπως λέγει ὁ Ἀπόστολος. Ἀλλὰ νὰ ἐρωτᾶ γιὰ πάθη καὶ πῶς νὰ ρυθμίζει τὴ ζωή του, δηλαδὴ πῶς πρέπει νὰ σωθεῖ, διότι εἶναι πολὺ ἀπαραίτητο καὶ ἀναγκαῖο καὶ ὁδηγεῖ στὴν ταπείνωση καὶ ἡ ταπείνωση εἶναι σύντομη σωτηρία· διότι λέγει, «ταπεινώθηκα καὶ μὲ ἔσωσε ὁ Κύριος»[56]. Καὶ κάποιος ἀπὸ τοὺς ἁγίους λέγει· «ὁ ταπεινόφρονας μοναχὸς δὲν θ' ἀσχοληθεῖ μὲ ἀνεκδιήγητα, ἐνῶ ὁ ὑπερήφανος θ' ἀσχοληθεῖ μὲ κρίματα»[57]. Καὶ ὅταν ὁ νοσοκόμος ἐρώτησε, ἐὰν πρέπει νὰ ἀσχολούμαστε μὲ τὰ ἰατρικὰ βιβλία· τοῦ εἶπε, νὰ ἀσχολούμαστε περισσότερο μ' αὐτὰ παρὰ μὲ τὰ πάθη, ἐπειδή, λέγει, δὲν φθάσαμε ἀκόμα στὴν τελειότητα, ὥστε ν' ἀπαλλαγοῦμε ἐντελῶς ἀπὸ τὴν αἰχμαλωσία τῶν παθῶν. Καὶ στοὺς δύο λοιπὸν ἀπάντησε ὁ ἅγιος κατάλληλα καὶ διακριτικά· ὅταν λέγει, 'νὰ μὲ συγχωρήσετε ἐπειδὴ

---

55. Ψαλμ. 108(109), 17.
56. Ψαλμ. 114(116), 6.
57. Πρόκειται γιὰ τὸν Ἰωάννη τῆς Κλίμακος.

παιδικῶν', αἰνίττεται, ἢ μᾶλλον φανερῶς δεικνύει, ὅτι ὄντως νηπίας φρενὸς καὶ ἀγνωσίας πολλῆς εἰσι πεπληρωμένα τὰ τοιαῦτα ζητήματα, πρὸς δὲ καὶ τῆς δεινῆς ὑπερηφανίας.

ΞΔ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.*

Τί ποιήσω, πάτερ, ὅτι θλίβομαι, ὡς καταλιπὼν τὰ τέκνα καὶ τὴν γυναῖκα διὰ τὸ εἶναι αὐτοὺς ἀπρονοήτους;

Γέγραπται εἰς τοὺς Γέροντας, ὅτι, ἀδικηθείς τις ὑπό τινος, ἀπῆλθε πρός τινα γέροντα, λέγων, ὅτι 'ἠδικήθην παρά τινος καὶ θέλω ἐμαυτὸν ἐκδικῆσαι'. Καὶ εἶπεν αὐτῷ· 'μή, τέκνον, ἀλλὰ τῷ Θεῷ τὰ τῆς ἐκδικήσεως καταλίπωμεν'. Ὡς δὲ οὐκ ἔπεισεν αὐτόν, εἶπε, 'ποιήσωμεν εὐχήν'. Γινομένης δὲ τῆς εὐχῆς, ὁ γέρων ἤρξατο λέγειν ἀκούοντος τοῦ ἀδελφοῦ. 'Ὁ Θεός, οὐκ ἔτι σου χρείαν ἔχομεν φροντίζειν περὶ ἡμῶν, ἡμεῖς γὰρ ἑαυτοὺς ἐκδικοῦμεν'. Ὁ δὲ κατανυγεὶς ἐπὶ τῷ λόγῳ εἶπεν, ὅτι 'συγχώρησόν μοι, ἀββᾶ, οὐκ ἔτι γὰρ ἐκδικῶ ἐμαυτόν'. Τοῦτο δὲ λέγω σοι, ἀδελφέ, ἐὰν ἡμεῖς φροντίζωμεν τῆς γυναικὸς καὶ τῶν τέκνων, ὁ Θεὸς αὐτῶν οὐκ ἔτι φροντίζει· ἐὰν δὲ ἀφῶμεν, ὁ Θεὸς φροντίζει καὶ αὐτῶν καὶ ἡμῶν.

Μὴ οὖν δόξῃ σοι φροντίζειν ἢ εὔχεσθαι ὑπὲρ αὐτῶν, ἵνα μὴ λάβῃς αὐτοὺς εἰς μνήμην καὶ γένηται πάθος ἐν τῇ ψυχῇ σου.

ΞΕ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν Γέροντα.*

Τί οὖν ποιήσω, ὅτι ἐπιμένει μοι σφοδρῶς ἡ λύπη περὶ τοῦ χωρισμοῦ τῆς γυναικός;

παρασύρθηκα ἀπὸ παιδικὰ ζητήματα', ὑπαινίσσεται, ἢ καλύτερα δείχνει φανερά, ὅτι πράγματι αὐτὰ τὰ ζητήματα εἶναι γεμᾶτα μὲ νηπιακὸ μυαλὸ καὶ πολλὴ ἀγνωσία, καὶ ἀκόμα καὶ ἀπὸ φοβερὴ ὑπερηφάνεια.

64

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Τί νὰ κάνω, πάτερ, ποὺ στενοχωριέμαι διότι ἄφησα τὰ παιδιὰ καὶ τὴ γυναίκα ἀπροστάτευτους.

Ἔχει γραφεῖ στὸ Γεροντικό, ὅτι κάποιος ποὺ ἀδικήθηκε ἀπὸ ἕναν ἄλλο πῆγε σὲ ἕνα γέροντα, λέγοντας, 'ἐπειδὴ ἀδικήθηκα ἀπὸ κάποιον, θέλω καὶ ἐγὼ νὰ τὸν ἐκδικηθῶ'. Καὶ εἶπε σ' αὐτόν, ὄχι τέκνο μου, ἀλλὰ θὰ ἀφήσωμε τὰ τῆς ἐκδίκησης στὸ Θεό. Ἐπειδὴ ὅμως δεν τὸν ἔπεισε, εἶπε, 'θὰ κάνουμε προσευχή'. Ἐνῶ γινόταν ἡ προσευχή, καὶ ἄκουγε ὁ ἀδελφός, ὁ γέροντας ἄρχισε νὰ λέγει· 'Θεέ μας δὲν σὲ ἔχουμε πλέον ἀνάγκη νὰ φροντίζεις γιὰ μᾶς, διότι ἐμεῖς τιμωρούμαστε ἀναμεταξύ μας'. Αὐτὸς συντετριμμένος τότε ἀπὸ τὸ λόγο εἶπε, 'συγχώρεσέ με, Ἀββᾶ, διότι δὲν παίρνω πλέον ἐκδίκηση μόνος μου'. Αὐτὸ σοῦ τὸ λέγω, ἀδελφέ, γιὰ τὰ ἑξῆς. Ἐὰν ἐμεῖς φροντίζουμε τὴ γυναίκα καὶ τὰ παιδιά, ὁ Θεὸς δὲν θὰ φροντίσει πιὰ γι' αὐτούς· ἐὰν ὅμως τοὺς ἀφήσουμε, ὁ Θεὸς θὰ φροντίσει καὶ γι' αὐτοὺς καὶ γιὰ μᾶς.

Μὴ σκεφθεῖς λοιπὸν νὰ φροντίζεις ἢ νὰ προσεύχεσαι γι' αὐτούς, γιὰ νὰ μὴ τοὺς βάλεις στὴ μνήμη σου καὶ σοῦ γίνει πάθος στὴ ψυχή σου.

65

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο Γέροντα.

Τί νὰ κάνω λοιπόν, ἐπειδὴ ἐπιμένει μέσα μου δυνατὰ ἡ λύπη γιὰ τὸ χωρισμὸ τῆς γυναίκας;

Γέγραπται περὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, ὅτι «ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Ὥσπερ οὖν ἀπὸ τῆς σαρκός σου ἐὰν κοπῇ μέρος τι ὀδυνᾶται τὸ λοιπὸν σῶμα ἄχρις οὗ θεραπευθῇ τὸ τραῦμα καὶ παύσηται ἡ ὀδύνη, οὕτω καὶ ἐπὶ τούτου ἀνάγκη σοί ἐστιν ὡς τῆς σαρκὸς ἀποκοπείσης ὀδυνᾶσθαι.

ΞS'

Ἀπόκρισις τοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν περὶ τῆς αὐτῆς ἐρωτήσεως.

Εἰ πάντα δυνατὰ τῷ πιστεύοντι, ποῦ ἔστιν ἡ πίστις; Εἰ τόπον νεκροῦ ἐπελέξω σεαυτῷ, ἐρώτησον τὸν νεκρόν, εἰ ἐπιθυμεῖ τὴν ἑαυτοῦ γυναῖκα· εἰ κρίνεται ὑπὲρ αὐτῆς, ἐὰν ἀπελθοῦσα πορνεύσῃ. Εἰ ἀφῆκας τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς, τί οὐκ εὐαγγελίζῃ τὴν ἑαυτοῦ βασιλείαν; Ἕως πότε καθεύδεις; Γρηγόρησον καὶ φώνησον μετὰ τοῦ Δαβίδ· «μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις». Ἢ ὑπὲρ πάντας τοὺς διδάσκοντάς σε συνῆκας; Νοοῦνται δὲ πονηροὶ δαίμονες οἱ ἐμβάλλοντες εἰς τὴν σὴν καρδίαν, ὅτι σφοδροτέρως προστεθήσεται ὁ τῆς γυναικὸς πόλεμος. Ποῦ ἐκρύβη ἀπὸ σοῦ ὁ γραφικὸς λόγος, «ὅτι πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι» καὶ τὰ λοιπά;

Εἰ δὲ ἀπὸ τῆς ἡμῶν ἀσθενείας ταῦτα πάσχομεν, μηδεὶς τυφλὸς ὤν, αἰτιάσθω τὸν ἥλιον μὴ φωτίσαντα, ἢ βοηθήσαντα αὐτῷ. Εἰ πιστεύεις, κατὰ τὸ γεγραμμένον, ὅτι «ἐκτακήσεται ὡς ἀράχνη τοῦ ἀνθρώπου ἡ ψυχὴ παιδευομένου ὑπὲρ ἀνομίας», τί ἐκλύονται αἱ χεῖρές σου πρὶν ἀπάρξῃ τῶν πολέμων; Εἰ δυνατὸς

58. Ματθ. 19,5.
59. Ματθ. 8,22.

Ἔχει γραφεῖ γιὰ τὸν ἄνδρα καὶ τὴ γυναίκα, «ὅτι θὰ εἶναι οἱ δύο σὲ μία σάρκα»[58]. Ὅπως λοιπόν, ἐὰν κοπεῖ ἕνα μέρος ἀπὸ τὴ σάρκα σου, πονᾶ τὸ ὑπόλοιπο σῶμα μέχρι νὰ θεραπευθεῖ ἡ πληγή του καὶ νὰ σταματήσει ὁ πόνος, ἔτσι καὶ στὴν περίπτωσή σου εἶναι ἀνάγκη νὰ πονᾶς, ἀφοῦ σοῦ κόπηκε ἡ σάρκα.

66

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο γιὰ τὴν ἴδια ἐρώτηση.

Ἐὰν ὅλα εἶναι δυνατὰ σ' αὐτὸν ποὺ πιστεύει, ποῦ εἶναι ἡ πίστη; Ἂν διάλεξες γιὰ τὸν ἑαυτό σου τόπο νεκροῦ, ρώτησε τὸν νεκρὸ ἐὰν ἐπιθυμεῖ τὴ γυναίκα του· ἐὰν κατακρίνεται γι' αὐτή, σὲ περίπτωση ποὺ θὰ πάει νὰ πορνεύσει. Ἂν ἄφησες τοὺς νεκροὺς νὰ θάψουν τοὺς νεκρούς τους[59], γιατί δὲν εὐαγγελίζεσαι τὴ δική σου βασιλεία; Ἕως πότε θὰ κοιμᾶσαι; ξύπνα καὶ φώναξε μαζὶ μὲ τὸν Δαβίδ· «μὴ παρασύρεις τὴν καρδιά μου σὲ λόγους πονηρίας, ὥστε νὰ προφασίζομαι προφάσεις στὶς ἁμαρτίες»[60]. Ἢ τὰ κατανόησες ἐσὺ περισσότερο ἀπ' ὅλους τοὺς διδασκάλους σου; Θεωροῦνται πονηροὶ δαίμονες αὐτοὶ ποὺ ὁρμοῦν στὴν καρδιά σου, ἐπειδὴ θὰ γίνει σφοδρότερος ὁ πόλεμος τῆς γυναίκας. Ποῦ κρύφτηκε ἀπὸ σένα ὁ γραφικὸς λόγος ὅτι, «ὁ Θεὸς εἶναι ἀξιόπιστος, ὁ ὁποῖος δὲν θὰ μᾶς ἀφήσει νὰ πειραχθοῦμε»[61], καὶ τὰ λοιπά;

Ἂν ὅμως αὐτὰ τὰ παθαίνουμε ἀπὸ τὴν δική μας ἀδυναμία, κανένας τυφλὸς δὲν κατηγορεῖ τὸν ἥλιο ὅτι δὲν τὸν φώτισε ἢ δὲν τὸν βοήθησε. Ἂν πιστεύεις σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ ὅτι ἡ ψυχὴ τοῦ ἀνθρώπου ποὺ τιμωρεῖται γιὰ παρανομία θὰ λειώσει σὰν ἀράχνη, γιατί παραλύουν τὰ χέρια σου πρὶν ἀρχί-

60. Ψαλμ. 140 (141), 4.
61. Α΄ Κορ. 10,13.

ὁ μεθ' ἡμῶν ὑπὲρ ἡμῶν συντρίψαι πάντας τοὺς ἐχθρούς, τί διαβάλλομεν αὐτὸν ἀπέχοντα ἀφ' ἡμῶν διὰ τὴν ἡμῶν ἀπιστίαν καὶ ἀεργίαν; Εἰ δυνατώτερος αὐτοῦ οὐδεὶς καὶ καυχᾶσαι λέγων, ὅτι σὺ μετ' ἐμοῦ εἶ, ἔχων μετὰ σευατοῦ τὸν δυνατόν, τίνα φοβῇ καὶ τρέμεις;

Ἀλλὰ ποιήσας ἀγάπην, λάβε μικρὸν ἀπὸ τοῦ οὐρανίου πυρός, οὗ ἦλθε βαλεῖν ἐπὶ τῆς γῆς ὁ τῶν ἁπάντων Δεσπότης, ἵνα, ὅταν σπείρωνται ὑπὸ τοῦ ἐχθροῦ ζιζάνια, φλέξῃ τὸ πῦρ καὶ καταφάγῃ αὐτά. Θυμίασον οὖν ἀπ' ἐκείνου τοῦ πυρός, ἵνα ὀσφρανθῇ σου τῶν θυμιαμάτων ὁ Χριστὸς καὶ ἀγάγῃ τῷ αὐτοῦ Πατρὶ σὺν τῷ ζωοποιῷ Πνεύματι, καὶ μονὴν παρὰ σοὶ ποιήσῃ ἐν τῷ σῷ ναῷ, ὃν παρέστησας αὐτῷ θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον αὐτῷ, καὶ τότε θερμανθεὶς ἀπὸ τοῦ τοιούτου πυρός, ἀεὶ ποθήσεις συνοδοιπόρος καὶ συμπολίτης καὶ συγκληρονόμος τῶν ταῦτα κατωρθωκότων ἁγίων γενέσθαι, «ὅπου ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν».

ΞΖ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.*

Τί ποιήσω, Πάτερ, ὅτι δειλιῶ τὰς νύκτας;

Ἕως τότε φοβοῦνται οἱ τῆς πόλεως τοὺς βαρβάρους, ἐφ' ὅσον οὐκ ἔχουσι τὴν βοήθειαν τοῦ βασιλέως· ἐὰν δὲ πληροφορηθῶσιν, ὅτι ἔφθασεν ἐν τῇ πόλει ὁ δοὺξ ἢ ὁ στρατηλάτης, οὐκ ἔτι φροντίζουσιν, εἰδότες ὅτι ἐκεῖνοι μεριμνῶσιν ὑπὲρ αὐτῶν. Ἀλλὰ κἂν ἀκούσωσιν, ὅτι ἐπέστησαν βάρβαροι, οὐ φροντίζουσιν, ἔχοντες τὸν ὑπὲρ αὐτῶν πολεμοῦντα.

σεις τοὺς πολέμους; Ἐὰν αὐτὸς ποὺ εἶναι μαζί μας ἔχει τὴ δύναμη νὰ συντρίψει ὅλους τοὺς ἐχθροὺς γιὰ χάρη μας, γιατί τὸν διαβάλλουμε ὅτι εἶναι μακριά μας ἐξαιτίας τῆς ἀπιστίας καὶ τῆς ἀπραξίας μας; Ἂν κανένας δὲν εἶναι δυνατώτερος ἀπὸ αὐτὸν καὶ ἐσὺ καυχιέσαι λέγοντας, «ἐσὺ εἶσαι μαζί μου», ἀφοῦ ἔχεις μαζί σου τὸν δυνατό, ποιόν φοβᾶσαι καὶ τρέμεις;

Ἀλλὰ δείχνοντας ἀγάπη, πάρε λίγο ἀπὸ τὴν οὐράνια φωτιὰ τὴν ὁποία ἦλθε νὰ βάλει στὴ γῆ ὁ Δεσπότης τῶν ἁπάντων, ὥστε, ὅταν σπείρονται ἀπὸ τὸν ἐχθρὸ ζιζάνια, νὰ τὰ κατακάψει ἡ φωτιὰ καὶ νὰ τὰ καταφάγει. Θυμίασε λοιπὸν ἀπὸ ἐκείνη τὴ φωτιά, γιὰ νὰ μυρίσει ὁ Χριστὸς ἀπὸ τὰ θυμιάματά σου καὶ νὰ τὰ φέρει στὸν Πατέρα του μαζὶ μὲ τὸ ζωοποιὸ Πνεῦμα, καὶ νὰ κάνει κοντά σου κατοικία στὸ ναό σου, τὸν ὁποῖο τοῦ παρουσίασες σὰν ζωντανή, ἁγία, εὐάρεστη σ' αὐτὸν θυσία· καὶ τότε, ἀφοῦ ζεσταθεῖς ἀπὸ αὐτὴ τὴ φωτιά, θὰ ποθήσεις νὰ γίνεις πάντα συνοδοιπόρος καὶ συμπολίτης καὶ συγκληρονόμος τῶν ἁγίων ποὺ ἔχουν κατορθώσει αὐτὰ «ποὺ μάτι δὲν τὰ εἶδε, οὔτε αὐτὶ τὰ ἄκουσε καὶ σὲ καρδιὰ ἀνθρώπου δὲν ἀνέβηκαν, τὰ ὁποῖα ἑτοίμασε ὁ Θεὸς γι' αὐτοὺς ποὺ τὸν ἀγαποῦν»[62].

67

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Τί νὰ κάνω, πάτερ, ποὺ φοβᾶμαι τὶς νύχτες;

Οἱ κάτοικοι τῆς πόλεως φοβοῦνται τοὺς βαρβάρους ὅσον καιρὸ δὲν ἔχουν τὴ βοήθεια τοῦ βασιλιᾶ· ὅταν ὅμως πληροφορηθοῦν ὅτι ἔφθασε στὴν πόλη ὁ δούκας ἢ ὁ στρατηλάτης, δὲν ἀνησυχοῦν πλέον, διότι γνωρίζουν ὅτι ἐκεῖνοι μεριμνοῦν γι' αὐτούς. Ἀλλὰ καὶ ἂν ἀκούσουν ὅτι ἔφθασαν οἱ βάρβαροι, δὲν ἀνησυχοῦν, ἐπειδὴ ἔχουν ἐκεῖνον ποὺ πολεμᾶ γι' αὐτούς.

---

62. Α' Κορ. 2,9.

Καὶ ἡμεῖς οὖν, ἐὰν πιστεύωμεν εἰς τὸν Θεόν, οὐ φοβούμεθα τοὺς δαίμονας· πέμπει γὰρ ἡμῖν τὴν βοήθειαν αὐτοῦ.

ΞΗ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα*

ἀποσταλεῖσα διὰ γραμμάτων.

Συγχώρησόν με, πάτερ. «Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με», φησὶν ἡ θεία Γραφή· ὥσπερ ὁ ἰατρὸς καίων ἢ τέμνων, γινώσκει ὅτι τὴν θεραπείαν ὁ ἄρρωστος καρποῦται, οὕτω καὶ ὁ νοσῶν, οἶδε μὲν ὅτι τεμνόμενος ἀλγεῖ, τὴν δὲ θεραπείαν ἐκδέχεται. Ἰδοὺ τῷ Θεῷ καὶ τῇ ὁσιότητι ὑμῶν ἐμαυτὸν παραδίδωμι· ἐγὼ γὰρ ὑπολαμβάνω, ὅτι ἀπ' ἐμαυτοῦ ὧδε οὐκ ἦλθον. Λοιπὸν οὖν αὐτὸς τὰ κατ' ἐμὲ πάντα εἰδώς, φανέρωσον, πάτερ, ἐπειδὴ ἐν συγχύσει πολλῇ παθῶν καὶ λογισμῶν ἡ καρδία μου ἀπολέλειπται· πάντα γὰρ ἕτοιμός εἰμι τὰ παρὰ σοῦ, Θεοῦ θέλοντος, δέξασθαι προθύμως μετὰ χαρᾶς, εὐχομένου σου ὑπὲρ ἡμῶν. Κἀγὼ δὲ ὡς ἐκέλευσας γράφω ἢ λέγω, διὰ τοῦ κυροῦ τοῦ Ἀββᾶ.

Ἀπόκρισις

Αδελφέ, ἰδοὺ δεύτερόν σοι τοῦτο ἐπιστόλιον πέμπω ἐπιτρέποντος τοῦ Θεοῦ, δι' οὗ παρακαλῶ τὴν σὴν ἐν τῷ Θεῷ ἀγάπην ἐξυπνίσαι σου τὸν νοητὸν ὀφθαλμὸν τὸν νυστάξαντα ἀπὸ ἀκηδίας, ἵνα μὴ ὑπνώσῃ εἰς θάνατον. Καὶ σὺ οὖν γρηγόρησον τοῦ συνιέναι τὸν νοῦν χωροβατῆσαί σου τὴν γῆν τὴν ἀγαθήν, μήποτε βλαστήσωσιν ἄκανθαι καὶ πνίξωσι τὸν σπόρον, κατὰ τὸ εἰρημένον, «κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσιν». Ἀλλ' ἰσχυρός ἐστιν ὁ δυνάμενος τὸν ζυγὸν καὶ τὸ κέρας αὐτῶν συντρίψαι διὰ τάχους. Ἀμήν.

Καὶ ἐμεῖς λοιπόν, ἐὰν πιστεύουμε στὸ Θεό, δὲν φοβόμαστε τοὺς δαίμονες, διότι μᾶς στέλνει τὴ βοήθειά του.

68

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν μεγάλο Γέροντα
ποὺ στάλθηκε μὲ γράμματα.

Συγχώρεσέ με, πάτερ. Ἡ θεία Γραφὴ λέγει, «ὁ δίκαιος θὰ μὲ παιδεύσει μὲ ἔλεος καὶ θὰ μὲ ἐλέγξει»[62α]· ὅπως ἀκριβῶς ὁ γιατρὸς καυτηριάζοντας ἢ ἐγχειρίζοντας γνωρίζει ὅτι ὁ ἄρρωστος καρποῦται τὴ θεραπεία, ἔτσι καὶ ὁ ἀσθενής, γνωρίζει βέβαια ὅτι πονᾶ ἐγχειριζόμενος, ἀλλ' ὅμως δέχεται τὴ θεραπεία. Νά, παραδίδω τὸν ἑαυτό μου στὸ Θεὸ καὶ στὴν ὁσιότητά σας· διότι ἐγὼ νομίζω ὅτι δὲν ἦλθα ἀπὸ μόνος μου ἐδῶ. Στὸ ἑξῆς λοιπὸν νὰ φανερώσεις, πάτερ, ἐὰν γνωρίζεις ὅλα τὰ σχετικὰ μὲ μένα, ἐπειδὴ ἡ καρδιά μου κουράσθηκε μέσα στὴν πολλὴ σύγχυση τῶν παθῶν καὶ τῶν λογισμῶν· διότι εἶμαι ἕτοιμος νὰ δεχθῶ πρόθυμα μὲ χαρὰ ὅλα τὰ προερχόμενα ἀπὸ σένα, ἂν θέλει ὁ Θεός, ὅταν προσεύχεσαι γιὰ μᾶς. Καὶ ἐγώ, ὅπως παρήγγειλες, γράφω ἢ λέγω μέσω τοῦ Ἀββᾶ.

Ἀπόκριση

Ἀδελφέ, νά, σοῦ στέλνω τὴ δεύτερη αὐτὴ ἐπιστολὴ μὲ τὴν ἄδεια τοῦ Θεοῦ, μὲ τὴν ὁποία παρακαλῶ τὴν ἀγάπη σου κατὰ Θεὸ νὰ ξυπνήσει τὸ νοητὸ μάτι σου ποὺ νύσταξε ἀπὸ τὴν ἀκηδία, γιὰ νὰ μὴ νυστάζει μέχρι τὸ θάνατο. Καὶ σὺ λοιπὸν βιάσου νὰ καταλάβεις μὲ τὸ νοῦ, ὥστε νὰ ἐλέγξεις τὴν ἀγαθὴ γῆ, μήπως βλαστήσουν ἀγκάθια καὶ πνίξουν τὸν σπόρο, κατὰ τὸ λεγόμενο, «οἱ ἀσεβεῖς περπατοῦν κυκλικά»[63]. Ἀλλὰ εἶναι ἰσχυρὸς αὐτὸς ποὺ μπορεῖ νὰ συντρίψει γρήγορα τὸ ζυγὸ καὶ τὸ τόξο. Γένοιτο.

62α. Ψαλμ. 140,5.

63. Ψαλμ. 11(12),9.

Ξθ'

Τοῦ αὐτοῦ μεγάλου Γέροντος πρός τινα ἡσυχάζοντα, ἐρωτήσαντα περὶ τοῦ διακονοῦντος αὐτῷ· καὶ περὶ παραδοχῆς λογισμῶν· καὶ περὶ τῶν κατὰ σάρκα συγγενῶν.

Ἀδελφέ, ὡς τῇ ψυχῇ μου λαλῶ σοι. Γέγραπται γάρ, «μήποτε ἡ γνῶσις ὑμῶν πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν ἀδελφοῖς». Ὁ ἀδελφὸς ὁ διακονῶν σοι, ἀκεραιότητα ἔχει, μὴ θελήσῃς διδάξαι αὐτὸν φρόνησιν, ἐπεὶ ἐγείρεις ἐπάνω αὐτοῦ ὀργήν· ἀλλ' ἀρκέσθητι πρὸς αὐτὸν τῷ ποιῆσαί σου τὴν χρείαν, μὴ παρέχων αὐτῷ περὶ φρονήσεως λογισμόν, καλῶς ἔχει· μὴ ταράξῃς αὐτοῦ τὴν καρδίαν. Τῶν τελείων ἐστὶ τὸ ἐᾶσαι τὸν λογισμὸν αὐτὸν εἰσελθεῖν, καὶ πάλιν αὐτὸν ἐκβαλεῖν. Λοιπὸν σύ, μὴ εἰσενέγκῃς τὸ λαμπρὸν κατακαῦσαί σου τὸν δρυμῶνα· μὴ ἀφήσῃς ληφθῆναι τὰ ἱμάτιά σου, ἵνα μὴ μετὰ μάχης λάβῃς αὐτά· μὴ πειράσῃς σεαυτὸν ταραχθῆναι, οὐ γὰρ στήκεις εἰς τὸν τοιοῦτον πειρασμόν. Λοιπὸν πρόσεχε σεαυτῷ, καὶ εὔχου ὑπὲρ ἐμοῦ.

Περὶ δὲ τῶν κατὰ σάρκα συγγενῶν, εἰπόντος τοῦ Κυρίου, 'τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες οἱ ἀδελφοί μου', οὐ δύνασαι παραβῆναι τὴν ἐντολὴν τοῦ Θεοῦ καὶ ἔχειν φιλίαν μετὰ σαρκικῶν ἀδελφῶν. Εἰ δὲ ἱματίων δέονται, διατί οὐκ ἐμνήσθης τῶν πτωχῶν, «γυμνὸς ἤμην καὶ περιεβάλετέ με», ἀλλὰ χλευαζόμενος ὑπὸ τῶν δαιμόνων, μνημονεύεις πάλιν ὧν ἀφῆκας διὰ τὸν Θεόν, ἵνα γένῃς παραβάτης; Οὐαὶ ἡμῖν, ἀδελφέ, πῶς ἐργάζονται μεθ' ἡμῶν. Θέλεις δὲ τὴν ἀγάπην αὐτῶν, ἣν καὶ πρὸς πάντας χρεωστεῖς; Εὖξαι ὑπὲρ αὐτῶν, ἵνα καὶ αὐτοὶ σωθῶσι χάριτι

69

Τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς κάποιον ποὺ ἡσύχαζε,

ποὺ τὸν ἐρώτησε γιὰ ἐκεῖνον ποὺ τὸν διακονεῖ· ἐπίσης γιὰ τὴν ἐπιδοκιμασία τῶν λογισμῶν καὶ γιὰ τοὺς κατὰ σάρκα συγγενεῖς.

Αδελφέ, σοῦ μιλῶ ὅπως στὴν ψυχή μου. Διότι ἔχει γραφεῖ, ποτὲ ἡ γνώση μας νὰ μὴ γίνει βλάβη γιὰ τοὺς ἀσθενεῖς ἀδελφούς. Ὁ ἀδελφὸς ποὺ σὲ διακονεῖ, ἔχει ἀκεραιότητα, καὶ νὰ μὴ θελήσεις νὰ τὸν διδάξεις φρόνηση, ἐπειδὴ μπορεῖ νὰ προξενήσεις πάνω του ὀργή· ἀλλὰ νὰ ἀρκεσθεῖς νὰ σοῦ κάνει τὰ ἀναγκαῖα χωρὶς νὰ τοῦ προσφέρεις τὸν λογισμὸ γιὰ φρόνηση, μήπως ταράξεις τὴν καρδιά του. Στοὺς τελείους ἀνήκει ν' ἀφήνουν τὸ λογισμό τους νὰ μπεῖ στὴν καρδιὰ καὶ πάλι νὰ τὸν βγάλουν. Ἐσὺ λοιπὸν μὴ βάλεις μέσα σου τὴ λάμψη, γιὰ νὰ σοῦ κατακάψει τὸ δάσος· νὰ μὴ ἀφήσεις νὰ σοῦ πάρουν τὰ ροῦχα σου, γιὰ νὰ μὴ τὰ πάρεις μὲ πόλεμο. Νὰ μὴν πειράζεις τὸν ἑαυτό σου, ὥστε νὰ ταράσσεσαι, διότι δὲν ἀντέχεις σ' αὐτὸν τὸν πειρασμό. «Πρόσεχε λοιπὸν τὸν ἑαυτό σου»[64] καὶ νὰ προσεύχεσαι γιὰ μένα.

Γιὰ τοὺς κατὰ σάρκα συγγενεῖς εἶπε ὁ Κύριος, ποιά εἶναι ἡ μητέρα μου, καὶ ποιά τ' ἀδέλφια μου[65]. Δὲν μπορεῖς νὰ παραβαίνεις τὴν ἐντολὴ τοῦ Θεοῦ καὶ νὰ ἔχεις φιλία μὲ σαρκικὰ ἀδέλφια. Ἐὰν χρειάζονται ἐνδύματα γιατί δὲν θυμήθηκες τοὺς φτωχούς, «γυμνὸς ἤμουν καὶ μὲ ντύσατε», ἀλλὰ χλευαζόμενος ἀπὸ τοὺς δαίμονες, θυμᾶσαι πάλι αὐτὰ ποὺ ἄφησες γιὰ τὸ Θεό, γιὰ νὰ γίνεις παραβάτης; Ἀλλοίμονό μας, ἀδελφέ, πῶς ἐνεργοῦν μὲ μᾶς. Θέλεις τὴν ἀγάπη τους, τὴν ὁποία χρωστᾶς σὲ ὅλους; Νὰ προσεύχεσαι γι' αὐτούς, γιὰ νὰ σωθοῦν καὶ αὐτοὶ μὲ τὴ χάρη τοῦ Θεοῦ. Πρόσεχε λοιπὸν τὸν ἑαυτό σου, νὰ μὴ

---

64. Λουκᾶ 12,1.
65. Ματθ. 12,48.

Χριστοῦ. Πρόσεχε οὖν σεαυτῷ μηκέτι χλευασθῆναι· ἀφέντες γὰρ τὰ συλλάβεια, εἰς τὸν ἀλφάβητον ὑπεστρέψαμεν.

Πύκτευσον οὖν τοῦ ἀποθανεῖν, εἰ σωθῆναι θέλεις· τὸ ἀψήφιστον κράτει, καὶ τρέχε πρὸς τὸ προκείμενον· μὴ προφάσει δικαιώματος ἐνέγκῃ σοι ὁ διάβολος ἄκαιρον φροντίδα. Ἀμερίμνησον ἀπὸ παντὸς πράγματος· κἄν τε ζῶσι κἄν τε ἀποθνήσκωσι, μὴ πέμψῃς ἐκεῖ. Μνήσθητι τοῦ Κυρίου λέγοντος, «ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς». Σεαυτῷ πρόσεχε· ἐκεῖνοι γὰρ οὐ ῥύονταί σε ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ· πολλάκις λέγω σοι· ἐξυπνίσθητι ἀπὸ τοῦ βαρυτάτου ὕπνου· οὐκ οἶδας γὰρ ποίᾳ ὥρᾳ ὁ Κύριος ἔρχεται, ἵνα εὕρῃ σε ἕτοιμον.

Περὶ δὲ τῶν μολυσμῶν, πτῶσίς ἐστι τῇ ψυχῇ· ἀγάπησον τὸν Ἰησοῦν ἐξ ὅλης τῆς καρδίας σου, καὶ οὐ πίπτεις εἰς τὸν αἰῶνα. Εἰρήνη σοι ἐν ἀγάπῃ Θεοῦ· εἰρήνη σοι ἐν φιλήματι ἁγίῳ.

Ο'

Τῶν πατέρων τις ἡσυχάζων ᾐτήσατο τὸν αὐτὸν μέγαν Γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ.

Ὅταν πέμπῃ ἄνθρωπός τινα σχολαστικὸν συνηγορῆσαι ὑπὲρ αὐτοῦ τῷ βασιλεῖ, ἀεὶ εὔχεται ὑπὲρ αὐτοῦ, ἵνα εἰσακουσθῇ· οὐκ ἔτι ὁ σχολαστικὸς εἰσακούεται, ἀλλ' ἡ δέησις ἣν ἀπέστειλε πρὸς τὸν βασιλέα. Τὸ αὐτὸ οὖν καὶ ὑμεῖς εὔξασθε, ἵνα εἰσακουσθῶ. Καὶ δεικνύων ὑμῖν ὑπακοὴν εὔχομαι συντόμως ὑπέρ τε ὑγιείας καὶ σωτηρίας ψυχῆς καὶ σώματος ὑμῶν· ἐὰν γὰρ εἰσακουσθῶ (εἰσακούει γὰρ ὁ Θεὸς πάντων), τοῦτο ἐπιγράφω ταῖς ὑμετέραις εὐχαῖς. Οὔτε γὰρ σχολαστικὸς ἐγενόμην τοῦ συνηγορῆσαι, τοῦτ' ἔστι δίκαιος, οὔτε παρρησίαν ἔχω· ἀλλ' ἔχω ἐμαυτὸν ὡς δοῦλον πεμπόμενον».

Ὁ Κύριος οὖν εἰσακοῦσαι τῶν εὐχῶν. Ὑπὲρ τῆς ταλαιπωρίας μου εὔξασθε.

χλευασθεῖς πλέον· διότι, ἀφοῦ ἀφήσαμε τὰ συλλαβάρια, ἐπιστρέψαμε στὸ ἀλφάβητο.

Ἀγωνίσου λοιπὸν νὰ πεθάνεις, ἐὰν θέλεις νὰ σωθεῖς· κράτα το ἀψήφιστο καὶ τρέχα στὸ προκείμενο· νὰ μὴ σοῦ φέρει ὁ διάβολος ἄκαιρη φροντίδα μὲ τὴν πρόφαση ἐντολῆς. Ἀμερίμνησε γιὰ κάθε πρᾶγμα· εἴτε ζοῦν, εἴτε πέθαναν νὰ μὴ στείλεις ἐκεῖ. Θυμήσου τὸν Κύριο ποὺ λέγει, «ἄφησε τοὺς νεκροὺς νὰ θάψουν τοὺς νεκρούς τους»[66]. Πρόσεχε τὸν ἑαυτό σου, διότι δὲ θὰ σὲ σώσουν ἐκεῖνοι κατὰ τὴ φοβερὴ ἡμέρα. Πολλὲς φορὲς σοῦ λέγω· ξύπνα ἀπὸ τὸν βαρύτατο ὕπνο, διότι δὲν ξέρεις, τί ὥρα ἔρχεται ὁ Κύριος, γιὰ νὰ σὲ βρεῖ ἕτοιμο.

Ὡς πρὸς τοὺς μολυσμούς, εἶναι πτώση στὴν ψυχή. Ἀγάπησε τὸν Ἰησοῦ μὲ ὅλη τὴν καρδιά σου, καὶ δὲν πέφτεις στὸν αἰώνα. Εἰρήνη σὲ σένα στὸ ὄνομα τῆς ἀγάπης τοῦ Θεοῦ· εἰρήνη σὲ σένα μαζὶ μὲ ἅγιο φίλημα.

70

Κάποιος ἀπὸ τοὺς Πατέρες ποὺ ἡσύχαζε ζήτησε ἀπὸ τὸν ἴδιο μεγάλο Γέροντα νὰ προσευχηθεῖ γι' αὐτόν.

Ὅταν ἕνας ἄνθρωπος στέλνει κάποιον δικηγόρο νὰ συνηγορήσει γι' αὐτὸν στὸ βασιλέα, πάντα προσεύχεται γι' αὐτόν, ὥστε νὰ εἰσακουσθεῖ· δὲν εἰσακούεται ὁ δικηγόρος, ἀλλὰ ἡ δέηση τὴν ὁποία ἔστειλε στὸ βασιλιά. Καὶ ἐσεῖς λοιπὸν νὰ εὔχεσθε τὸ ἴδιο, γιὰ νὰ εἰσακουσθῶ. Καὶ δείχνοντας ὑπακοὴ σὲ σᾶς εὔχομαι σύντομα γιὰ ὑγεία καὶ σωτηρία τῆς ψυχῆς καὶ τοῦ σώματός σας, διότι, ἐὰν εἰσακουσθῶ (ὁ Θεὸς ὅλων ἀκούει), τὸ ἀποδίδω στὶς δικές σας εὐχές. Διότι οὔτε δικηγόρος ἔγινα, ὥστε νὰ συνηγορῶ, δηλαδὴ δίκαιος, οὔτε παρρησία ἔχω· ἀλλὰ ἔχω τὸν ἑαυτό μου σὰν δοῦλο ποὺ στέλλεται.

Ὁ Κύριος λοιπὸν ἂς ἀκούσει τὶς εὐχές. Προσευχηθεῖτε γιὰ μένα τὸν ταλαίπωρο.

---

66. Ματθ. 8,22.

ΟΑ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Πῶς δὴ προσεύχεσθαι, ὡς εἶπεν ὁ Κύριος, τὸ «Πάτερ ἡμῶν» ἢ ὡς εἶπεν ὁ ἀββᾶς Μακάριος ὁ Σκητιώτης, 'Κύριε, ὡς θέλεις ἐλέησον', καὶ ἐὰν ἐπίκηται πόλεμος, 'Κύριε, ὡς κελεύεις βοήθησον'; Μήποτε τοῖς τελείοις μόνοις εἴρηται τό, «Πάτερ ἡμῶν» · καὶ τὰ λοιπά.

Τό, «Πάτερ ἡμῶν», καὶ τελείοις προσετάγη καὶ ἁμαρτωλοῖς· ἵνα οἱ μὲν τέλειοι, γνόντες τίνος γεγόνασιν υἱοί, σπουδάσωμεν αὐτοῦ μὴ ἐκπεσεῖν· οἱ δὲ ἁμαρτωλοὶ μετ' αἰσχύνης αὐτὸν καλοῦντες Πατέρα τὸν παρ' αὐτοῖς πολλάκις ὑβριζόμενον, ἐντραπῶσι καὶ ἔλθωσιν εἰς μετάνοιαν. Ὡς δὲ ὑπολαμβάνω, πλεῖον τοῖς ἁμαρτωλοῖς ἁρμόζει· τὸ γὰρ εἰπεῖν, «ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν», ἁμαρτωλῶν ἐστι. Ποῖα γὰρ ὀφειλήματα ἔχουσιν οἱ τέλειοι, υἱοὶ γενόμενοι τοῦ ἐν οὐρανοῖς Πατρός; Τὸ δὲ εἰπεῖν, «μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ», ἰσοδυναμεῖ τοῖς τοῦ ἀββᾶ Μακαρίου ῥήμασιν, εἰπόντος ἐκείνου, 'ἐλέησον' καὶ 'βοήθησον'.

ΟΒ'

Ἀπόκρισις *τοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν αἰτήσαντα εὐλογίαν, καὶ περὶ ἀπαθείας ἐρώτησις.*

Ἀδελφέ, ὁ Θεὸς οἶδε τὸ συμφέρον. Ἤτησας ἄρτον λαβεῖν παρὰ τῆς ἐμῆς ἀσθενείας· καὶ ἐπέκεινα τῶν τεταγμένων τριῶν ἄρτων τὴν ἑβδομάδα οὐκ εἰσῆλθεν εἰς τὸ κοιμητήριόν μου. Νῦν δὴ κατ' οἰκονομίαν τάχα Θεοῦ, ὅπερ οὐδέποτε ἀφ' ἑαυτοῦ ἐποίησε, καὶ πρὸ τοῦ ἀρκοῦσαι παρ' ἐμοῦ ὁ

71

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Πῶς πρέπει νὰ προσευχόμαστε; ὅπως ὁ Κύριος εἶπε, τὸ «Πάτερ ἡμῶν», ἢ ὅπως εἶπε ὁ ἀββᾶς Μακάριος ὁ Σκητιώτης, 'Κύριε, ὅπως θέλεις, ἐλέησε', καὶ ἐὰν ἐπίκειται πόλεμος, 'Κύριε, ὅπως διατάσσεις βοήθησε'; Μήπως τὸ «Πάτερ ἡμῶν» ἔχει εἰπωθεῖ μόνο γιὰ τοὺς τέλειους; καὶ τὰ λοιπά.

Τὸ «Πάτερ ἡμῶν», προστάχθηκε καὶ στοὺς τέλειους καὶ στοὺς ἁμαρτωλούς· ἔτσι οἱ τέλειοι, ἀφοῦ γνωρίσουν ποιοῦ υἱοὶ εἶναι, νὰ φροντίσουν νὰ μὴ ἐκπέσουν ἀπὸ αὐτόν· καὶ οἱ ἁμαρτωλοὶ ἀποκαλώντας τὸν μὲ ντροπὴ Πατέρα, αὐτὸν ποὺ πολλὲς φορὲς βρίζουν, νὰ ντραποῦν καὶ νὰ μετανοιώσουν. Ὅπως νομίζω δηλαδὴ ἡ μετάνοια ἁρμόζει περισσότερο στοὺς ἁμαρτωλούς· διότι τὸ νὰ πεῖς «συγχώρησέ μας τὰ ὀφειλήματα», εἶναι τῶν ἁμαρτωλῶν. Διότι ποιά ὀφειλήματα ἔχουν οἱ τέλειοι, οἱ ὁποῖοι ἔγιναν υἱοὶ τοῦ ἐπουράνιου Πατέρα; Τὸ νὰ πεῖς ὅμως, «μὴ μᾶς ἀφήνεις νὰ πέσουμε σὲ πειρασμό, ἀλλὰ σῶσε μας ἀπὸ τὸν πονηρό», ἰσοδυναμεῖ μὲ τὰ λόγια τοῦ ἀββᾶ Μακαρίου, ποὺ ἐκεῖνος εἶπε, 'ἐλέησε' καὶ 'βοήθησε'.

72

Ἀπόκριση τοῦ μεγάλου Γέροντα πρὸς τὸν ἴδιο
ποὺ ζήτησε εὐλογία· ἐπίσης ἐρώτηση γιὰ ἀπάθεια.

Ἀδελφέ, ὁ Θεὸς γνωρίζει τὸ συμφέρον. Ζήτησες νὰ πάρεις ἄρτο ἀπὸ τὴ δική μου ἀσθένεια, ἀλλὰ δὲν μπῆκε στὸ κοιμητήριό μου περισσότερο ἀπὸ τοὺς τρεῖς καθορισμένους ἄρτους τὴν ἑβδομάδα. Τώρα ὅμως ἴσως κατ' οἰκονομία Θεοῦ, ὁ γλυκύτερος ἀπὸ τὸ μέλι υἱός τῶν ὠδίνων μου, αὐ-

γλυκύτερος τοῦ μέλιτος υἱὸς τῶν ὠδίνων μου, ὁ πάντας ἔχων ὁμοψύχους καὶ τὴν ὠφέλειαν πάντων ἑαυτοῦ λογιζόμενος, ἀνῆλθε φέρων ἄρτον· καὶ ἠδυνήθην ἀποστρέψαι λέγων, συμφέρει, καὶ ἐν τούτῳ κόψαι τὸ ἴδιον θέλημα, καὶ ἔκλασα αὐτὸν καὶ ἔπεμψα τῇ ἀγάπῃ σου, κατακρίνων ἐμαυτὸν ὡς ἀνάξιον οὗ ἐποίησα, ὁ Κύριος δὲ κατὰ τὴν πίστιν σου ποιήσει αὐτόν, κἀμὲ μὴ κατακρίνῃ.

Ἐὰν ᾖν δὲ ὁ περὶ τούτου λόγος μέχρι σοῦ, καὶ τῶν εἰσερχομένων πρὸς σὲ δύο ἀδελφῶν, συγκεχώρηταί σοι δηλῶσαι αὐτοῖς.

Περὶ δὲ τῆς ἀπαθείας τοῦτο χάρισμά ἐστι Θεοῦ καὶ τῷ βουλομένῳ παρέχει αὐτό. Ὁ Θεὸς δώῃ σοι χεῖρα εἰς ἃ σεαυτὸν ἐπεκτείνεις κατὰ φόβον καὶ κατὰ θέλημα αὐτοῦ. Ἀμήν.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ.

ΟΓ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα Ἰωάννην.*

Διατί, πάτερ, ἐκάλεσε τὸ κελλίον αὐτοῦ 'κοιμητήριον' ὁ καλόγηρος;

Ὅτι ἀνεπαύσατο ἀπὸ τῶν παθῶν ὅλων· ἀπέθανε γὰρ τελείως τῇ ἁμαρτίᾳ. Καὶ τὸ κελλίον αὐτοῦ ἐν ᾧ ἐζώγρηται, ὡς ἐν τάφῳ, διὰ τὸ ὄνομα τοῦ Ἰησοῦ, τόπος ἀναπαύσεώς ἐστιν· ἔνθα οὐ πατεῖ δαίμων, οὐδὲ ὁ ἄρχων αὐτοῦ διάβολος· ἁγιαστήριον γὰρ ἐγένετο, ὅτι ἐχώρησε τὸ κατοικητήριον τοῦ Θεοῦ.

Ἐν πᾶσιν οὖν δοξάσωμεν πάντες ὁμοθυμαδὸν τὸν Θεόν.

ΟΔ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν Γέροντα.*

Ἐπειδὴ ἐν τοῖς βίοις τῶν Γερόντων γέγραπται, ὅτι 'ὃς μὲν

τὸς ποὺ ἔχει ὅλους τοὺς ἀνθρώπους ὁμόψυχους καὶ σκέφτεται τὴν ὠφέλεια ὅλων, ἀνέβηκε γιὰ νὰ φέρει ἄρτο, πρᾶγμα τὸ ὁποῖο ποτὲ μέχρι τώρα δὲν ἔκανε μόνος του· καὶ μπόρεσα νὰ γυρίσω πίσω λέγοντας, 'συμφέρει καὶ σ' αὐτὸ νὰ κόψω τὴν θέλησή μου'· ἔκοψα τὸν ἄρτο καὶ ἔστειλα στὴν ἀγάπη σου, κατακρίνοντας τὸν ἑαυτό μου σὰν ἀνάξιο αὐτοῦ ποὺ ἔκανα, ὁ Κύριος ὅμως ἂς τὸ κάνει σύμφωνα μὲ τὴν πίστη σου, καὶ ἐμένα ἂς μὴ μὲ κατακρίνει.

Ἐὰν ὁ λόγος ὁ σχετικὸς μ' αὐτὸν ἦταν μόνο γιὰ ἐσένα καὶ τοὺς δύο ἀδελφοὺς ποὺ ἔρχονται σὲ σένα, ἐπιτρέπεται νὰ τοὺς τὸ φανερώσεις.

Ὅσο γιὰ τὴν ἀπάθεια, αὐτὸ εἶναι χάρισμα Θεοῦ καὶ τὸ παρέχει σ' αὐτὸν ποὺ τὴ θέλει. Ὁ Θεὸς εἴθε νὰ σὲ βοηθήσει σὲ ὅσα ἐπεκτείνεσαι μὲ φόβο καὶ σύμφωνα μὲ τὸ θέλημά του. Γένοιτο.

Προσευχήσου γιὰ μένα, ἀδελφέ.

73

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα Ἰωάννη.

Γιατί, πάτερ, ὁ καλόγηρος ὀνόμασε τὸ κελλί του 'κοιμητήριο';

Διότι ἀναπαύθηκε ἀπὸ ὅλα τὰ πάθη· πραγματικὰ πέθανε τελείως ὡς πρὸς τὴν ἁμαρτία. Τὸ κελλὶ μέσα στὸ ὁποῖο εἶναι αἰχμαλωτισμένος σὰν σὲ τάφο, γιὰ τὸ ὄνομα τοῦ Ἰησοῦ, εἶναι τόπος ἀναπαύσεως, ὅπου δὲν πατεῖ δαίμονας, οὔτε ὁ ἄρχοντας αὐτοῦ ὁ διάβολος· διότι ἔγινε ἁγιαστήριο, ἐπειδὴ χώρεσε τὸ κατοικητήριο τοῦ Θεοῦ.

Σὲ ὅλα λοιπὸν ἂς δοξάσουμε ὅλοι μὲ μιὰ ψυχὴ τὸ Θεό.

74

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο γέροντα.

Ἐπειδὴ ἔχει γραφεῖ στοὺς βίους τῶν γερόντων ὅτι ὁ ἕνας

ἐποίει εὐχὰς ἑκατόν, ὃς δὲ τόσας', ὀφείλομεν καὶ ἡμεῖς εὐχόμενοι ἔχειν μέτρον, ἢ οὔ· καὶ πῶς δεῖ ποιεῖσθαι τὰς εὐχάς, ἐκτεταμένας, ἢ λέγειν τὸ «Πάτερ ἡμῶν» καὶ καθῆσθαι εἰς τὸ ἐργόχειρον; Καὶ ἐν τῷ ἐργάζεσθαι τί δεῖ ποιεῖν; Ὁμοίως περὶ τῶν ἑσπερινῶν καὶ νυκτερινῶν, πῶς ὀφείλει διάγειν ὁ κατὰ μόνας; καὶ εἰ δεῖ λέγειν τὰς ᾠδὰς ἢ ὕμνους.

Ἀπόκρισις

Αἱ ὧραι καὶ αἱ ᾠδαὶ ἐκκλησιαστικαί εἰσι παραδόσεις, καὶ καλαὶ διὰ τὴν συμφωνίαν παντὸς τοῦ λαοῦ· καὶ εἰς τὰ κοινόβια τὸ αὐτὸ διὰ τὴν συμφωνίαν τοῦ πλήθους. Οἱ δὲ Σκητιῶται, οὔτε ὥρας ἔχουσιν, οὔτε ᾠδὰς λέγουσιν, ἀλλὰ κατὰ μόνας ἐργόχειρον καὶ μελέτην, καὶ κατ' ὀλίγον εὐχήν. Στήκων δὲ εἰς εὐχὴν ὀφείλεις παρακαλέσαι ἐλευθερωθῆναι ἀπὸ τοῦ παλαιοῦ ἀνθρώπου, ἢ λέγειν τὸ «Πάτερ ἡμῶν», ἢ καὶ τὰ ἀμφότερα, καὶ καθῆσθαι εἰς τὸ ἐργόχειρον. Περὶ δὲ τοῦ ἐκτείνειν τὴν εὐχὴν ὅταν στήκῃς ἢ ἀδιαλείπτως εὔχῃ, κατὰ τὸν Ἀπόστολον, οὐ χρὴ ἐκτεῖναι ὅταν ἐγείρῃ. Ἐν ὅλῃ γὰρ ἡμέρᾳ ὁ νοῦς σου εἰς τὴν εὐχήν ἐστιν· ἐὰν δὲ καθέζῃ εἰς τὸ ἐργόχειρον, χρὴ ἀποστηθίζειν ἢ λέγειν ψαλμούς. Ἐπὶ δὲ τέλει ἑνὸς ἑκάστου ψαλμοῦ, εὔχεσθαι καθήμενον, ὅτι «ὁ Θεός, ἐλέησόν με τὸν ταλαίπωρον»· εἰ δὲ καὶ ὀχλῇ τοῖς λογισμοῖς ἐπιλέγειν, «ὁ Θεός, σὺ ὁρᾷς τὴν θλῖψίν μου, βοήθησόν μοι», ὡς οὖν ἐργάζῃ τρεῖς στίχους εἰς τὸ δίκτυον, ἔγειραι εἰς τὴν εὐχήν· καὶ κλίνας γόνυ ὁμοίως καὶ ἱστάμενος, ποίει τὴν εἰρημένην εὐχήν.

ἔκανε ἑκατὸ εὐχὲς καὶ ὁ ἄλλος τόσες, πρέπει καὶ ἐμεῖς ὅταν προσευχόμαστε νὰ ἔχουμε μέτρο ἢ ὄχι, καὶ πῶς πρέπει νὰ κάνουμε τὶς προσευχές, ἐκτεταμένες, ἢ νὰ λέμε τὸ «Πάτερ ἡμῶν» καὶ νὰ καθόμαστε στὸ ἐργόχειρο; Καὶ ἐνῶ ἐργαζόμαστε τί πρέπει νὰ κάνουμε; Ὅμοια καὶ γιὰ τὶς ἑσπερινὲς καὶ νυχτερινὲς ἀκολουθίες, πῶς πρέπει νὰ ἐνεργεῖ αὐτὸς ποὺ μονάζει; καὶ ἐὰν πρέπει νὰ λέγει τὶς ᾠδὲς ἢ τοὺς ὕμνους.

Ἀπόκριση

Οἱ ὧρες καὶ οἱ ᾠδὲς εἶναι ἐκκλησιαστικὲς παραδόσεις, καὶ καλὲς γιὰ τὴ συμφωνία κάθε λαοῦ· καὶ στὰ κοινόβια τὸ ἴδιο, γιὰ τὴ συμφωνία τοῦ πλήθους. Οἱ Σκητιῶτες δὲν ἔχουν οὔτε ὧρες, οὔτε λένε ᾠδές, ἀλλὰ ἐκτελοῦν μεμονωμένα ἐργόχειρο καὶ μελέτη καὶ γιὰ λίγο προσευχή. Ὅταν στέκεσαι νὰ προσευχηθεῖς, ὀφείλεις νὰ παρακαλέσεις τὸ Θεὸ γιὰ νὰ ἐλευθερωθεῖς ἀπὸ τὸν παλαιὸ ἄνθρωπο ἢ νὰ λέγεις τὸ «Πάτερ ἡμῶν» ἢ καὶ τὰ δύο καὶ νὰ κάθεσαι στὸ ἐργόχειρο. Γιὰ τὸ ἂν πρέπει νὰ ἐκτείνεις τὴν προσευχὴ ὅταν στέκεσαι νὰ προσευχηθεῖς, ἢ νὰ προσεύχεσαι ἀδιάλειπτα, σύμφωνα μὲ τὸν Ἀπόστολο[67], δὲν πρέπει νὰ τὴν ἐκτείνεις ὅταν σηκώνεσαι ἀπὸ τὸν ὕπνο. Διότι ὁ νοῦς σου ὅλη τὴν ἡμέρα εἶναι στὴν προσευχή· ἐὰν κάθεσαι στὸ ἐργόχειρο, πρέπει νὰ ἀποστηθίζεις ἢ νὰ λέγεις ψαλμούς. Καὶ στὸ τέλος κάθε ψαλμοῦ νὰ προσεύχεσαι καθήμενος, λέγοντας, «Θεέ μου, ἐλέησέ με τὸν ταλαίπωρο». Καὶ ἐὰν πάλι βασανίζεσαι μὲ τοὺς λογισμοὺς νὰ προσθέτεις καὶ νὰ λέγεις· «Θεέ μου, ἐσὺ βλέπεις τὴ θλίψη μου, βοήθησέ με»[68]. Μόλις λοιπὸν πλέξεις τρεῖς σειρὲς στὸ δίχτυ, νὰ σηκώνεσαι γιὰ προσευχή· καὶ ἀφοῦ γονατίσεις καὶ σταθεῖς, κάμνε μὲ ὅμοιο τρόπο τὴν ἀναφερθεῖσα προσευχή.

---

67. Α' Θεσ. 5,17.
68. Ψαλμ. 118 (119),86.

Περὶ δὲ ἑσπερινῶν, δώδεκα ψαλμοὺς λέγουσιν οἱ Σκητιῶται καθ' ἕκαστον τέλος ἀντὶ δοξολογίας, ''Ἀλληλούϊα' λέγοντες, καὶ ποιοῦντες μίαν εὐχήν. Ὁμοίως δὲ καὶ τὴν νύκτα, δώδεκα ψαλμούς, καὶ μετὰ τοὺς ψαλμοὺς καθέζονται εἰς τὸ ἐργόχειρον· καὶ εἴ τις θέλει ἀποστηθίζει, ἄλλος ἐρευνᾷ τοὺς ἑαυτοῦ λογισμοὺς καὶ τοὺς βίους τῶν Πατέρων· ὁ δὲ ἀναγινώσκων πέντε ἢ ὀκτὼ φύλλα, λέγει καὶ τὸ ἐργόχειρον. Ὁ δὲ ψάλλων ἢ ἀποστηθίζων, διὰ τῶν χειλέων ὀφείλει ψάλλειν, εἰ οὐκ ἔστι πλησίον αὐτοῦ ἄλλος καὶ θέλει παρατηρῆσαι, ἵνα μηδεὶς μάθῃ τί ποιεῖ.

ΟΕ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν Γέροντα.*

Περὶ τοῦ ὕπνου, πόσον δεῖ κοιμηθῆναι, καὶ πόσον ἀγρυπνῆσαι, καὶ πόσοις δεῖ ἀρκεῖσθαι ἱματίοις;

Ἀπόκρισις

Περὶ τοῦ ὕπνου τοῦ νυκτερινοῦ, εὔχου δύο ὥρας ἀφ' ἑσπέρας, λογιζόμενος αὐτὰς ἀπὸ τῆς δύσεως τοῦ ἡλίου. Καὶ δοξάσας κοιμῶ ἓξ ὥρας· καὶ ἐγείρου εἰς τὴν ἀγρυπνίαν, καὶ ποίησον τὰς ἄλλας τέσσαρας ὥρας. Καὶ τῷ θέρει ὡσαύτως, πλὴν μετὰ συντομίας ἐν τῷ θέρει καὶ ὀλίγους ψαλμοὺς διὰ τὴν σμικρότητα τῶν νυκτῶν. Καὶ περὶ τῶν ἱματίων, ὁ ἀσθενὴς διὰ τὴν χαυνότητα τοῦ σώματος αὐτοῦ ὀφείλει ἔχειν χειμερινὰ καὶ θερινά. Ὁ δὲ φθάσας τὸν τοῦ Ἀποστόλου λόγον πεινῆν καὶ διψῆν καὶ γυμνητεύειν, παρέρχεται τὸν χρόνον αὐτοῦ μεθ' ἑνὸς χιτῶνος.

Λοιπόν, ἀδελφέ, μὴ ὑψηλοφρονήσωμεν, ἀλλὰ τοῖς ταπεινοῖς συναπαχθῶμεν· καὶ μὴ γογγύσωμεν ἔχοντες ἀνὰ δύο καὶ τρία ἱμάτια.

Ὅσο γιὰ τὶς ἑσπερινές, οἱ Σκητιῶτες λένε δώδεκα ψαλμοὺς καὶ στὸ τέλος τοῦ κάθε ψαλμοῦ ἀντὶ γιὰ δοξολογία λέγουν 'Ἀλληλούϊα', καὶ κάνουν μία προσευχή. Ὅμοια καὶ τὴ νύχτα, λένε δώδεκα ψαλμοὺς καὶ μετὰ τοὺς ψαλμοὺς κάθονται στὸ ἐργόχειρο· καὶ ἂν κανεὶς θέλει ἀποστηθίζει, ἄλλος ἐξετάζει τοὺς λογισμούς του καὶ τοὺς βίους τῶν Πατέρων· καὶ αὐτὸς ποὺ διαβάζει πέντε ἢ ὀκτὼ φύλλα, λέγει καὶ τὴν εὐχὴ τοῦ ἐργόχειρου. Καὶ ἐκεῖνος ποὺ ψάλλει ἢ ἀποστηθίζει, ὀφείλει νὰ ψάλλει μὲ τὰ χείλη, ἐὰν δὲν εἶναι κοντά του ἄλλος ποὺ νὰ θέλει νὰ παρακολουθήσει, γιὰ νὰ μὴ μάθει κανένας τί κάνει.

75

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο Γέροντα.

Γιὰ τὸν ὕπνο, πόσο πρέπει νὰ κοιμᾶμαι καὶ πόσο νὰ ἀγρυπνῶ, καὶ σὲ πόσα ἐνδύματα πρέπει νὰ ἀρκεσθῶ;

Ἀπόκριση

Γιὰ τὸ νυχτερινὸ ὕπνο νὰ προσεύχεσαι δύο ὧρες τὸ βράδυ, ὑπολογίζοντάς τες ἀπὸ τὴ δύση τοῦ ἥλιου. Καὶ ἀφοῦ τὸν δοξάσεις, κοιμήσου ἕξι ὧρες· καὶ σήκω γιὰ ἀγρυπνία καὶ κάμε τὶς ἄλλες τέσσερις ὧρες. Τὸ ἴδιο καὶ τὸ καλοκαίρι, μόνο ποὺ τὸ καλοκαίρι μὲ συντομία καὶ λίγους ψαλμούς, ἐπειδὴ οἱ νύχτες εἶναι μικρές. Καὶ γιὰ τὰ ἱμάτια, ὁ ἀσθενὴς ἐξαιτίας τῆς χαυνότητας τοῦ σώματός του ὀφείλει νὰ ἔχει χειμερινὰ καὶ καλοκαιρινά. Καὶ ἐκεῖνος ποὺ ἔφθασε τὸν λόγο τοῦ Ἀποστόλου, νὰ πεινᾶ, καὶ νὰ διψᾶ καὶ νὰ εἶναι γυμνός, περνᾶ τὸ χρόνο του μὲ ἕνα χιτώνα.

Λοιπόν, ἀδελφέ, νὰ μὴ ὑψηλοφρονήσουμε, ἀλλὰ νὰ συγκαταλεγοῦμε μὲ τοὺς ταπεινούς· καὶ νὰ μὴ δυσανασχετήσουμε, ἔχοντας ἀπὸ δύο καὶ τρία ἐνδύματα.

ΟϚ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν Γέροντα.*

Ἐπειδὴ εἶπάς μοι, πάτερ, ὅτι ἓξ ὥρας ἀγρύπνει, πῶς δύναμαι γνῶναι ὅτι ἓξ ἠγρύπνησα ὥρας;

Ἀπόκρισις

Εἰ μετὰ ἀκριβείας μαθεῖν βούλει τὰς ὥρας, κοιμηθεὶς ἐν μιᾷ ἡμέρᾳ διὰ τὴν στέρησιν τοῦ σώματος, καὶ ἀγρυπνήσας μίαν νύκτα ἀπὸ ἑσπέρας ἕως πρωΐ, μάθε τί ἀποστηθίζεις στιχισμόν· εἰς τὰς ὥρας δὲ μερίσας τὸν στιχισμόν, μανθάνεις ἀκριβῶς· καὶ τὸ θέρει ποίησον οὕτως, καὶ φανεραί σοι γίνονται αἱ ὥραι.

ΟΖ'

Τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.

Πάτερ, εὖξαι ὑπὲρ ἐμοῦ ὅτι ἀσθενῶ καὶ ἵνα δυνηθῶ μετὰ χαρᾶς τὴν ἀσθένειαν βαστάσαι· καὶ εἰπέ μοι πῶς πλύνω τοὺς μολυσμούς.

Ἀπόκρισις

Ἀδελφὲ ποθεινότατε, χαροποιεῖς με τοῖς λόγοις σου, ὅτι μᾶλλον καὶ ἐμέ, μὴ νοῶν τὰ λεγόμενα παρὰ σοῦ, εἶπας σεαυτὸν 'ἁμαρτωλὸν' ἐν ταῖς ἐρωτήσεσι· καὶ ὁ ἁμαρτωλὸς κακός ἐστι δοῦλος, καὶ νῦν εἶπας, ὅτι ἔχεις ἀσθένειαν καὶ ἡ ἡ ἀσθένεια παιδεία ἐστὶν ὁμολογουμένη· ὥστε οὖν ἡ παιδεία ἐπέμφθη τῷ κακῷ δούλῳ. Εἰ οὖν ἀκηδιᾷς δέξασθαι τὴν παιδείαν, παῦσαι τοῦ εἶναι κακός· εἰ δέ κακὸς εἶ, παιδεύθητι. Εἰ δὲ

76

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο Γέροντα.

Ἐπειδὴ Πάτερ, μοῦ εἶπες νὰ ἀγυρπνῶ ἔξι ὥρες, πῶς μπορῶ νὰ γνωρίζω ὅτι ἀγρύπνησα ἔξι ὥρες;

Ἀπόκριση

Ἐὰν θέλεις νὰ μάθεις μὲ ἀκρίβεια τὶς ὥρες, ἀφοῦ κοιμηθεῖς μία μέρα ἐξαιτίας τῆς στέρησης τοῦ σώματος, καὶ ἀφοῦ ἀγρυπνήσεις μία νύχτα ἀπὸ τὸ ἀπόγευμα μέχρι τὸ πρωί, μάθε πόσους στίχους ἀποστηθίζεις· καὶ ἀφοῦ διαιρέσεις τὸν στιχισμὸ μὲ τὶς ὥρες, μαθαίνεις ἀκριβῶς· καὶ τὸ καλοκαίρι κάνε τὸ ἴδιο. Ἔτσι οἱ ὥρες σοῦ γίνονται φανερές.

77

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν μεγάλο Γέροντα.

Πάτερ, νὰ προσεύχεσαι γιὰ μένα, διότι ἀσθενῶ καὶ γιὰ νὰ μπορέσω νὰ ὑπομείνω μὲ χαρὰ τὴν ἀσθένεια· καὶ πές μου πῶς νὰ πλύνω τοὺς μολυσμούς.

Ἀπόκριση

Ἀδελφὲ ποθεινότατε, μὲ χαροποιεῖς μὲ τὰ λόγια σου, διότι μᾶλλον, κατὰ τὴν ἄποψή μου, μὴ καταλαβαίνοντας τὰ λεγόμενά σου, ὀνόμασες στὶς ἐρωτήσεις τὸν ἑαυτό σου 'ἁμαρτωλό'· καὶ ὁ ἁμαρτωλὸς εἶναι κακὸς δοῦλος. Τώρα λοιπὸν εἶπες, ὅτι ἔχεις ἀσθένεια, καὶ ἡ ἀσθένεια εἶναι ἀναγνωρισμένη παιδεία· ὥστε λοιπὸν ἡ παιδεία[69] στάλθηκε στὸν κακὸ δοῦλο. Ἐὰν λοιπὸν στενοχωριέσαι ποὺ δέχεσαι τὴν παιδαγωγία, σταμάτησε νὰ εἶσαι κακός, ἐὰν ὅμως εἶσαι κακός,

69. Μὲ τὴν ἔννοια τῆς διορθώσεως ἀπὸ τιμωρίας.

χαίρεις παιδευόμενος, οὐκ εἶ κακός· ὁ δὲ μὴ ὢν κακός, ἀγαπητός ἐστι· «ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει». Ἴδε οὖν μετὰ ἀληθείας τίς εἶ καὶ ἐπίλεξαι σεαυτῷ ἓν τῶν ῥηθέντων σοι· γινώσκει δὲ ὁ Θεός, ὅτι, εἰ τῆς ἐμῆς καταφρονῶ σωτηρίας, πῶς ποιῶ τὴν δύναμίν μου ὑπὲρ ὑμῶν, φοβούμενος τὴν ἐντολήν.

Τοὺς δὲ μολυσμοὺς εἰ θέλεις νίψασθαι, δάκρυσι νίψον, πᾶν γὰρ σπίλωμα νίπτουσι καθαρίως. Βόησον τῷ Ἰησοῦ· βραγχιᾶσαί σου ὁ λάρυγξ· «ἐπιστάτα, σῶσον ἡμᾶς, ἀπολλύμεθα». Ἔπαρον τὴν τέφραν ἀπὸ τῆς καρδίας σου καὶ ἅψον τὸ πῦρ, ὃ ὁ Κύριος ἦλθε βαλεῖν ἐπὶ τὴν γῆν καὶ ἀναλίσκει ὅλα τοῦτα καὶ εὕριζον ἐκβάλλει σου τὸ χρυσίον καὶ δόκιμον τὸ χωνευτήριον. Νήψεως πολλῆς χρεία.

ΟΗ΄

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Παρακαλῶ μαθεῖν πόθεν γίνεται ἡ χαύνωσις τοῦ σώματος καὶ ἡ τῆξις τῆς καρδίας καὶ διατί οὐχ ἵσταμαι εἰς μίαν δίαιταν.

Ἀπόκρισις

Ἀδελφέ, θαυμάζω καὶ ἐκπλήττομαι, πῶς οἱ κατὰ κόσμον ἐπιθυμοῦντες κερδαίνειν ἢ στρατεύεσθαι καταφρονοῦσι καὶ ἀγρίων θηρίων καὶ λῃστῶν ἐπιβούλων καὶ κινδύνων θαλάσσης καὶ αὐτοῦ τοῦ θανάτου καὶ οὐκ ὀλιγωροῦσι τῇ ψυχῇ διὰ τὸν ποθούμενον πλοῦτον, καὶ τοῦτο ἄδηλον ἔχοντες, ἡμεῖς δὲ οἱ ταλαίπωροι καὶ χαῦνοι, «οἱ λαβόντες ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν

νὰ παιδευτεῖς. Ἐὰν πάλι χαίρεσαι ὅταν παιδεύεσαι, δὲν εἶσαι κακός, καὶ ἐκεῖνος ποὺ δὲν εἶναι κακός, εἶναι ἀγαπητός· διότι ὁ Κύριος παιδεύει ἐκεῖνον ποὺ ἀγαπᾶ. Δὲς λοιπὸν μὲ εἰλικρίνεια ποιός εἶσαι καὶ διάλεξε γιὰ τὸν ἑαυτο σου ἕνα ἀπὸ αὐτὰ ποὺ εἰπώθηκαν σὲ σένα, καὶ ὁ Θεὸς γνωρίζει ὅτι, ἐὰν περιφρονῶ τὴ σωτηρία μου, πῶς χρησιμοποιῶ τὴ δύναμή μου γιὰ σᾶς, φοβούμενος τὴν ἐντολή.

Ἐὰν τώρα θέλεις νὰ πλύνεις τοὺς μολυσμούς, πλύνε τους μὲ δάκρυα, διότι πλένουν καθαρὰ κάθε σπίλωμα. Φώναξε δυνατὰ πρὸς τὸν Ἰησοῦ, ὥστε νὰ βραχνιάσει ὁ λάρυγγάς σου· «Κύριε, σῶσε μας, χανόμαστε»[70]. Ἀφαίρεσε τὴ στάχτη ἀπὸ τὴν καρδιά σου καὶ ἄναψε τὴ φωτιά, τὴν ὁποία ἦλθε νὰ βάλει ὁ Κύριος στὴ γῆ, ἡ ὁποία θὰ σοῦ καταστρέψει ὅλα αὐτὰ καὶ θὰ βγάλει τὸν χρυσό σου καθαρὸ καὶ τὸ χωνευτήρι θὰ τὸ ἀποδείξει δοκιμασμένο. Χρειάζεται πολλὴ νήψη.

78

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Παρακαλῶ νὰ μάθω ἀπὸ ποῦ προκαλεῖται ἡ χαύνωση τοῦ σώματος καὶ τὸ πάγωμα τῆς καρδιᾶς καὶ γιατί δὲν στέκομαι σὲ ἕνα τρόπο ζωῆς.

Ἀπόκριση

Ἀδελφέ, ἀπορῶ καὶ ἐκπλήσσομαι, πῶς ἐκεῖνοι ποὺ κατὰ κόσμο ἐπιθυμοῦν νὰ κερδίζουν ἢ νὰ στρατεύονται περιφρονοῦν καὶ ἄγρια θηρία καὶ ἐπίβουλους ληστὲς καὶ θαλάσσιους κινδύνους καὶ τὸν ἴδιο τὸν θάνατο καὶ δὲν ἀδιαφοροῦν γιὰ τὴ ζωή, ἐξαιτίας τοῦ πλούτου ποὺ ποθοῦν, τὴ στιγμὴ μάλιστα ποὺ τὸν ἔχουν ἀβέβαιο. Ἐνῶ ἐμεῖς οἱ ταλαίπωροι καὶ χαῦνοι, ποὺ πήραμε ἐξουσία νὰ πατοῦμε πάνω σὲ φίδια καὶ

70. Ματθ. 8,25.

δύναμιν τοῦ ἐχθροῦ», οἱ ἀκούσαντες, «ἐγώ εἰμι, μὴ φοβεῖσθε», οἱ σαφῶς εἰδότες ὅτι οὐκ ἐν τῇ ἡμετέρᾳ δυνάμει πολεμοῦμεν, ἀλλὰ τῇ δυνάμει τοῦ δυναμοῦντος καὶ ὁπλίζοντος ἡμᾶς Θεοῦ, ὀλιγωροῦμεν καὶ ἀκηδιῶμεν.

Καὶ πόθεν τοῦτο; Ἐπειδὴ γὰρ οὐ καθηλώθησαν αἱ σάρκες ἡμῶν ἀπὸ τοῦ φόβου αὐτοῦ καὶ οὐδέποτε ἐπελαθόμεθα τοῦ φαγεῖν τὸν ἄρτον ἡμῶν ἀπὸ φωνῆς τοῦ στεναγμοῦ ἡμῶν, διὰ τοῦτο μετατρεπόμεθα ἀπὸ τούτου εἰς τοῦτο καὶ ἀπὸ διαίτης εἰς δίαιταν, ὅτι οὐκ ἐλάβομεν τελείως τὸ πῦρ, ὃ ὁ Κύριος ἦλθε βαλεῖν ἐπὶ τὴν γῆν, ἐπεὶ εἶχε καταναλῶσαι καὶ καταφαγεῖν τὰς ἀκάνθας ἀπὸ τοῦ νοητοῦ ἡμῶν χωρίου. Ἡ χαυνότης ἡμῶν καὶ ἡ ἀμέλεια καὶ ἡ φιλοσωματία, οὐκ ἀφῶσιν ἡμᾶς ἀνανεῦσαι· καὶ μαρτυρεῖ μοι ὁ Κύριος, ὅτι οἶδα ἄνθρωπον καὶ ὧδέ ἐστιν ἐν τῷ εὐλογημένῳ κοινοβίῳ τούτῳ, ἵνα μὴ εἴπῃ τις ὅτι περὶ ἐμαυτοῦ λέγω καὶ ἔχει μέ τι μηδὲν ὄντα· ὅτι, ἐὰν μείνῃ οὗτος ὡς ἐστι, μηδὲν τρώγων, μηδὲν πίνων, μήτε ἱμάτιον ἐνδυόμενος ἕως ἡμέρας ἐπισκοπῆς Κυρίου πρὸς αὐτόν, οὐ μὴ τούτων δεηθῇ εἰς τὸν αἰῶνα· ἡ τροφὴ γὰρ αὐτοῦ καὶ ἡ πόσις καὶ τὸ ἔνδυμα, τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν.

Εἰ θέλεις οὖν ζηλῶσαι, πόνησον, σπούδασον, φοβοῦ τὸν Θεὸν καὶ ποιεῖ τὸ θέλημά σου· εἶπε γάρ, ὅτι «θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει». Κἀγὼ γὰρ κἂν οὐδὲν ὦ, ἀλλὰ διὰ τὴν ἐντολὴν ποιῶ τὴν δύναμίν μου. Τοῦ δὲ Θεοῦ ἐστι στηρίξαι καὶ ἐνδυναμῶσαι καὶ ἀγαγεῖν εἰς πᾶν ἔργον ἀγαθόν, καὶ φυλάξαι ἀπὸ παντὸς κακοῦ καὶ σῶσαι εἰς τὴν αὐτοῦ βασιλείαν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

σκορπιοὺς καὶ πάνω σὲ κάθε δύναμη τοῦ ἐχθροῦ[71], ποὺ ἀκούσαμε, «ἐγώ εἶμαι, μὴ φοβᾶσθε»[72], ἐμεῖς ποὺ γνωρίζουμε μὲ σαφήνεια ὅτι δὲν πολεμοῦμε μὲ τὴ δική μας δύναμη, ἀλλὰ μὲ τὴ δύναμη τοῦ Θεοῦ ποὺ μᾶς δυναμώνει καὶ μᾶς ὁπλίζει, ἀδιαφοροῦμε καὶ δὲν φροντίζουμε.

Ἀπὸ ποῦ προέρχεται αὐτό; Ἐπειδὴ δὲν καθηλώθηκαν οἱ σάρκες μας ἀπὸ τὸ φόβο του καὶ οὐδέποτε λησμονήσαμε νὰ φᾶμε τὸ ψωμί μας ἀπὸ τὴ φωνὴ τοῦ στεναγμοῦ μας[73], γι' αὐτὸ γυρίζουμε ἀπὸ αὐτὸ σ' ἐκεῖνο, καὶ ἀπὸ διαγωγὴ σὲ διαγωγή, διότι δὲν πήραμε τέλεια τὴν φωτιὰ τὴν ὁποία ἦλθε νὰ βάλει ὁ Κύριος πάνω στὴ γῆ, ἡ ὁποία θὰ μποροῦσε νὰ καταστρέψει καὶ νὰ καταφάγει τὰ ἀγκάθια ἀπὸ τὸν νοητὸ τόπο μας. Ἡ χαύνωσή μας καὶ ἡ ἀμέλεια καὶ ἡ φιλοσωματία δὲν μᾶς ἀφήνουν νὰ προβάλουμε ἄρνηση· καὶ μάρτυράς μου εἶναι ὁ Κύριος, διότι γνωρίζω ἄνθρωπο, καὶ αὐτὸς εἶναι ἐδῶ στὸ εὐλογημένο αὐτὸ κοινόβιο, γιὰ νὰ μὴ πεῖ κανεὶς ὅτι μιλάω γιὰ τὸν ἑαυτό μου καὶ νομίζει ὅτι κάτι ἀξίζω, ἐνῶ δὲν εἶμαι τίποτε. Ἐὰν λοιπὸν αὐτὸς μείνει ὅπως εἶναι, χωρὶς νὰ τρώγει, οὔτε νὰ πίνει τίποτε, οὔτε νὰ φορᾶ ἔνδυμα μέχρι τὴν ἡμέρα τῆς ἐπισκέψεως τοῦ Κυρίου σ' αὐτόν, δὲν θὰ χρειασθεῖ αὐτὰ στὸν αἰώνα· διότι ἡ τροφή του καὶ τὸ ποτὸ καὶ τὸ ἔνδυμα εἶναι τὸ ἅγιο Πνεῦμα.

Ἐὰν θέλεις λοιπὸν νὰ τὸν μιμηθεῖς, κοπίασε, φρόντισε, φοβήσου τὸ Θεό, καὶ αὐτὸς θὰ κάνει τὸ θέλημά σου· διότι εἶπε, ὅτι θὰ κάνει τὸ θέλημα ἐκείνων ποὺ τὸν φοβοῦνται. Διότι καὶ ἐγώ, ἂν καὶ δὲν εἶμαι τίποτα, ὅμως βρίσκω τὴ δύναμή μου ἐξ αἰτίας τῆς ἐντολῆς. Διότι στὸ Θεὸ ἀνήκει νὰ σὲ στηρίξει καὶ νὰ σὲ δυναμώσει, νὰ σὲ ὁδηγήσει σὲ κάθε ἀγαθὸ ἔργο, νὰ σὲ φυλάξει ἀπὸ κάθε κακὸ καὶ νὰ σὲ σώσει στὴν βασιλεία του. Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

71. Λουκᾶ 10,19.
72. Ματθ. 14,27.
73. Ψαλμ. 101(102),4.

Εὖξαι ὑπὲρ ἐμοῦ, καὶ παρακάλεσον τὸν Γέροντα τὸ αὐτὸ συνεύξασθαί σοι.

ΟΘ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Παρακαλῶ σε, πάτερ, εἰπέ μοι πῶς κτᾶταί τις ταπεινοφροσύνην ἢ προσευχὴν τελείαν, καὶ τί ποιῶν τις οὐ δοκεῖ ῥέμβεσθαι· καὶ εἰ συμφέρει ἀναγινώσκειν.

Ἀπόκρισις

Τὸ κτήσασθαι τελειάν ταπεινοφροσύνην, ἀδελφέ, ἐδίδαξεν ὁ Κύριος λέγων· «μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν». Εἰ οὖν κτήσασθαι θέλεις 'τελείαν ἀνάπαυσιν', μάθε τί ὑπέμεινε καὶ ὑπόμεινον, κόψον ἐν πᾶσι τὸ θέλημά σου· αὐτὸς γὰρ εἶπε, «κατῆλθον ἐκ τοῦ οὐρανοῦ ποιῆσαι» 'οὐ τὸ θέλημά μου', ἀλλὰ τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς».

Αὕτη ἐστὶ τελεία ταπεινοφροσύνη, τὸ βαστάσαι ὕβρεις καὶ ὀνειδισμούς, καὶ ὅσα ἔπαθεν ὁ διδάσκαλος ἡμῶν Ἰησοῦς· εὐχὴ δὲ τελεία ἐστί, τὸ λαλεῖν τῷ Θεῷ ἀρεμβάστως, ἐν τῷ συνάγειν ὅλους τοὺς λογισμοὺς ἀρεμβάστως μετὰ τῶν αἰσθητηρίων· ὁδηγεῖ δὲ εἰς τοῦτο τὸν ἄνθρωπον, τὸ ἀποθανεῖν ἀπὸ παντὸς ἀνθρώπου καὶ τῷ κόσμῳ καὶ πᾶσι τοῖς ἐν αὐτῷ. Οὐδὲν δὲ περισσότερον ὀφείλεις λέγειν τῷ Θεῷ ἐν τῇ εὐχῇ, εἰ μὴ τοῦτο· 'ῥῦσαί με ἀπὸ τοῦ πονηροῦ'· 'γενηθήτω τὸ θέλημά σου ἐν ἐμοί'· ἔχειν δὲ τὸν νοῦν τῷ Θεῷ παριστάμενον, καὶ λαλοῦντα αὐτῷ. Ἐπιγι-

74. Ματθ. 11,29.
75. Ἰω.. 4,34 καὶ 5,30.

Προσευχήσου καὶ παρακάλεσε τὸν Γέροντα νὰ προσευχηθεῖ μὲ σένα γιὰ τὸ ἴδιο αὐτὸ πρᾶγμα.

79

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Σὲ παρακαλῶ, πάτερ, νὰ μοῦ πεῖς πῶς ἀποκτᾶ κανεὶς τὴν ταπεινοφροσύνη ἢ τὴν τέλεια προσευχή, καὶ τί κάνοντας κανείς, δὲν φαίνεται νὰ ὀνειροπολεῖ· ἐπίσης ἐὰν συμφέρει νὰ διαβάζει.

Ἀπόκριση

Ἀδελφέ, τὸ ν' ἀπόκτησει κανεὶς τέλεια ταπεινοφροσύνη τὸ δίδαξε ὁ Κύριος λέγοντας· «μάθετε ἀπὸ μένα ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς στὴν καρδιὰ καὶ θὰ βρεῖτε ἀνάπαυση στὶς ψυχές σας»[74]. Ἐὰν λοιπὸν θέλεις ν' ἀποκτήσεις τέλεια ἀνάπαυση, μάθε τί ὑπέμεινε ἐκεῖνος καὶ ὑπόμεινέ το, κόψε σὲ ὅλα τὸ θέλημά σου· διότι αὐτὸς εἶπε, κατέβηκα ἀπὸ τὸν οὐρανὸ νὰ κάνω ὄχι τὸ θέλημά μου, ἀλλὰ «τὸ θέλημα τοῦ ἐπουράνιου Πατέρα μου»[75].

Αὐτὴ εἶναι τέλεια ταπεινοφροσύνη, τὸ νὰ ὑπομένεις δηλαδὴ ὕβρεις καὶ ὀνειδισμοὺς καὶ ὅσα ἔπαθε ὁ διδάσκαλός μας Ἰησοῦς· καὶ τέλεια προσευχὴ εἶναι, τὸ νὰ μιλᾶς στὸ Θεὸ χωρὶς ὀνειροπολήματα, τὸ νὰ συγκεντρώνεις χωρὶς ὀνειροπολήσεις ὅλους τοὺς λογισμοὺς μαζὶ μὲ τὰ αἰσθητήρια· καὶ ὁδηγεῖ τὸν ἄνθρωπο σ' αὐτό, τὸ νὰ πεθάνει γιὰ κάθε ἄνθρωπο καὶ γιὰ τὸν κόσμο καὶ γιὰ ὅλα ὅσα εἶναι σ' αὐτόν. Δὲ χρειάζεται νὰ λέγεις στὸ Θεὸ κατὰ τὴν προσευχὴ τίποτε περισσότερο[76], παρὰ αὐτό· 'προστάτεψέ με ἀπὸ τὸν πονηρό, ἂς γίνει τὸ θέλημά σου σ' ἐμένα', καὶ νὰ ἔχεις τὸ νοῦ σου στραμμένο στὸ Θεὸ καὶ νὰ ὁμιλεῖς μ' αὐτόν. Καὶ ἡ προσευχὴ ἀναγνωρίζεται ὅταν ἀπαλλάσσεται

---

76. Ματθ. 6,13.

νώσκεται δὲ ἡ εὐχή, ὅταν ἀπαλλάσσηται ρεμβασμοῦ καὶ βλέπῃ, ὅτι εὐφραίνεται ὁ νοῦς φωτισθεὶς ἐν Κυρίῳ. Τὸ σημεῖον δὲ ὅτι ἥψατο αὐτοῦ, ὅτι οὐκ ἔτι ταράσσεται, ἐὰν πειράσῃ αὐτὸν ὅλος ὁ κόσμος. Ὁ τελείως δὲ προσευχόμενός ἐστὶν ὁ νεκρούμενος τῷ κόσμῳ καὶ τῇ ἀναπαύσει αὐτοῦ· ὁ ποιῶν δὲ διὰ τὸν Θεὸν ἐπιμελῶς τὸ ἔργον αὐτοῦ, τοῦτο οὐκ ἔστι ρεμβασμός, ἀλλὰ σπουδὴ κατὰ Θεόν.

Συμφέρον δέ ἐστι τὸ ἀναγινώσκειν τοὺς βίους τῶν Πατέρων· οὕτω γὰρ φωτίζεται ὁ νοῦς ἐν Κυρίῳ.

Π΄

Αἴτησις εὐχῆς τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν περί τε ἑαυτοῦ καὶ τῶν σὺν αὐτῷ.

Παιδία ἀγαπητά, ἀσπάζομαι ὑμᾶς ἐν Κυρίῳ, δεόμενος αὐτοῦ φυλάξαι ὑμᾶς ἀπὸ παντὸς κακοῦ, καὶ δοῦναι ὑμῖν ὑπομονὴν ὡς τῷ Ἰὼβ καὶ χάριν ὡς τῷ Ἰωσήφ· τὴν πρᾳότητα ὡς τῷ Μωϋσῇ καὶ τὴν ἀνδρείαν ἐν τοῖς πολέμοις ὡς τῷ Ἰησοῦ τοῦ Ναυῆ· τὴν ἡγεμονίαν τῶν λογισμῶν ὡς τοῖς κριταῖς, καὶ τὴν ὑποταγὴν τῶν ἐχθρῶν ὡς τῷ Δαβὶδ καὶ Σολομῶντι τοῖς βασιλεῦσι· καὶ τὴν ἰσχὺν τῆς γῆς ὡς τοῖς Ἰσραηλίταις ἐν τῇ καταλλαγῇ αὐτοῦ τῇ πρὸς ὑμᾶς, δοθῆναι τῶν ἁμαρτιῶν ὑμῶν ἄφεσιν· τῇ ὑγείᾳ τοῦ σώματος ὡς τῷ παραλυτικῷ.

Καὶ σώσοι ὑμᾶς ἀπὸ κλύδωνος ὡς τὸν Πέτρον, καὶ ρύσεται ὑμᾶς ἀπὸ θλίψεως ὡς τὸν Παῦλον, καὶ τοὺς λοιποὺς Ἀποστόλους· καὶ σκεπάσοι ὑμᾶς ἀπὸ παντὸς κακοῦ, ὡς τέκνα αὐτοῦ γνήσια. Καὶ δώῃ ὑμῖν τὰ αἰτήματα τῆς καρδίας ὑμῶν πρὸς τὸ συμφέρον τῆς ψυχῆς καὶ τοῦ σώματος ἐν τῷ ὀνόματι αὐτοῦ. Ἀμήν.

ἀπὸ τὰ ὀνειροπολήματα καὶ βλέπει ὁ προσευχόμενος ὅτι ὁ νοῦς εὐφραίνεται, φωτιζόμενος ἐν Κυρίω. Καὶ ἀπόδειξη ὅτι τὸν ἔγγισε τὸ φῶς τοῦ Κυρίου, εἶναι ὅτι δὲν ταράσσεται πλέον, κι ἂν ἀκόμα τὸν πειράξει ὅλος ὁ κόσμος. Αὐτὸς ποὺ προσεύχεται τέλεια, εἶναι ἐκεῖνος ποὺ εἶναι νεκρὸς ὡς πρὸς τὸν κόσμο καὶ τὴν ἀνάπαυση αὐτοῦ· ἐκεῖνος ποὺ κάνει μὲ ἐπιμέλεια τὸ ἔργο του γιὰ τὸ Θεό, αὐτὸ δὲν εἶναι ρεμβασμός, ἀλλὰ φροντίδα ποὺ γίνεται στὸ ὄνομα τοῦ Θεοῦ.

Ἐπίσης ἔχεις συμφέρον νὰ διαβάζεις τοὺς βίους τῶν Πατέρων· διότι ἔτσι φωτίζεται ὁ νοῦς σου ἐν Κυρίω.

80

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο γιὰ προσευχὴ γιὰ τὸν ἑαυτό του καὶ τοὺς μαζὶ μ' αὐτόν.

Ἀγαπητά μου παιδιά, σᾶς ἀσπάζομαι ἐν Κυρίω, καὶ παρακαλῶ Αὐτὸν νὰ σᾶς φυλάξει ἀπὸ κάθε κακὸ καὶ νὰ σᾶς δώσει ὑπομονὴ ὅπως ἔδωσε στὸν Ἰώβ, καὶ χάρη ὅπως στὸν Ἰωσήφ· τὴν πραότητα ὅπως στὸ Μωϋσὴ καὶ τὴν ἀνδρεία στοὺς πολέμους ὅπως στὸν Ἰησοῦ τοῦ Ναυῆ· τὴν ἡγεμονία τῶν λογισμῶν ὅπως στοὺς Κριτὲς καὶ τὴν ὑποταγὴ τῶν ἐχθρῶν ὅπως στοὺς βασιλιάδες Δαβὶδ καὶ Σολομῶντα· καὶ τὴν ἰσχὺ τῆς γῆς ὅπως στοὺς Ἰσραηλίτες, ὥστε μὲ τὴ συμφιλίωσή του πρὸς ἐσᾶς, νὰ συγχωρηθοῦν οἱ ἁμαρτίες σας, καὶ τὴν ὑγεία τοῦ σώματος ὅπως στὸν παραλυτικό.

Εἴθε νὰ σᾶς σώσει ἀπὸ τὴ θαλασσοταραχὴ ὅπως τὸν Πέτρο, νὰ σᾶς ἀπαλλάξει ἀπὸ τὴ θλίψη ὅπως τὸν Παῦλο καὶ τοὺς ὑπόλοιπους ἀποστόλους, νὰ σᾶς προστατέψει ἀπὸ κάθε κακὸ σὰν γνήσια τέκνα του, καὶ νὰ σᾶς δώσει τὰ αἰτήματα τῆς καρδιᾶς σας πρὸς τὸ συμφέρον τῆς ψυχῆς καὶ τοῦ σώματος στὸ ὄνομά του. Γένοιτο.

ΠΑ'

Ἐρώτησις τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα, ὥστε σαφηνίσαι αὐτῷ περὶ τοῦ μέτρου τῆς ἐγκρατείας.

Ἀπόκρισις Ἰωάννου

Οἱ Πατέρες λέγουσι περὶ τοῦ μέτρου τῆς ἐγκρατείας, τὸ εἶναι παραμικρόν, εἴτε ἀπὸ τοῦ φαγεῖν, εἴτε ἀπὸ τοῦ πιεῖν, τοῦτ' ἔστι πεπληρωμένην τὴν κοιλίαν μὴ ἔχοντα· καὶ λογίσασθαι ὀφείλει τις τὸ ἑψητὸν καὶ τὸν οἶνον· καιρῷ δὲ τοῦ χειμῶνος, οὗ πίνει τις πολὺ καὶ πρὸς αὐτὸ ὀφείλει εἶναι παραμικρόν· καὶ ἐν τῷ ἐσθίειν ὁμοίως. Οὐκ ἔστι δὲ ἐν τούτοις μόνοις τὸ μέτρον τῆς ἐγκρατείας, ἀλλὰ καὶ ἐν τῷ λαλεῖν καὶ ἐν τῷ κοιμηθῆναι καὶ ἐν τῇ περιβολῇ καὶ ἐν τοῖς αἰσθητηρίοις πᾶσιν. Ἐν τούτοις εὑρίσκεται τὸ μέτρον τῆς ἐγκρατείας.

ΠΒ'

Ἐρώτησις τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Εἰπέ μοι, πάτερ, τὸ παραμικρὸν βρώματος, ἢ πόματος, ἢ κανισκίου, ἢ ὀπώρας πόσον ἐστί;

Ἀπόκρισις

Ἀπὸ ὅλης τῆς ὁλκῆς, λέγω δὴ τοῦ ἄρτου καὶ τῶν ἐδεσμάτων, ἢ κανισκίου, ἤτοι ὀπώρας, ἕως παρὰ μίαν οὐγγίαν. Περὶ δὲ τοῦ οἴνου καὶ τοῦ ὕδατος ἀπὸ τῶν ἀμφοτέρων παρὰ ἥμισυ ποτηρίου· καὶ ἐὰν στήκῃ μετὰ σοῦ, καὶ οὐ κοπιᾷς, τὸ εἰσάπαξ πιεῖν καλόν σοί ἐστιν· εἰ δὲ οὐ δυνατόν, ἀλλὰ δίς, καθάπαξ παραμικρόν. Ἐν τοῖς κινήμασι δὲ καὶ πολέμοις τῶν λογισμῶν, ἀπὸ τῆς συνηθείας δεῖ κόπτειν παραμικρόν, τουτ' ἔστι μίαν οὐγγίαν τῆς τροφῆς καὶ ἥμισυ ποτηρίου τῆς ὁμάδος τοῦ πόματος· ὥστε ὁμοῦ εἶναι παρὰ δύο οὐγγίας τῆς τροφῆς,

81

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα, ὥστε νὰ τοῦ διασαφήσει σχετικὰ μὲ τὸ μέτρο τῆς ἐγκράτειας.

Ἀπόκριση Ἰωάννου.

Οἱ Πατέρες λέγουν γιὰ τὸ μέτρο τῆς ἐγκράτειας ὅτι εἶναι τὸ 'παρὰ λίγο', εἴτε ἀπὸ τὸ φαγητό, εἴτε ἀπὸ τὸ ποτό, δηλαδὴ νὰ μὴ ἔχει κανεὶς γεμάτη τὴν κοιλιά του· καὶ πρέπει κανεὶς νὰ ἐφαρμόζει μέτρο στὸ φαγητὸ καὶ τὸ κρασί. Τὴν ἐποχὴ τοῦ χειμώνα, ὅταν πίνει κανεὶς πολύ, καὶ σ' αὐτὸ ὀφείλει νὰ πίνει λίγο λιγώτερο· καὶ στὸ φαγητὸ παρόμοια. Καὶ δὲν βρίσκεται μόνο σ' αὐτὰ τὸ μέτρο τῆς ἐγκράτειας, ἀλλὰ καὶ στὴν ὁμιλία καὶ στὸν ὕπνο καὶ στὴν ἐνδυμασία καὶ σὲ ὅλα τὰ αἰσθητήρια. Σ' αὐτὰ βρίσκεται τὸ μέτρο τῆς ἐγκράτειας.

82

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πές μου, Πάτερ, πόσο εἶναι τὸ λίγο παρακάτω ἀπὸ τὸ ἀρκετὸ μέτρο τοῦ φαγητοῦ ἢ τοῦ ποτοῦ ἢ τοῦ κανισκιοῦ ἢ τῶν ὀπωρικῶν;

Ἀπόκριση

Ἀπ' ὅλη δηλαδὴ τὴν ποσότητα τοῦ ἄρτου καὶ τῶν φαγητῶν ἢ τοῦ κανισκιοῦ, ἤτοι ὀπωρικῶν, μέχρι μία οὐγγιὰ λειψά. Γιὰ τὸ κρασὶ καὶ τὸ νερό, μισὸ ποτήρι λειψὸ ἀπὸ τὸ καθένα, καὶ ἂν σοῦ ἀρκεῖ καὶ δὲν κοπιάζεις, καλὸ εἶναι γιὰ σένα νὰ πίνεις μία φορά· ἐὰν δὲν εἶναι δυνατό, δύο φορές, κάθε φορὰ ἀπὸ λίγο. Στὰ κινήματα πάλι καὶ στοὺς πολέμους τῶν λογισμῶν, πρέπει νὰ κόπτεις λίγο ἀπὸ τὰ συνηθισμένα, δηλαδὴ μία οὐγγιὰ ἀπὸ τὴν τροφὴ καὶ μισὸ ποτήρι ἀπὸ τὸ σύνολο τοῦ ποτοῦ· ὥστε νὰ εἶναι μαζὶ δύο οὐγγιὲς λιγώτερο ἀπὸ

καὶ παρὰ ἓν ποτήριον τοῦ πόματος.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ.

ΠΓ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Πῶς τις ἐπιγινώσκει πόσον χρῄζει φαγεῖν καὶ πιεῖν;

Ἀπόκρισις

Ἀπὸ ὅλης τῆς ὁλκῆς, λέγω δὴ τοῦ ἄρτου καὶ τῶν ἐδεσμάτων, ἢ κανισκίου, ἤτοι ὀπώρας, ἐκ τῆς δοκιμασίας ὅλων τῶν ἡμερῶν, δυνατόν ἐστι μαθεῖν, τί δέχεται τὸ σῶμα, βρώματος ἢ πόματος, οἷον πίνει τις τρία ποτήρια τῆς ἡμέρας, καὶ τρώγει μίαν λίτραν ἄρτου. Ἐὰν ἴδῃ ὅτι ἀπαιτεῖ πλεῖον τῶν τριῶν τὸ σῶμα, ἐκτὸς αἰτίας ἢ κόπου περισσοτέρου ἢ ὅτι ἁλικὰ ἔφαγε, τοῦτό ἐστι πόλεμος. Ἐκ τῶν τριῶν οὖν ἐὰν δύνηται, κρατήσει ἑνὸς ποτηρίου τὸ ἥμισυ ἐκτὸς πολέμου· καὶ εἰς τὴν βρῶσιν ὁμοίως ἀπὸ τῆς λίτρας μίαν οὐγγίαν.

ΠΔ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.*

Παρακαλοῦμεν, ἵνα ἡμῖν εἴπῃς τὸ κατὰ δύναμιν τοῦ ἀνθρώπου πόσον ἐστὶ ὃ ἀπαιτεῖται ἀπὸ τοῦ Θεοῦ, μήποτε μίγνυται ἐν αὐτῷ ἐκ τῆς ἰδίας χαυνότητος, καὶ νομίζει τις ὅτι τὸ κατὰ δύναμιν ὅλον ποιεῖ· πῶς οὖν νοήσωμεν τὸ κατὰ δύναμιν ἀληθῶς;

Ἀπόκρισις

Δέδωκεν ὁ Θεὸς σύνεσιν τῷ ἀνθρώπῳ τοῦ διακρῖναι τὰ πράγματα. Ἐὰν ᾖ τις ἀπὸ κόπου ὁδοιπορίας, ἢ ἀπὸ ἄλλων ἔργων βαρυτάτων, οὐ δύναται τὴν ἰσότητα τῶν ἄλλων ἡμερῶν φυλάξαι, ἀλλὰ συγκαταβαίνει ὀλίγον τῷ σώμα-

τὴν τροφὴ καὶ ἕνα ποτήρι λιγώτερο ἀπὸ τὸ ποτό.

Προσευχήσου γιὰ μένα, ἀδελφέ.

83

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πῶς γνωρίζει κανεὶς πόσο πρέπει νὰ φάγει καὶ νὰ πιεῖ;

Ἀπόκριση

Απ' ὅλη τὴν ποσότητα, δηλαδὴ τοῦ ἄρτου καὶ τῶν φαγητῶν, ἢ τοῦ κανισκιοῦ, δηλαδὴ τῶν ὀπωρικῶν, μὲ τὴν ἐξέταση ὅλων τῶν ἡμερῶν, εἶναι δυνατὸ νὰ μάθει κανεὶς τί δέχεται τὸ σῶμα, τροφὴ ἢ ποτό, ἀπὸ τὸ ὁποῖο πίνει κανεὶς τρία ποτήρια τὴν ἡμέρα καὶ τρώγει μία λίτρα ἄρτο. Ἐὰν δεῖ ὅτι τὸ σῶμα ἀπαιτεῖ περισσότερο ἀπὸ τρία, χωρὶς αἰτία ἢ περισσότερο κόπο ἢ ὅτι ἔφαγε ἁλμυρά, αὐτὸ εἶναι πόλεμος. Ἀπὸ τὰ τρία λοιπὸν ἐὰν μπορεῖ, θὰ κρατήσει χωρὶς πόλεμο τὸ μισὸ ἀπὸ ἕνα ποτήρι· καὶ στὸ φαγητὸ ὅμοια, μιὰ οὐγγιὰ ἀπὸ τὴ λίτρα.

84

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν μεγάλο Γέροντα.

Παρακαλοῦμε, νὰ μᾶς πεῖς τὸ κατὰ δύναμη τοῦ ἀνθρώπου, πόσο εἶναι αὐτὸ ποὺ ἀπαιτεῖται ἀπὸ τὸ Θεό, μήπως κάποτε ἀναμιγνύεται κάτι ἀπὸ τὴ χαυνότητά του καὶ νομίζει κανεὶς ὅτι κάνει ὅλο τὸ κατὰ δύναμη· πῶς λοιπὸν θὰ ἐκλάβουμε πραγματικὰ τὸ κατὰ δύναμη;

Ἀπόκριση

Ο Θεὸς ἔχει δώσει σύνεση στὸν ἄνθρωπο, ὥστε νὰ διακρίνει τὰ πράγματα. Ἐὰν εἶναι κάποιος ποὺ ἔρχεται ἀπὸ τὸν κόπο τῆς ὁδοιπορίας ἢ ἄλλα βαρύτατα ἔργα, δὲ μπορεῖ νὰ φυλάξει τὴν ἰσότητα τῶν ἄλλων ἡμερῶν, ἀλλὰ συγ-

τι, ἤγουν τρώγει ἡμέριον ἥμισυ λίτρας ψωμίου, ἐὰν διὰ τὸν κόπον φάγῃ ἄλλην μίαν οὐγγίαν, τὴν δύναμιν αὐτοῦ ἐποίησε τοῦ φαγεῖν περισσότερον. Ἀγρυπνεῖ ἀπὸ μεσονυκτίου καθ' ἡμέρας, ἐὰν ἀναπαῇ ἄλλην μίαν ὥραν διὰ τὸν κόπον, τὸ κατὰ δύναμιν ἐποίησεν· ὁ κόπος οὖν σημεῖόν ἐστί τοῦ ἀναπαῦσαι αὐτὸν ὀλίγον ὡς εἴρηται, καὶ πάλιν ἀγρυπνῆσαι τὴν συνήθη ἀγρυπνίαν. Τὸ οὖν ποιεῖν κατὰ δύναμίν ἐστί τὸ εἶναι παραμικρόν, εἴτε τροφῆς, εἴτε ὕπνου.

Ἐὰν δὲ εἴπῃς, 'καὶ πόσον ἐστὶ τὸ μέτρον τοῦ ὕπνου;' Ἔταξαν οἱ Πατέρες τὸ ἥμισυ τῆς νυκτός· τὸ δὲ τῆς τροφῆς, τὸ βλέπειν ἑαυτὸν ἔτι θέλοντα, μικρὸν διὰ παντὸς λαμβάνειν.

ΠΕ'

Ἐρώτησις τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.

Τί δὲ ὀφείλει τὸ καλῶς εἶναι, ἔχων μέτρον οἴνου καὶ ἑψητοῦ καθ' ἡμέραν τῷ καθ' ἑαυτὸν διάγοντι; Καὶ πῶς οἱ Πατέρες σκληροτάτῃ ἐχρήσαντο διαίτῃ; Καὶ εἰ πᾶσιν ὁ αὐτὸς κανὼν τῆς ἐγκρατείας ὀφείλει εἶναι, ὃν εἶπάς μοι, ἢ πρὸς τὴν κατάστασιν τοῦ ἐρωτῶντος;

Ἀπόκρισις

Περὶ οἴνου, τῷ ὑγιαίνοντι καὶ θέλοντι ἐγκρατεύεσθαι, ἀρκεῖ τὸ ἓν καθ' ἡμέραν ποτήριον, μηδὲν κρατοῦντι παρ' αὐτό· ἐὰν δὲ ἔχῃ πυκνὰς ἀσθενείας, λάβῃ δύο ὁλόκληρα. Ὁμοίως καὶ περὶ ἑψητοῦ, ἓν ἐμβάφιον ὀφείλει ἔχειν, καὶ γίνεται ἀμέριμνος περὶ τούτου. Περὶ δὲ τῶν Πατέρων τὸ πῶς ἐχρήσαντο σκληροτάτῃ διαίτῃ, εὗρον τὰ σώματα αὐτῶν ὑπακούοντα. Λοιπὸν οἱ καλῶς κυβερνῶντες ἑαυτοὺς καὶ μετὰ διακρίσεως, πρὸς τὸ σῶμά καὶ τὴν ἕξιν ποιοῦσιν. Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ.

καταβαίνει λίγο πρὸς τὸ σῶμα, δηλαδὴ τρώγει καθημερινὰ μισὴ λίτρα ψωμί, ἐὰν ὅμως ἐξαιτίας τοῦ κόπου φάγει ἄλλη μία οὐγγιά, ἔκαμε τὴ δύναμή του ὥστε νὰ φάγει περισσότερο. Ἀγρυπνεῖ κάθε μέρα ἀπὸ τὰ μεσάνυκτα, ἐὰν ἀναπαυθεῖ ἄλλη μία ὥρα ἐξαιτίας τοῦ κόπου, ἔκανε τὸ κατὰ δύναμη· ὁ κόπος λοιπὸν εἶναι σημάδι, ὥστε νὰ ἀναπαυθεῖ λίγο, ὅπως ἔχει εἰπωθεῖ, καὶ πάλι νὰ ἀγρυπνήσει τὴ συνηθισμένη ἀγρυπνία. Τὸ νὰ ἐνεργεῖ λοιπὸν κάνεις κατὰ δύναμή, εἶναι τὸ παραμικρό, εἴτε τροφῆς, εἴτε ὕπνου.

Ἐὰν ὅμως πεῖς, καὶ πόσο εἶναι τὸ μέτρο τοῦ ὕπνου; Οἱ Πατέρες ὅρισαν τὴ μισὴ νύχτα· ἐνῶ τῆς τροφῆς, τὸ νὰ βλέπει κανεὶς τὸν ἑαυτό του πάντοτε νὰ θέλει νὰ πάρει λίγο ἀκόμα.

85

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Ποιό εἶναι τὸ σωστὸ γιὰ τὸ μέτρο κρασιοῦ καὶ βραστοῦ κάθε μέρα γιὰ ἐκεῖνον ποὺ ζεῖ μόνος του; Καὶ πῶς οἱ Πατέρες ἔκαμναν τὴ σκληρότατη δίαιτα; Ἐπίσης ἐὰν ὁ κανόνας τῆς ἐγκράτειας, τὸν ὁποῖο ὅρισες σὲ μένα, πρέπει νὰ εἶναι ὁ ἴδιος σὲ ὅλους ἢ νὰ εἶναι ἀνάλογος μὲ τὴν κατάσταση αὐτοῦ ποὺ ἐρωτᾶ.

Ἀπόκριση

Γιὰ τὸ κρασί, ἀρκεῖ τὸ ἕνα ποτήρι κάθε μέρα σ' ἐκεῖνον ποὺ εἶναι ὑγιὴς καὶ θέλει νὰ ἐγκρατεύεται, τίποτα παραπάνω ἀπὸ αὐτό· ἐὰν ὅμως ἔχει πυκνὲς ἀσθένειες νὰ πάρει δύο ὁλόκληρα. Ὅμοια καὶ γιὰ τὸ φαγητό, ὀφείλει νὰ ἔχει ἕνα πιάτο καὶ νὰ δείχνει ἀμεριμνησία γι' αὐτό. Ὅσο γιὰ τὸ λόγο, ποὺ οἱ Πατέρες ἔκαναν σκληρότατη δίαιτα, εἶναι ὅτι κατέστησαν τὰ σώματά τους ὑπάκουα. Λοιπὸν αὐτοὶ ποὺ κυβερνοῦν καλὰ τοὺς ἑαυτούς τους καὶ μὲ διάκριση, κάνουν καὶ τὴν ἀγωγὴ σύμφωνα μὲ τὸ σῶμα. Ἀδελφέ, προσευχήσου γιὰ μένα.

Ἃ εἶπον τῇ ἀγάπῃ σου περὶ ἐγκρατείας, τοῖς καθ' ἡμᾶς καὶ κατὰ τὸ μέτρον μου ἐλάλησα. Ἐὰν οὖν κατορθώσωμεν τὰ μέσα, ἐρχόμεθα κατὰ προκοπὴν ἐπὶ τὰ μείζονα· ἵνα μή, βαλόντες ἐπὶ τὸ πρῶτον βαθμίδιον τῆς κλίμακος τὸν πόδα, εὐθέως θελήσωμεν ἀνελθεῖν εἰς τὸ ἀνώτερον· οἱ ἐρχόμενοι γὰρ εἰς τὸ μέτρον ὃ εἶπεν ὁ Ἀπόστολος, δύνανται καὶ χορτάζεσθαι καὶ πεινῆν· ἐν πᾶσι γὰρ μεμύηνται.

Σὺ δὲ οἶδας τὰ μέτρα σου, ἀδελφέ· ὅταν γὰρ γίνεται πόλεμος, εἶπόν σοι ἐλαττῶσαι ἄλλην μίαν οὐγγίαν· καὶ ἀπὸ τοῦ πόματος ὁμοίως.

ΠΣΤ'

Ὁ αὐτὸς ἀδελφὸς ἔτι ἠρώτησε τὸν αὐτὸν Γέροντα.

Τί ἐστι τὸ κατ' ἐπιθυμίαν λαβεῖν βρῶμα, ἢ τὸ καθ' ἕξιν;

Ἀπόκρισις

Τὸ κατ' ἐπιθυμίαν ἐστί, τὸ ἐπιποθεῖν λαβεῖν βρῶμα, οὐ διὰ χρείαν σώματος, ἀλλὰ διὰ γαστριμαργίαν. Ἐὰν δὲ ἴδῃς ὅτι δέχεται ἡ ἕξις πρὸς ὀλίγον, οἷον λάχανον περισσότερον τοῦ ὀσπριδίου οὐ κατ' ἐπιθυμίαν, ἀλλὰ κατὰ ἐλαφρότητα, αὕτη ἐστὶν ἡ διαφορά· εἰσὶν ἕξεις δεχόμεναι τὰ γλυκέα, καὶ ἄλλαι τὰ ἁλμυρά, καὶ ἄλλαι τὰ δριμέα· καὶ τοῦτο οὐκ ἔστι πάθος, οὐδὲ ἐπιθυμία, οὐδὲ γαστριμαργία· τὸ δὲ ἐπιθυμεῖν καὶ ἐπιποθεῖν βρώματος, αὕτη ἐστὶν ἡ ἐπιθυμία ἡ ὑπηρέτις τῆς γαστριμαργίας. Ἐὰν οὖν ἀντιπράττῃς αὐτῇ καὶ εὐτάκτως κέχρησαι τῇ τροφῇ διὰ τὴν χρείαν, τοῦτο οὐκ ἔστι γαστριμαργία.

ΠΖ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Αὐτὰ ποὺ εἶπα στὴν ἀγάπη σου γιὰ ἐγκράτεια, τὰ εἶπα σύμφωνα μὲ αὐτὰ ποὺ ἐφαρμόζουν οἱ δικοί μας καὶ μὲ τὸ μέτρο μου. Ἐὰν λοιπὸν κατορθώσουμε τὰ μεσαῖα, θὰ προχωρήσουμε μὲ προκοπὴ στὰ μεγαλύτερα. Καὶ νὰ μὴ συμβεῖ, ἀφοῦ βάλουμε τὸ πόδι μας στὸ πρῶτο σκαλὶ τῆς σκάλας, νὰ θελήσουμε νὰ ἀνέβουμε ἀμέσως στὸ ἀνώτερο· διότι αὐτοὶ ποὺ ἔρχονται στὸ μέτρο τὸ ὁποῖον εἶπε ὁ Ἀπόστολος, μποροῦν καὶ χορτασμένοι νὰ εἶναι καὶ νὰ πεινοῦν· διότι ἔχουν μυηθεῖ σὲ ὅλα.

Ἐσὺ ὅμως, ἀδελφέ, γνωρίζεις τὰ μέτρα σου· διότι ὅταν γίνεται πόλεμος, σοῦ εἶπα νὰ ἐλατώσεις τὴν τροφὴ ἄλλη μία οὐγγιά· ὅμοια καὶ ἀπὸ τὸ ποτό.

86

Ὁ ἴδιος ἀδελφὸς ἐρώτησε πάλι τὸν ἴδιο Γέροντα.

Τί σημαίνει τὸ νὰ πάρεις τροφὴ ἀπὸ ἐπιθυμία καὶ τί τὸ νὰ πάρεις ἀπὸ συνήθεια;

Ἀπόκριση

Τὸ ἀπὸ ἐπιθυμία σημαίνει νὰ ἐπιθυμεῖς νὰ πάρεις τροφὴ ὄχι ἀπὸ ἀνάγκη τοῦ σώματος, ἀλλὰ ἀπὸ γαστριμαργία. Καὶ ἐὰν δεῖς ὅτι ἡ συνήθεια δέχεται λίγο λάχανο περισσότερο ἀπὸ τὰ ὄσπρια ὄχι ἀπὸ ἐπιθυμία ἀλλὰ ἀπὸ ἐλαφρότητα, αὐτὴ εἶναι ἡ διαφορά· ὑπάρχουν συνήθειες ποὺ δέχονται τὰ γλυκά, ἄλλες τὰ ἁλμυρὰ καὶ ἄλλες τὰ ξυνά· αὐτὸ δὲν εἶναι πάθος, οὔτε ἐπιθυμία, οὔτε γαστριμαργία· τὸ νὰ ἐπιθυμεῖς ὅμως καὶ νὰ ποθεῖς τροφή, αὐτὴ εἶναι ἡ ἐπιθυμία ἡ ὑπηρέτρια τῆς γαστριμαργίας. Ἐὰν λοιπὸν ἀντιδρᾶς σ' αὐτὴν καὶ χρησιμοποιεῖς σωστὰ τὴν τροφὴ σύμφωνα μὲ τὴν ἀνάγκη, αὐτὸ δὲν εἶναι γαστριμαργία.

87

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Τί οὖν, πάτερ, ὅτε οὐ πρόκειται μὲν τὸ πάθος, ἐν αὐτῷ δὲ τῷ καιρῷ τῆς μεταλήψεως ὑποβάλλεται; Τί ποιήσω; Ἀποστῶ τῆς τροφῆς ἢ οὔ;

Ἀπόκρισις

Εὐθέως μὴ ἀφίστασο, ἀλλ' ἀντίπραττε τῷ λογισμῷ, μιμνησκόμενος, ὅτι δυσωδία γίνεται ἡ τροφή, καὶ ὅτι κατακρινόμεθα ἡμεῖς τρώγοντες, ἄλλων παντελῶς ἀπεχομένων. Καὶ εἰ μὲν ἀποστῇ, μετάλαβε κατακρίνων σεαυτόν· ἐὰν δὲ ἐπιμείνῃ, ἐπικάλεσε τὸ ὄνομα τοῦ Θεοῦ εἰς βοήθειαν καὶ ἀναπαύῃ. Ἐὰν δὲ κατακυριεύσῃ σου, ὥστε μὴ δύνασθαι τρώγειν εὐτάκτως, τότε κόψον τὴν τροφήν. Ἐὰν δέ τινες συγκαθέζωνταί σοι πρὸς τὸ μὴ νοῆσαι αὐτούς, λάμβανε κατὰ μικρόν· εἰ δὲ συμβῇ σε πεινῆν, ποίησον τὴν χρείαν σου ἀπὸ τοῦ ἄρτου, ἢ ἀπὸ ἄλλου βρώματος, εἰς οἷον οὐκ ἔχεις πόλεμον.

ΠΗ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Τὸ σημεῖον τῆς γαστριμαργίας ὁποῖόν ἐστι σαφήνισόν μοι.

Ἀπόκρισις

Ὅταν βλέπῃς τὸν λογισμόν σου ἡδυνόμενον ἐν βρώμασι, καὶ διώκοντα σχεδὸν τοῦ προλαμβάνειν πάντας ἢ ἑλκύσαι εἰς τὸ ἔμπροσθέν σου τὸ βρῶμα, τοῦτο γαστριμαργία ἐστί. Πρόσεχε οὖν σεαυτῷ καὶ ποίησον τὴν δύναμίν σου ἄγξαι σεαυτὸν τοῦ μὴ μετὰ σπουδῆς λαβεῖν ἀπ' αὐτοῦ, ἀλλ' ἐν εὐταξίᾳ, καὶ ὠθῆσαι μᾶλλον τὸ βρῶμα τοῦτο ἔμπροσθεν τῶν συγκαθημένων. Οὐ χρὴ δέ, ὡς εἶπον, προφάσει τῆς γαστριμαργίας, εὐθέως παραιτεῖσθαι τοῦ μεταλαβεῖν τοῦ βρώματος, ἀλλὰ

Τί νὰ κάνω λοιπόν, πάτερ, ποὺ δὲν ὑπάρχει βέβαια τὸ πάθος, τὸν καιρὸ ὅμως τῆς μεταλήψεως ἐπέρχεται; Τί νὰ κάνω; Νὰ ἀπέχω ἀπὸ τὴν τροφὴ ἢ ὄχι;

Ἀπόκριση

Νὰ μὴν ἀπέχεις ἀμέσως, ἀλλὰ νὰ ἀντιδρᾶς στὸ λογισμό, ἐνθυμούμενος ὅτι ἡ τροφὴ γίνεται δυσωδία καὶ ὅτι ὅταν ἐμεῖς τρῶμε, ἐνῶ οἱ ἄλλοι ἀπέχουν ἐντελῶς, κατακρινόμαστε. Καὶ ἐὰν ἀπομακρυνθεῖ, μετάλαβε τότε, κατακρίνοντας τὸν ἑαυτό σου· ἐὰν ὅμως ἐπιμένει, ἐπικαλέσου γιὰ βοήθεια τὸ ὄνομα τοῦ Θεοῦ καὶ θὰ ἀναπαυθεῖς. Ἐὰν πάλι σὲ κατακυριεύσει, ὥστε νὰ μὴ μπορεῖς νὰ τρώγεις κανονικά, τότε κόψε τὴν τροφή. Ἐὰν κάθονται μερικοὶ μαζί σου, γιὰ νὰ μὴ καταλάβουν, παίρνει λίγο. Καὶ ἐὰν σοῦ συμβεῖ νὰ πεινᾶς, ἱκανοποίησε τὴν ἀνάγκη μὲ τὸ ψωμὶ ἢ μὲ ἄλλη τροφή, στὴν ὁποία δὲν ἔχεις πόλεμο.

88

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Διασαφήνισέ μου ποιό εἶναι τὸ γνώρισμα τῆς γαστριμαργίας.

Ἀπόκριση

Ὅταν βλέπεις τὸν λογισμό σου νὰ εὐχαριστεῖται μὲ τὶς τροφὲς καὶ νὰ προσπαθεῖ νὰ τοὺς περάσει σχεδὸν ὅλους ἢ νὰ τραβᾶς μπροστά σου τὴν τροφή, αὐτὸ εἶναι γαστριμαργία. Πρόσεχε λοιπὸν τὸν ἑαυτό σου καὶ κάνε τὴ δύναμή σου νὰ πιέσει τὸν ἑαυτό σου, ὥστε νὰ μὴ πάρεις μὲ βιασύνη ἀπὸ αὐτὸ ἀλλὰ μὲ εὐταξία, καὶ μᾶλλον νὰ ὠθήσεις αὐτὴν τὴν τροφὴ μπροστὰ σ' αὐτοὺς ποὺ κάθονται μαζί σου. Δὲν πρέπει ὅμως, ὅπως εἶπα, μὲ πρόφαση τὴ γαστριμαργία, νὰ παραιτεῖσαι ἀμέσως ἀπὸ τὴ μετάληψη τῆς τροφῆς, ἀλλὰ πρέπει νὰ φυλάγε-

δεῖ παραφυλάττεσθαι τοῦ μὴ ἀτάκτως χρήσασθαι τῇ μεταλήψει αὐτοῦ· καὶ δίχα γὰρ γαστριμαργίας γράφουσιν οἱ Πατέρες, μὴ ἐκτεῖναι χεῖρα ἐν τραπέζῃ ἔμπροσθεν ἄλλου, ἀπρεπὲς γὰρ ὑπάρχει τοῦτο καὶ τῆς κοινῆς εὐταξίας ἀλλότριον. Ὅτε δὲ τοιοῦτόν ἐστι τὸ προκείμενον βρῶμα, ὥστε μὴ εἶναι δῆλον τὸ μέρος ἑκάστου, ἀλλὰ κοινῶς αὐτὸ πάντας ἐσθίειν, τότε οὐκ ἄτοπον λαμβάνειν τινὰ ἐξ αὐτοῦ μετὰ πάντων· ἐν εὐταξίᾳ δέ, διὰ τὸ μὴ ἐμπεσεῖν εἰς τὴν γαστριμαργίαν καὶ εἰς κατάγνωσιν.

Ἕτερον δὲ σημεῖον γαστριμαργίας, τὸ πρὸ τῆς ὥρας θέλειν ἐσθίειν, ὅπερ οὐ δεῖ ποιεῖν, εἰ μή τι ἄρα πρόκειται εὔλογος αἰτία. Ἐν πᾶσι δὲ χρεία ἐπικαλεῖσθαι τοῦ Θεοῦ τὴν βοήθειαν καὶ αὐτὸς ἡμῶν ἀντιλαμβάνεται.

ΠΘ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἡ κίνησις τοῦ σώματος πόθεν γίνεται;

Ἀπόκρισις

Η κίνησις τοῦ σώματος γίνεται ἀπὸ ἀμελείας· καὶ γὰρ ἡ ἀμέλεια ἁρπάζει σε λεληθότως εἰς τὸ κρίνειν καὶ κατακρίνειν, καὶ διὰ τούτων σε προδίδωσιν. Ὅτε γὰρ ὁ Ἰσραὴλ γνησίως ἐδούλευε τῷ Θεῷ, ἐφύλαττεν αὐτὸν ἀπὸ τῶν ἐχθρῶν αὐτοῦ, ὅτε δὲ ἠμέλει τῆς γνησίας δουλείας, ἤφιεν ὁ Θεὸς τοὺς ἐχθροὺς πατάξαι αὐτόν.

Ϟ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Εἰ δεῖ περὶ πάντων τῶν φυομένων ἐν τῇ καρδίᾳ λογισμῶν ἐπερωτᾶν τοὺς Γέροντας· καὶ εἰ δεῖ τὸν προσευχόμενον καὶ ψάλλοντα μετὰ φωνῆς τοῦτο ποιεῖν· καὶ περὶ

σαι, ὥστε νὰ μὴ μεταλάβεις ἀπὸ αὐτὸ μὲ ἀταξία· διότι καὶ οἱ Πατέρες γράφουν ὅτι καὶ χωρὶς γαστριμαργία νὰ μὴ ἀπλώνετε τὸ χέρι στὸ τραπέζι μπροστὰ σὲ ἄλλον, γιατὶ αὐτὸ εἶναι ἀπρεπὲς καὶ ξένο πρὸς τὴν κοινὴ εὐταξία. Ὅταν ἡ τροφὴ ποὺ βρίσκεται μπροστὰ εἶναι τέτοια, ὥστε νὰ μὴ εἶναι φανερὸ τὸ μερίδιο τοῦ καθενός, ἀλλὰ νὰ τρώγουν ὅλοι κοινὰ ἀπ' αὐτό, τότε δὲν εἶναι ἄτοπο νὰ παίρνετε κάτι ἀπ' αὐτὴ μαζὶ μὲ ὅλους, μὲ εὐταξία ὅμως, γιὰ νὰ μὴ πέσετε σὲ γαστριμαργία καὶ κατάκριση.

Ἄλλο γνώρισμα τῆς γαστριμαργίας εἶναι τὸ νὰ θέλεις νὰ τρώγεις πρὶν ἀπὸ τὴν ὥρα, πρᾶγμα ποὺ δὲν πρέπει νὰ κάνεις, ἐκτὸς κι ἂν ὑπάρχει εὔλογη αἰτία. Σὲ καθε ἀνάγκη νὰ ἐπικαλεῖσαι τὴ βοήθεια τοῦ Θεοῦ καὶ αὐτὸς μᾶς βοηθᾶ.

89

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἀπὸ ποῦ προέρχεται ἡ κίνηση τοῦ σώματος;

Ἀπόκριση

Η κίνηση τοῦ σώματος προέρχεται ἀπὸ ἀμέλεια· διότι ἡ ἀμέλεια σὲ ἁρπάζει ἀσυναίσθητα καὶ σὲ ὁδηγεῖ στὴν κρίση καὶ κατάκριση, καὶ μ' αὐτὰ σὲ προδίδει. Διότι ὅταν ὁ Ἰσραὴλ ὑπηρετοῦσε γνήσια τὸ Θεό, ὁ Θεὸς τὸν φύλαγε ἀπὸ τοὺς ἐχθρούς του· ὅταν ὅμως παραμελοῦσε τὴ γνήσια δουλεία, ὁ Θεὸς ἄφηνε τοὺς ἐχθροὺς νὰ τὸν πατάξουν.

90

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐὰν πρέπει νὰ ἐρωτᾶμε τοὺς γέροντες γιὰ ὅλους τοὺς λογισμοὺς ποὺ βρίσκονται στὴν καρδιά· καὶ ἐὰν πρέπει νὰ κάνει αὐτὸ ἐκεῖνος ποὺ προσεύχεται καὶ ψάλλει δυνατά. Ἐπίσης γιὰ τὴν ἀνάμνηση ἐκείνων ποὺ ἔκανε κάποιος καὶ

μνήμης ὧν τε ἔπραξέ τις, ὧν τε ἤκουσεν ἢ ἐλάλησε· καὶ εἰ δεῖ γυμνάζεσθαι μετὰ τῶν Πατέρων.

Ἀπόκρισις

Ἀδελφέ, περὶ πάντων τῶν φυομένων λογισμῶν, οὐ χρὴ ἐρωτᾶν, παρερχόμενοι γάρ εἰσιν, ἀλλὰ περὶ τῶν μενόντων καὶ πολεμούντων τὸν ἄνθρωπον. Ὡς γὰρ ἄνθρωπος ὑπὸ πολλῶν ὑβριζόμενος καταφρονεῖ τῶν ὕβρεων καὶ γίνεται ἀμέριμνος ἁπάντων, ἐὰν δέ τις κινήσῃ κατ' αὐτοῦ ἢ πολεμήσῃ αὐτόν, τότε αἰτιᾶται πρὸς τὸν ἄρχοντα, οὕτω καὶ τὸ πρᾶγμα τοῦτο.

Περὶ δὲ προσευχῆς ἢ ψαλμῳδίας, οὐ μόνον διὰ τοῦ νοός, ἀλλὰ καὶ διὰ τῶν χειλέων χρεία· ὁ γὰρ προφήτης Δαβὶδ λέγει, «Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου»· καὶ ὁ Ἀπόστολος, δεικνύων ὅτι ζητοῦνται τὰ χείλη, εἶπε, «καρδίαν καὶ καρπὸν χειλέων», καὶ τὰ λοιπά. Περὶ δὲ ὧν εἶδες ἢ ἤκουσας ἢ ἔπραξας καὶ λογίζῃ αὐτά, οὐδὲν κόπτει αὐτά, εἰ μὴ προσευχὴ μετὰ ταπεινώσεως καὶ κόπων καὶ δακρύων, ἢ μὴ ἔχουσα θέλημα. Οἱ κατορθώσαντες δὲ Πατέρες, ἄνευ κόπων καὶ δακρύων καὶ ἐκκοπῆς θελήματος οὐ κατώρθωσαν.

Τὸ δὲ γυμνάζεσθαι, ψήφισμά ἐστι καὶ ἰσότης· τὸ δὲ ἐρωτᾶν καὶ πιστεύειν ταῖς ἀποκρίσεσι, ταπείνωσίς ἐστι καὶ προκοπὴ ἐν Κυρίῳ.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ.

ϞΑ'

Ἄλλος τις τῶν Πατέρων ἠρώτησε τὸν αὐτὸν Γέροντα.

Πῶς τις τηρεῖ τὴν καρδίαν αὐτοῦ, καὶ ποίῳ τρόπῳ γίνεται ὁ πόλεμος τοῦ ἐχθροῦ, καὶ εἰ ὀφείλει τις ἀντιλέγειν

ἐκείνων ποὺ ἄκουσε ἢ εἶπε, καὶ ἐὰν πρέπει νὰ ἀσκούμαμαστε μαζὶ μὲ τοὺς Πατέρες.

Ἀπόκριση

Ἀδελφέ, δὲ χρειάζεται νὰ ἐρῶτας γιὰ ὅλους τοὺς λογισμούς, διότι εἶναι παρερχόμενοι, ἀλλὰ γι' αὐτοὺς ποὺ μένουν καὶ πολεμοῦν τὸν ἄνθρωπο. Διότι, ὅπως ὁ ἄνθρωπος ὅταν ὑβρίζεται ἀπὸ πολλούς, περιφρονεῖ τὶς ὕβρεις καὶ γίνεται ἀμέριμνος γιὰ ὅλα γενικά, καὶ ἐὰν κανεὶς κινηθεῖ ἐναντίον του ἢ τὸν πολεμήσει, τότε τρέχει στὸν ἄρχοντα, τὸ ἴδιο συμβαίνει καὶ μ' αὐτὸ τὸ πρᾶγμα.

Γιὰ τὴν προσευχὴ ἢ τὴν ψαλμωδία χρειάζονται ὄχι μόνο ὁ νοῦς, ἀλλὰ καὶ τὰ χείλη· διότι ὁ προφήτης Δαβὶδ λέγει, «Κύριε θὰ ἀνοίξεις τὰ χείλη μου καὶ τὸ στόμα μου θὰ ἀναγγείλει τὴν ἐξύμνησή σου»[77]. Καὶ ὁ Ἀπόστολος, δείχνοντας ὅτι τὰ χείλη ζητοῦνται, εἶπε, «καρδιὰ καὶ καρπὸ χειλέων»[78] καὶ τὰ λοιπά. Γιὰ ὅσα εἶδες ἢ ἄκουσες ἢ ἔπραξες καὶ σκέφτεσαι αὐτά, τίποτε δὲν τὰ κόβει, παρὰ μόνο ἡ προσευχὴ μὲ ταπείνωση καὶ κόπους καὶ δάκρυα, ποὺ δὲν ἔχει θελήματα. Οἱ Πατέρες ποὺ κατόρθωσαν κάτι δὲν τὸ κατόρθωσαν χωρὶς κόπους καὶ δάκρυα καὶ κόψιμο τοῦ θελήματος.

Ἡ ἄσκηση πάλι εἶναι ἀπόφαση καὶ ἰσότητα, ἐνῶ τὸ νὰ ἐρωτᾶ κανεὶς καὶ νὰ πιστεύει στὶς ἀπαντήσεις εἶναι ταπείνωση καὶ προκοπὴ ἐν Κυρίῳ.

Ἀδελφέ, προσευχήσου γιὰ μένα.

91

Ἕνας ἄλλος ἀπὸ τοὺς Πατέρες ἐρώτησε τὸν ἴδιο Γέροντα.

Πῶς προσέχει κανεὶς τὴν καρδιά του, καὶ μὲ ποιό τρόπο γίνεται ὁ πόλεμος τοῦ ἐχθροῦ. Ἐπίσης ἐὰν ὀφείλει κανεὶς

77. Ψαλμ. 50(51),17.
78. Ἑβρ. 13,15.

πρὸς τὸν πολεμοῦντα. Καὶ περὶ τοῦ λογισμοῦ τῆς πορνείας, εἰ δεῖ φράξαι τὴν εἴσοδον αὐτοῦ· ἐὰν δὲ εἰσέλθῃ, τί δεῖ ποιῆσαι. Καὶ περὶ βρώσεως εἰ οὐγγίαις ὀφείλει τις κεχρῆσθαι ἢ στοχασμῷ καὶ φυλακῇ.

Ἀπόκρισις

Τὸ τηρῆσαι τὴν καρδίαν ἐστί, τὸ ἔχειν νηφάλιον τὸν νοῦν καὶ καθαρὸν τοῦ πολεμουμένου. Πρῶτον δὲ γίνεται ἐν καταφρονήσει ὁ λογισμὸς αὐτοῦ· καὶ ὅταν βλέπῃ ὁ ἐχθρὸς τὴν καταφρόνησιν, σπουδάζει εἰσενεγκεῖν τὸν πόλεμον. Καὶ εἰ μαθεῖν θέλεις εἰ ἐχθρός ἐστιν ἢ φίλος, βάλε εὐχὴν καὶ ἐρώτησον αὐτόν· 'ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων;' καὶ ἀποκρίνεταί σοι τὴν ἀλήθειαν. Ἡ προδοσία οὖν γίνεται ἀπὸ ἀμελείας. Μὴ ἀντείπῃς δέ, 'τοῦτο γὰρ θέλουσι καὶ οὐ παύσονται', ἀλλὰ πρόσελθε τῷ Κυρίῳ κατ' αὐτῶν, ῥίπτων ἐνώπιον αὐτοῦ τὴν ἀδυναμίαν σου· καὶ αὐτὸς δύναται οὐ μόνον ἀποστῆσαι, ἀλλὰ καὶ καταργῆσαι αὐτούς.

Περὶ δὲ τοῦ δαίμονος τῆς πορνείας, καλὸν μέν ἐστι πάνυ τοῦ φράξαι τὴν εἴσοδον αὐτοῦ· ἐὰν δὲ ἁρπάξῃ καὶ εἰσέλθῃ, πύκτευσον αὐτῷ, ῥίπτων τὴν ἀδυναμίαν σου ἐνώπιον τοῦ Θεοῦ, δεόμενος αὐτοῦ, καὶ ἐκβάλλει αὐτόν.

Περὶ δὲ ἧς εἶπας βρώσεως, ἀπὸ στοχασμοῦ καὶ φυλακῆς στῆσον τὸν βίον, καὶ εὖξαι ὑπὲρ ἐμοῦ διὰ τὴν ἀγάπην.

ϞΒʹ

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Πόθεν βαρεῖται ἡ καρδία μου καὶ ἔστιν ἐν ἐμοὶ ὕπνος ἄμετρος, καὶ οὐδεμία ὑπάρχει μοι κατάνυξις;

νὰ ἀντιλέγει πρὸς ἐκεῖνον ποὺ πολεμεῖ· καὶ γιὰ τὸν λογισμὸ τῆς πορνείας, ἐὰν πρέπει νὰ κλείσει τὴν εἴσοδό του, καὶ ἐὰν μπεῖ, τί πρέπει νὰ κάνει. Ἀκόμη καὶ γιὰ τὴν τροφή, ἐὰν πρέπει κανεὶς νὰ χρησιμοποιεῖ οὐγγιὲς ἢ νὰ τρώγει μὲ στοχασμὸ καὶ προφύλαξη.

Ἀπόκριση

Τὸ νὰ προσέχει κανεὶς τὴν καρδιὰ σημαίνει, νὰ ἔχει νηφάλιο τὸν νοῦ καὶ καθαρὸ ἀπὸ αὐτὸν ποὺ πολεμεῖται. Καὶ πρῶτα περιφρονεῖται ὁ λογισμός του, καὶ ὅταν ὁ ἐχθρὸς βλέπει τὴν περιφρόνηση, βιάζεται νὰ ἀρχίσει τὸν πόλεμο. Καὶ ἐὰν θέλεις νὰ μάθεις, ἂν εἶναι ἐχθρὸς ἢ φίλος, κάνε προσευχὴ καὶ ρώτησέ τον· 'εἶσαι δικός μας ἢ ἐχθρός;' καὶ θὰ σοῦ πεῖ τὴν ἀλήθεια. Ἡ προδοσία λοιπὸν γίνεται ἀπὸ ἀμέλεια. Καὶ νὰ μὴ φέρεις ἀντίρρηση σ' αὐτό, διότι αὐτὸ θέλουν καὶ δὲν θὰ σταματήσουν. Σὺ ὅμως πρόσελθε στὸν Κύριο ἐναντίον τους, ρίχνοντας ἐνώπιόν του τὴν ἀδυναμία σου· καὶ αὐτὸς μπορεῖ ὄχι μόνο νὰ τοὺς ἀπομακρύνει, ἀλλὰ καὶ νὰ τοὺς καταστρέψει.

Ὅσο γιὰ τὸν δαίμονα τῆς πορνείας, εἶναι καλὸ νὰ τοῦ κλείσεις τὴν εἴσοδο· ἐὰν ὅμως ὁρμήσει καὶ μπεῖ, ἀγωνίσου ἐναντίον του, ρίχνοντας τὴν ἀδυναμία σου μπροστὰ στὸ Θεό, προσευχόμενος σ' αὐτόν, καὶ αὐτὸς θὰ τὸν διώξει.

Γιὰ τὴν τροφὴ πάλι ποὺ ἐρώτησες, ρύθμισε τὴ ζωή σου μὲ στοχασμὸ καὶ προφύλαξη καὶ προσευχήσου γιὰ μένα ἀπὸ ἀγάπη.

92

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἀπὸ ποῦ πιέζεται ἡ καρδιά μου καὶ ἔρχεται σὲ μένα ἄμμετρος ὕπνος, καὶ δὲν ὑπάρχει σὲ μένα καμμία συντριβὴ καρδιᾶς;

Ἀπόκρισις

Ταῦτα ἔρχονται τῷ ἡσυχάζοντι πάντως, ἵνα ἀκηδιάσας, φύγῃ, τὸ στάδιον καὶ ἀπογνῷ ἑαυτοῦ· ἡμεῖς δὲ ῥίψωμεν τὴν ἀδυναμίαν ἡμῶν ἐνώπιον τοῦ δυναμένου ποιῆσαι ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, ἕως οὗ συντρίψει τὰς συναγωγὰς Ἀμμορραίων ἔμπροσθεν ἡμῶν· καὶ μὴ ἐάσῃ τὸν Μαδιὰμ καὶ τὸν Ἀμαλὴκ καὶ τοὺς υἱοὺς τῶν ἀνατολῶν ἀφανίσαι ὑμῶν τὰ γεννήματα. Ἀλλ' ὑπομείνωμεν τῇ βοηθείᾳ τοῦ Δεσπότου ἡμῶν Θεοῦ· δυνατώτερος γάρ ἐστιν αὐτῶν καὶ σωθησόμεθα.

ϞΓ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Πόθεν τὴν νύκτα εἰς ἄλλα φαντάζομαι πρόσωπα, τὴν δὲ ἡμέραν εἰς ἄλλα πολεμοῦμαι; Συμβαίνει δέ, ὅτι καὶ ἐκτὸς προσώπου· καὶ πάλιν συμβαίνει, ὡς μετὰ ἡδύτητος καὶ ἐκτὸς ἡδύτητος φαντάζεσθαι.

Ἀπόκρισις

Οἱ πολιορκοῦντες ἡμέρας, αὐτοὶ πολιορκοῦσι καὶ νυκτός, δεικνύοντες, ὅτι ἀκμὴν ἔχουσί σε εἰς τὰς χεῖρας αὐτῶν καὶ αὐτοὶ μεταμορφοῦνται εἰς ἄλλα καὶ ἄλλα. Τὸ δέ, ποτὲ μὲν μετὰ ἡδύτητος γίνεσθαι, ποτὲ δὲ ἐκτὸς ἡδύτητος, ἐκ τῆς μεταμορφώσεως αὐτῶν ἐστιν, ὡς ἤδη εἶπον, ἵνα ἔλθῃ ὁ ἄνθρωπος εἰς ἀπορίαν καὶ ταραχήν.

Διπλοῦς δέ ἐστιν ὁ τῆς νυκτὸς πόλεμος· ἔστιν ἀπὸ ἡδονῶν παθεῖν αὐτὸν καὶ ἔστι ἀπὸ πειρασμοῦ διαβόλου, εἰς τὸ ἐνέγκαι τινὰ εἰς ἀπόγνωσιν, ὡς νομίσαι αὐτόν, μηκέτι ἔχειν σωτηρίαν.

Ὅταν οὖν συμβῇ σοι πειρασμὸς τοῦ πολέμου τούτου, ποίει ἑπτάκις ἀπὸ ἑπτὰ γονυκλισιῶν, τοῦτ' ἔστι τεσσαράκοντα ἐννέα γονυκλισίας, λέγων κατὰ μίαν, «Κύριε, συγχώρησόν μοι διὰ τὸ

᾽Απόκριση

Αὐτὰ ἔρχονται σ᾽ αὐτὸν ποὺ ἡσυχάζει ὁπωσδήποτε γιὰ νὰ ἀδιαφορήσει καὶ νὰ φύγει ἀπὸ τὸ στάδιο, καὶ νὰ ἀπογοητευθεῖ. Ἐμεῖς ὅμως νὰ ρίξουμε τὴν ἀδυναμία μας μπροστὰ σ᾽ ἐκεῖνον ποὺ μπορεῖ περισσότερα ἀπ᾽ ὅσα ζητοῦμε ἢ καταλαβαίνουμε, ὥς ποὺ νὰ συντρίψει μπροστά μας τὶς συναγωγὲς τῶν ᾽Αμοραίων· δὲ θὰ ἀφήσει τὸν Μαδιὰμ καὶ τὸν ᾽Αμαλὴκ καὶ τοὺς υἱοὺς τῆς ἀνατολῆς νὰ καταστρέψουν τὰ γεννήματά σας. ᾽Αλλὰ ἂς δείξουμε ὑπομονὴ μὲ τὴ βοήθεια τοῦ Δεσπότη μας Θεοῦ· διότι εἶναι πιὸ δυνατὸς ἀπὸ αὐτοὺς καὶ θὰ σωθοῦμε.

93

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πῶς ἄλλα πρόσωπα φαντάζομαι τὴ νύχτα καὶ ἀπὸ ἄλλα πολεμοῦμαι τὴν ἡμέρα; Καὶ συμβαίνει ἄλλοτε χωρὶς νὰ φαντάζομαι πρόσωπα καὶ ἄλλοτε νὰ φαντάζομαι μὲ γλυκύτητα καὶ ἄλλοτε χωρὶς γλυκύτητα.

᾽Απόκριση

Αὐτοὶ ποὺ σὲ πολιορκοῦν τὴν ἡμέρα, οἱ ἴδιοι σὲ πολιορκοῦν καὶ τὴ νύχτα, δείχνοντας ὅτι σ᾽ ἔχουν ἀκόμα στὰ χέρια τους καὶ οἱ ἴδιοι μεταμορφώνονται σὲ ἄλλα καὶ ἄλλα. Τὸ ὅτι, ἄλλοτε γίνεται αὐτὸ μὲ γλυκύτητα καὶ ἄλλοτε χωρὶς γλυκύτητα, προέρχεται ἀπὸ τὴ μεταμόρφωσή τους, ὅπως προεῖπα, γιὰ νὰ φθάσει ὁ ἄνθρωπος σὲ ἀπορία καὶ ταραχή.

Ὁ πόλεμος τῆς νύχτας εἶναι διπλός· εἶναι δυνατὸν νὰ συμβεῖ αὐτὸς ἀπὸ ἡδονὲς καὶ εἶναι δυνατὸν ἀπὸ πειρασμὸ διαβόλου, ὥστε νὰ ὁδηγήσει κάποιον σὲ ἀπόγνωση καὶ νὰ νομίσει αὐτὸς ὅτι δὲν ἔχει πλέον σωτηρία.

Ὅταν λοιπὸν σοῦ συμβεῖ πειρασμὸς αὐτοῦ τοῦ πολέμου, κάνε ἑπτὰ φορὲς ἀπὸ ἑπτὰ μετάνοιες, δηλαδὴ σαράντα ἑνιὰ μετάνοιες, λέγοντας κάθε φορά, ‘Κύριε συγχώρεσέ με χάριν τοῦ

ὄνομά σου τὸ ἅγιον»· ἐὰν δὲ πρόσκηται ἀσθένεια ἢ Κυριακή, ὅτε οὐκ ἐξὸν ποιῆσαι γονυκλισίας, λέγε τὸν λόγον τοῦτον ἀντὶ τῶν τεσσαράκοντα ἐννέα γονυκλισιῶν.

Ἡ δὲ διαφορὰ τῶν πειρασμῶν αὕτη ἐστί· τὸ πειρασθῆναι ἀπὸ διαβόλου, ἀπὸ ἐπάρσεως γίνεται· τὸ δὲ ἀπὸ ἡδονῶν, ἀπὸ γαστριμαργίας.

ϞΔʹ

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἐὰν γενομένης μοι τῆς νυκτερινῆς φαντασίας, φθάσῃ τῇ ἑξῆς ἡ ἁγία κοινωνία, τί δεῖ ποιῆσαι;

Ἀπόκρισις

Προσέλθωμεν ὡς τετραυματισμένοι, καὶ μὴ ὡς καταφρονοῦντες, ἀλλ' ὡς χρείαν ἔχοντες ἰατροῦ, καὶ ἰᾶται ἡμᾶς ὁ ἰασάμενος τὴν αἱμορροοῦσαν. Καὶ ἀγαπήσωμεν πολλά, ἵνα καὶ πολὺ ἀφεθῇ ἡμῖν. Καὶ ὅταν θέλῃς κοινωνεῖν, λέγε· 'μὴ εἴη μοι τὰ ἅγια ταῦτα, Δέσποτα, εἰς κρῖμα ἢ εἰς κατάκριμα, ἀλλ' εἰς ἁγιασμὸν ψυχῆς τε καὶ σώματος', καὶ τότε πρόσελθε μετὰ φόβου· καὶ φιλάνθρωπός ἐστιν ὁ Δεσπότης ἡμῶν τοῦ ποιῆσαι μεθ' ἡμῶν τὸ ἔλεος αὐτοῦ. Ἀμήν.

ϞΕʹ

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἐπειδὴ εἶπάς μοι, πάτερ, ἐν τῇ ἀποκρίσει ὅτι τὰ ὑπὸ νύκτα συμβαίνοντα τῷ ἀνθρώπῳ, τὰ μέν εἰσιν ἀπὸ ἐπάρσεως, κατὰ πειρασμὸν τοῦ διαβόλου, τὰ δὲ ἀπὸ ἡδονῶν, γαστριμαργίας, ἆρα δυνατὸν τὸν διάβολον κινῆσαι τοῦτο τῷ

ἁγίου ὀνόματός σου’. Ἂν ὅμως ὑπάρχει ἀσθένεια ἢ εἶναι Κυριακή, ποὺ δὲν εἶναι δυνατὸν νὰ κάνεις μετάνοιες, λέγε αὐτὰ τὰ λόγια ἀντὶ γιὰ τὶς σαράντα ἐνιὰ μετάνοιες.

Ἡ διαφορὰ πάλι τῶν πειρασμῶν εἶναι αὐτή· ὁ πειρασμὸς ἀπὸ τὸν διάβολο γίνεται ἀπὸ ἔπαρση, ἐνῶ ὁ πειρασμὸς ἀπὸ τὶς ἡδονὲς γίνεται ἀπὸ γαστριμαργία.

94

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐάν, ὅταν συμβεῖ σὲ μένα ἡ νυχτερινὴ φαντασία, συμπέσει τὴν ἑπόμενη ἡμέρα νὰ εἶναι κοινωνία, τί πρέπει νὰ κάνω;

Ἀπόκριση

Νὰ προσέλθουμε σ’ αὐτὴν σὰν τραυματισμένοι καὶ ὄχι σὰν περιφρονητές, σὰν νὰ ἔχουμε ἀνάγκη γιατροῦ, καὶ Ἐκεῖνος ποὺ θεράπευσε ἐκείνη ποὺ αἱμορραγοῦσε, θὰ μᾶς θεραπεύσει. Καὶ νὰ δείξουμε πολλὴ ἀγάπη, γιὰ νὰ συγχωρηθοῦμε πολύ. Καὶ ὅταν θέλεις νὰ κοινωνήσεις νὰ λές· ‘Δέσποτα, ἂς μὴ γίνουν αὐτὰ τὰ ἅγια γιὰ μένα πρὸς κρίμα καὶ καταδίκη, ἀλλὰ πρὸς ἁγιασμὸ ψυχῆς καὶ σώματος’, καὶ τότε νὰ προσέλθεις μὲ φόβο. Καὶ ὁ Δεσπότης μας εἶναι φιλάνθρωπος, ὥστε νὰ μᾶς ἐλεήσει. Γένοιτο.

95

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐπειδή, Πάτερ, μοῦ εἶπες στὴν ἀπάντηση, ὅτι αὐτὰ ποὺ συμβαίνουν στὸν ἄνθρωπο τὴ νύχτα, ἄλλα προέρχονται ἀπὸ ἔπαρση, σύμφωνα μὲ τὸν πειρασμὸ τοῦ διαβόλου, καὶ ἄλλα ἀπὸ ἡδονές, ἐξαιτίας τῆς γαστριμαργίας, ἄραγε ὁ διάβολος εἶναι δυνατὸς νὰ προκαλέσει αὐτὸ στὸν ἄνθρω-

ἀνθρώπῳ ἀπὸ φθόνου μόνον, μήτε ἐπαιρουμένου αὐτοῦ, μήτε φιληδονοῦντος; Καὶ πῶς τις ὀφείλει γνῶναι, εἰ φυσικῶς γίνεται αὐτῷ ἡ κίνησις ἐν τῇ νυκτί, καὶ εἰ τὴν φυσικὴν κίνησιν ὑπομένουσιν οἱ τέλειοι, καὶ εἰ ὀφείλει κλίνειν γόνυ ἐν τῇ Πεντηκοστῇ ἢ οὔ.

Ἀπόκρισις

Δύναται μὲν κινῆσαι ὁ διάβολος ἀπὸ φθόνου· ἀλλὰ μὴ παρούσης ἐπάρσεως ἢ ἡδονῆς, οὐ δύναται ἐπὶ πλεῖον. Ὥσπερ γάρ τις θέλων οἰκοδομῆσαι οἶκον, ἂν μὴ εὑρίσκῃ τὰς ὑπουργούσας ὕλας, εἰς μάτην κοπιᾷ, οὕτω καὶ ὁ διάβολος. Τὸ σημεῖον δὲ τῆς φυσικῆς κινήσεώς ἐστιν, ὅταν βλέπῃ τις ὅτι οὔτε ἀπὸ ἐπάρσεως, οὔτε ἀπὸ ἡδονῆς, οὔτε ἀπὸ φθόνου τοῦ διαβόλου συμβαίνει αὐτῷ ἡ κίνησις. Τὸ δὲ μαθεῖν ὅτι οὐκ ἔστιν ἀπὸ φθόνου, ἀλλ' ἀπὸ φυσικοῦ, ὅταν πεποιθὼς καὶ δι' εὐχῶν πολλῶν κοιμηθῇ τις, ὀνομάζων τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα κατασφραγίζων ἑαυτόν, καὶ πάθῃ τοῦτο· οἱ δὲ τέλειοι οὐ πάσχουσιν οὐδὲ τοῦτο, ἔσβεσαν γὰρ καὶ τὸ φυσικόν, ὅτι εὐνούχισαν ἑαυτοὺς πνευματικῶς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, τοῦτ' ἔστιν ἐνέκρωσαν τὰ ἑαυτῶν μέλη.

Περὶ δὲ τοῦ κλίνειν γόνυ ἐν τῇ Πεντηκοστῇ, ἤδη ἐρρέθη σοι καὶ ἄλλοτε, ὥστε κλίνειν ἐν τῷ σῷ κελλίῳ.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ.

ϟς'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Πῶς θέλω κρατῆσαι τῆς κοιλίας μου καὶ ἐλθεῖν εἰς ὀλιγοτροφίαν καὶ οὐ δύναμαι; ἀλλὰ καὶ ἐὰν λάβω παραμι-

πο μόνο ἀπὸ φόβο, χωρὶς νὰ ἐπαίρεται αὐτὸς οὔτε νὰ ἀγαπᾶ τὴν ἡδονή; Καὶ πῶς μπορεῖ κανεὶς νὰ γνωρίζει, ἂν ἡ κίνηση γίνεται σ' αὐτὸν φυσιολογικὰ τὴ νύχτα. Ἐπίσης ἂν οἱ τέλειοι ὑπομένουν τὴ φυσικὴ κίνηση, καθὼς καὶ ἂν πρέπει κανεὶς νὰ κάνει μετάνοιες τὴν Πεντηκοστὴ ἢ ὄχι.

Ἀπόκριση

Μπορεῖ ὁ διάβολος νὰ τὰ κινήσει ἀπὸ φθόνο, ἀλλά, ἐὰν δὲν ὑπάρχει ἔπαρση ἢ ἡδονὴ δὲ μπορεῖ νὰ συνεχίσει περισσότερο. Διότι, ὅπως ἀκριβῶς ὅταν θέλει κανεὶς νὰ κτίσει σπίτι, κοπιάζει μάταια, ἐὰν δὲ βρεῖ τὶς βοηθητικὲς ὕλες, τὸ ἴδιο καὶ ὁ διάβολος. Τὸ σημάδι τῆς φυσικῆς κινήσεως εἶναι, ὅταν βλέπει κανεὶς ὅτι ἡ κίνηση συμβαίνει σ' αὐτὸν ὄχι ἀπὸ ἔπαρση, οὔτε ἀπὸ ἡδονή, οὔτε ἀπὸ φθόνο τοῦ διαβόλου. Θὰ καταλάβουμε ὅτι δὲν εἶναι ἀπὸ φθόνο, ἀλλὰ ἀπὸ φυσικοῦ, ὅταν κανεὶς κοιμηθεῖ μὲ πεποίθηση καὶ πολλὲς εὐχές, ἐπικαλούμενος τὴν ἁγία καὶ ὁμοούσια Τριάδα καὶ κατασφραγίζοντας τὸν ἑαυτό του[79], καὶ πάθει αὐτό· οἱ τέλειοι ὅμως δὲν παθαίνουν οὔτε αὐτό, διότι ἔσβησαν καὶ τὸ φυσικό, ἐπειδὴ εὐνούχισαν πνευματικὰ τοὺς ἑαυτούς τους γιὰ τὴ βασιλεία τῶν οὐρανῶν, δηλαδὴ νέκρωσαν τὰ μέλη τους.

Ὅσο γιὰ τὸ γονάτισμα τὴν Πεντηκοστή, ἤδη σοῦ εἰπώθηκε καὶ ἄλλη φορά, νὰ γονατίζεις στὸ κελλί σου.

Προσευχήσου γιὰ μένα, ἀδελφέ.

96

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐνῶ θέλω νὰ συγκρατήσω τὴν κοιλιά μου καὶ νὰ φθάσω σὲ ὀλιγοτροφία, δὲ μπορῶ· ὅμως, ἐὰν πάρω λειψὸ φαγη-

79. Τὸ σημεῖο τοῦ σταυροῦ.

κρόν, πάλιν μετ' ὀλίγον ἔρχομαι εἰς τὸ πρῶτον μου μέτρον· καὶ εἰς τὸ πιεῖν ὁμοίως.

Ἀπόκρισις

Γνησθείη ἡ ἀγάπη σου, ἀδελφέ μου, ὅτι ὅσα ἔχω πάθη εἶπάς μοι· κἀγὼ γὰρ τὰ αὐτὰ πάσχω· οὐδεὶς δὲ ἀπαλλάσσεται τούτων, εἰμὴ ὁ ἐλθὼν εἰς τὸ μέτρον τοῦ λέγοντος, «ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου· ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου, ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου». Ὁ τοιοῦτος διὰ τάχους ἔρχεται εἰς ὀλιγοτροφίαν καὶ ὀλιγοποσίαν· τὰ γὰρ δάκρυα εἰς ἄρτον γίνεται αὐτῷ· καὶ λοιπὸν ἔρχεται τρέφεσθαι διὰ τοῦ Πνεύματος. Πείσθητί μοι, ἀδελφέ, ὅτι οἶδα ἄνθρωπον, ὃν ὁ Κύριος γινώσκει, τοιούτου μέτρου· καὶ καθ' ἑβδομάδα ἅπαξ ἢ δεύτερον καὶ πλεῖον αἰχμαλωτίζεται εἰς τὴν πνευματικὴν τροφὴν καὶ ἀπὸ γλυκύτητος ἐπιλανθάνεται τῆς αἰσθητῆς τροφῆς καὶ ὅταν ἔρχεται μεταλαβεῖν, ὥσπερ τις κεχορτασμένος ἢ ἡηδισμένος, οὐ θέλει μεταλαβεῖν, μεταλαμβάνων δὲ κατακρίνει ἑαυτὸν λέγων, 'διατί πάντοτε οὐκ εἰμι οὕτως;' Καὶ ἐπιποθεῖ τοῦ ἔτι καταλαβεῖν. Ποῦ ἐσμεν, ἀδελφέ; Ἀπέλθωμεν, ἀποθάνωμεν.

Συγχώρησόν μοι. Ὅτι μὴ εὑρίσκων εἴς τι τῶν ἐμῶν καυχᾶσθαι, εἰς ἀλλοτρίους πόνους καυχῶμαι, καὶ τοῦτο εἰς ἐμὴν κατάκρισιν.

ϞΖ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Παρακαλῶ σε, πάτερ, ἵνα σαφηνίσῃς μοι τὴν δύναμιν τοῦ πράγματος· πῶς ἔρχεταί τις εἰς ἃ εἶπας; Ἐγὼ γὰρ ἀγνοῶ· ὁσάκις γὰρ ἐπεχείρησα ὀλιγοτροφῆσαι, ἡ ἀκηδία καὶ ἡ

τό, μετὰ ἀπὸ λίγο ἔρχομαι πάλι στὸ πρῶτο μου μέτρο· τὸ ἴδιο μοῦ συμβαίνει καὶ μὲ τὸ ποτό.

Ἀπόκριση

Η ἀγάπη σου, ἀδελφέ μου, ἂς θυμηθεῖ ὅτι μοῦ εἶπες ὅσα ἔχω πάθει· διότι καὶ ἐγὼ τὰ ἴδια παθαίνω καὶ κανένας δὲν ἀπαλλάσσεται ἀπὸ αὐτά, παρὰ μόνο ἐκεῖνος ποὺ ἦρθε στὸ μέτρο αὐτοῦ ποὺ λέγει, «ξέχασα νὰ φάγω τὸ ψωμί μου· ἀπὸ τὴ φωνὴ τοῦ στεναγμοῦ μου, τὸ κόκκαλό μου κόλλησε στὴ σάρκα μου»[80]. Αὐτὸς φθάνει γρήγορα στὴν ὀλιγοτροφία καὶ ὀλιγοποσία· διότι τὰ δάκρυα γίνονται ψωμὶ γι' αὐτὸν καὶ στὸ ἑξῆς τρέφεται μὲ τὸ Πνεῦμα. Πίστεψέ με, ἀδελφέ, ὅτι γνωρίζω ἄνθρωπο[81] τέτοιου μέτρου, τὸν ὁποῖο γνωρίζει ὁ Κύριος· καὶ μία φορὰ τὴν ἑβδομάδα ἢ δύο καὶ περισσότερο αἰχμαλωτίζεται στὴν πνευματικὴ τροφὴ καὶ ἀπὸ τὴ γλυκύτητά της ξεχνᾶ τὴν αἰσθητὴ τροφὴ καὶ ὅταν ἔρχεται νὰ μεταλάβει δὲ θέλει νὰ μεταλαμβάνει σὰν κάποιος χορτασμένος ἢ ἀηδιασμένος, καὶ ὅταν μεταλαμβάνει κατακρίνει τὸν ἑαυτό του λέγοντας, 'Γιατί δὲν εἶμαι πάντα ἔτσι;' καὶ ἐπιθυμεῖ νὰ φθάσει παραπέρα. Ποῦ εἴμαστε, ἀδελφέ; Ἂς φύγουμε, ἂς πεθάνουμε.

Συγχώρεσέ με ποὺ δὲ βρίσκω νὰ καυχηθῶ γιὰ τίποτα ἀπὸ τὰ δικά μου, ἀλλὰ καυχιέμαι γιὰ τοὺς ξένους κόπους, καὶ αὐτὸ εἶναι πρὸς κατάκρισή μου.

97

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πάτερ, σὲ παρακαλῶ νὰ μοῦ διασαφήσεις τὴ δύναμη τοῦ πράγματος· πῶς φθάνει κανεὶς σ' αὐτὰ ποὺ εἶπες; Διότι ἐγὼ δὲν ξέρω· ὅσες φορὲς ἐπιχείρησα νὰ ὀλιγοτροφήσω,

---

80. Ψαλμ. 101(102), 6.

81. Εἶναι βέβαιο ὅτι ὁ Βαρσανούφιος ἐδῶ ἐννοεῖ τὸν ἑαυτό του.

ἀτονία οὐκ ἀφῆκέ με, ἕως οὗ ἦλθον εἰς τὸ πρῶτον μου μέτρον· καὶ πῶς εἶπας, ὅτι 'ὁ ἐρχόμενος εἰς τὸ μέτρον τοῦ εἰπόντος, «ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου», οὗτος ἔρχεται εἰς ὀλιγοδείαν', καὶ πῶς πρὸ τῆς ὀλιγοτροφίας κολλᾶται τὸ ὀστοῦν τῇ σαρκί;

Ἀπόκρισις

Ἀδελφέ, ἀναγκάζεις με λαλῆσαι τὰ ὑπὲρ μέτρον μου· καὶ φοβοῦμαι μήποτε κατακριθῶ λέγων τὰ ἀλλότρια κατορθώματα. Γέγραπται ὅτι «ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου»· τοῦτ' ἔστιν, ὅτι γίνεται τὰ ὀστᾶ ὅλα τοῦ ἀνθρώπου ἕν, ἤγουν ὅλοι οἱ λογισμοὶ τοῦ ἀνθρώπου ἓν κατὰ Θεόν. Καὶ τότε γίνεται ἡ σὰρξ ἐξακολουθοῦσα τῷ κατὰ Θεὸν λογισμῷ καὶ ἐγγίνεται ἡ χαρὰ τοῦ Πνεύματος ἐν τῇ καρδίᾳ, τρέφουσα τὴν ψυχὴν καὶ πιαίνουσα τὸ σῶμα καὶ ἐνδυναμοῦσα τὰ ἀμφότερα καὶ οὐκ ἔτι ἀτονεῖ οὔτε ἀκηδιᾷ. Ἰησοῦς γὰρ λοιπὸν γίνεται μεσίτης καὶ παριστᾷ τὸν ἄνθρωπον ἐγγὺς τῶν προπυλαίων, ὅθεν ἔφυγεν ὀδύνη, λύπη καὶ στεναγμός, καὶ πληροῦται εἰς αὐτὸν ὁ λόγος ὁ γεγραμμένος, «ὅπου ὁ θησαυρός σου, ἐκεῖ καὶ ἡ καρδία σου»· φέρει δὲ τὸν ἄνθρωπον εἰς τὸ μέτρον τοῦτο, ἡ τελεία ταπείνωσις.

ϞΗʹ

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.*

Πῶς τις ἔρχεται εἰς ἐγκράτειαν, καὶ πῶς γινώσκεται ἡ φυσικὴ ἀσθένεια καὶ ἡ τῶν δαιμόνων, καὶ πόσον δεῖ ἐσθίειν;

---

82. Ψαλμ. 101(102),6.
83. Ψαλμ. 101(102),6.

ἡ ἀκηδία καὶ ἡ ἀτονία δὲν μὲ ἄφησε, ὡς ποὺ ἦρθα στὸ πρῶτο μου μέτρο. καὶ πῶς εἶπες, ὅτι ἐκεῖνος ποὺ φθάνει στὸ μέτρο ἐκείνου ποὺ εἶπε, «κόλλησε τὸ κόκκαλό μου στὴ σάρκα μου»[82], αὐτὸς φθάνει στὴν ὀλιγοτροφία, καὶ πῶς πρὶν ἀπὸ τὴν ὀλιγοτροφία τὸ κόκκαλο κολλάει στὴ σάρκα;

Ἀπόκριση

Ἀδελφέ, μὲ ἀναγκάζεις νὰ πῶ ἐκεῖνα ποὺ ξεπερνοῦν τὸ μέτρο μου· καὶ φοβᾶμαι μήπως καὶ κατακριθῶ, ἐπειδὴ λέγω τὰ ξένα κατορθώματα. Ἔχει γραφεῖ ὅτι «τὸ κόκκαλό μου κόλλησε στὴ σάρκα μου»[83]· αὐτὸ συμβαίνει ἐπειδὴ ὅλα τὰ κόκκαλα τοῦ ἀνθρώπου γίνονται ἕνα, δηλαδὴ ὅλοι οἱ λογισμοὶ τοῦ ἀνθρώπου γίνονται ἕνα κατὰ Θεόν. Καὶ τότε ἡ σάρκα ἀκολουθεῖ τὸν κατὰ Θεὸ λογισμὸ καὶ γεννιέται ἡ χαρὰ τοῦ Πνεύματος στὴν καρδιὰ ποὺ τρέφει τὴν ψυχὴ καὶ παχαίνει τὸ σῶμα καὶ ἐνδυναμώνει καὶ τὰ δύο καὶ δὲν ἀτονεῖ πιὰ οὔτε ἀδιαφορεῖ. Διότι ὁ Ἰησοῦς στὸ ἑξῆς γίνεται μεσίτης καὶ παρουσιάζει τὸν ἄνθρωπο κοντὰ στὰ προπύλαια, ἀπ' ὅσου ἔφυγε ἡ ὀδύνη ἡ λύπη καὶ ὁ στεναγμός[84], καὶ πραγματοποιεῖται σ' αὐτὸν ὁ λόγος ποὺ ἔχει γραφεῖ, «ὅπου ὁ θησαυρός σου, ἐκεῖ καὶ ἡ καρδιά σου»[85]· καὶ ὁδηγεῖ τὸν ἄνθρωπο σ' αὐτὸ τὸ μέτρο, ἡ τέλεια ταπείνωση.

98

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν μεγάλο Γέροντα.

Πῶς φθάνει κανεὶς σὲ ἐγκράτεια, καὶ πῶς γνωρίζεται ἡ φυσικὴ ἀσθένεια καὶ ἡ ἀσθένεια τῶν δαιμόνων, καθὼς καὶ πόσο πρέπει νὰ τρώγει κανείς;

84. Τροπάριο τῆς νεκρώσιμης ἀκολουθίας.
85. Ματθ. 6,19·21.

Ἀπόκρισις

Αδελφέ, κατὰ μικρὸν ξύεις ἀποκαλύψαι πράγματα κεκρυμμένα, κᾀγὼ μωρὸς ἔτι, νομίζω ὅτι, ὃ αἰτεῖ παρ' ἐμοῦ, οὐδεὶς δύναται διακρίναι, εἰ μὴ ὁ ἐρχόμενος εἰς τὸ μέτρον τοῦτο. Ζῶν γὰρ ἄνθρωπος, αἴσθησιν ἔχει τῆς ψυχρότητος καὶ τῆς θερμότητος τῶν προσφερομένων αὐτῷ· ὁ δὲ νεκρὸς οὐκ αἰσθάνεται τούτων, ἀπώλεσε γὰρ τὴν αἴσθησιν. Καὶ καθὼς ἔρχεται εἰς τὸ μέτρον τῆς ἐπιστήμης τῶν πραγμάτων ὁ μανθάνων αὐτά, καὶ οἶδεν αὐτὰ διακρίναι· ὁ δὲ μὴ μαθὼν μηδὲ ἐλθὼν εἰς αὐτά, μυριάκις ἐὰν ἐρωτήσῃ τί εἰσι καὶ ἀκούσῃ, ἀκμὴν καταλαβεῖν αὐτῶν τὴν δύναμιν οὐ δύναται· οὕτως ἐστὶ καὶ τοῦτο· ὅσον λέγεις τινὶ χρεία μᾶλλον τῆς πείρας.

Περὶ δὲ τῆς ἀσθενείας, ἐὰν δέχεται τὸ σῶμα τὴν καθημερινὴν τροφὴν καὶ χαυνωθῇ, τῶν δαιμόνων ἐστί· ἐὰν δὲ μή, ἀσθένειά ἐστι. Τὸ δὲ ἐγκρατεύεσθαί ἐστι τὸ ἐγερθῆναι παραμικρὸν ὡς ἔταξαν οἱ γέροντες τοῖς ὑποδεεστέροις· ὅταν δὲ φθάσῃ ὁ ἄνθρωπος εἰς τὸ μέτρον τοῦ λέγοντος, «οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν», οὐ δύναται αὐτὸν λαθεῖν τὸ πόσον δεῖ ἐσθίειν, γεγυμνασμένος γάρ ἐστιν. Ἀναγκάζομαι εἰπεῖν πράγματα ὑπὲρ ἐμέ, καὶ οὐ χρεία· τάχα δὲ οὐδέ ἐστιν ὁ δυνάμενος δέξασθαι καὶ νοῆσαι, εἰ μὴ σπάνιοί τινες.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν ἐνέγκοι σε εἰς τὴν χαρὰν ταύτην· ἔχει γὰρ φῶς ἀνεκλάλητον, τηλαυγής ἐστι καὶ γλυκεῖα· οὐ μνημονεύει σωματικῆς τροφῆς· τὰ ἄνω ζητεῖ· τὰ ἄνω φρονεῖ· τὰ ἄνω μελετᾷ· ὅπου ὁ Χριστὸς ἐν δεξιᾷ τοῦ Πατρὸς καθέζεται.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἀπόκριση

Ἀδελφέ, ξύνεις λίγο λίγο γιὰ νὰ ἀποκαλύψεις κρυμμένα πράγματα, καὶ ἐγὼ ὁ μωρὸς ἀκόμα, νομίζω ὅτι αὐτὸ ποὺ ζητεῖς ἀπὸ μένα δὲν μπορεῖ νὰ τὸ διακρίνει κανένας, παρὰ μόνο ὁ ἐρχόμενος σ' αὐτὸ τὸ μέτρο. Διότι ὁ ζωντανὸς ἄνθρωπος αἰσθάνεται τὴν ψυχρότητα καὶ τὴ θερμότητα αὐτῶν ποὺ τοῦ προσφέρονται, ὁ νεκρὸς ὅμως δὲν τὰ αἰσθάνεται, διότι ἔχασε τὴν αἴσθηση. Καὶ καθὼς φθάνει στὸ μέτρο τῆς γνώσεως τῶν πραγμάτων, ἐκεῖνος ποὺ ἔμαθε αὐτά, γνωρίζει νὰ τὰ διακρίνει, ἐνῶ ἐκεῖνος ποὺ δὲν ἔμαθε οὔτε ἔφθασε σ' αὐτά, χιλιάδες φορὲς ἂν ἐρωτήσει καὶ ἀκούσει τί εἶναι, δὲ μπορεῖ ἀκόμα νὰ καταλάβει τὴ δύναμή τους. Τὸ ἴδιο συμβαίνει καὶ μὲ αὐτό· ὅσο περισσότερα λέγεις σὲ κάποιον, τόσο περισσότερη πείρα χρειάζεται.

Ὅσο γιὰ τὴν ἀσθένεια, ἐὰν τὸ σῶμα δέχεται τὴν καθημερινὴ τροφὴ καὶ χαυνωθεῖ, εἶναι ἀσθένεια τῶν δαιμόνων· ἐὰν ὄχι, εἶναι ἀσθένεια. Ἐνῶ ἡ ἐγκράτεια εἶναι τὸ ν' ἀφυπνισθεῖ κανεὶς λίγο ὅπως οἱ γέροντες ὅρισαν στοὺς ὑποδεέστερους· ὅταν ὅμως ὁ ἄνθρωπος φθάσει στὸ μέτρο ἐκείνου ποὺ λέγει, «δὲν ἀγνοοῦμε τὰ νοήματα αὐτοῦ»[86], δὲν μπορεῖ νὰ ἀγνοεῖ τὸ πόσο πρέπει νὰ τρώγει, διότι εἶναι γυμνασμένος. Ἀναγκάζομαι νὰ πῶ πράγματα ποὺ εἶναι πάνω ἀπὸ τὴ δύναμή μου, χωρὶς νὰ ὑπάρχει ἀνάγκη· καὶ ἴσως οὔτε ὑπάρχει ἐκεῖνος ποὺ μπορεῖ νὰ τὰ δεχθεῖ καὶ νὰ τὰ καταλάβει, παρὰ ἐλάχιστοι.

Ὁ Θεὸς τῶν Πατέρων μας εἴθε νὰ σὲ ὁδηγήσει σ' αὐτὴ τὴν χαρά· διότι ἔχει ἀνεκδιήγητο φῶς, εἶναι γεμάτη ἀκτινοβολία καὶ γλυκειά, δὲ θυμᾶται σωματικὴ τροφή, ἐπιζητεῖ τὰ οὐράνια, σκέφτεται τὰ οὐράνια καὶ μελετᾶ τὰ οὐράνια[87], ὅπου Χριστὸς κάθεται στὰ δεξιὰ τοῦ Πατρός.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

86. Β' Κορ. 2,11.
87. Κολ. 3,1.

ϟθʹ

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.*

Ἆρα καλόν ἐστιν, ἀββᾶ, τὸ ὁμολογεῖν τινι τῶν ἀδελφῶν περὶ τῆς φαντασίας, καὶ βαλεῖν αὐτῷ μετάνοιαν εὔξασθαι ὑπὲρ αὐτοῦ;

Ἀπόκρισις

Περὶ τοῦ νυκτερινοῦ φαντασμοῦ, καλόν ἐστιν εἰπεῖν τῷ δυναμένῳ ἀκοῦσαι· βαλὼν δὲ μετάνοιαν, ὀφείλει αἰτεῖν εὔξασθαι ὑπὲρ αὐτοῦ· γραφικὸς γὰρ ὁ λόγος, «ἐξομολογεῖσθε ἀλλήλοις τὰς ἁμαρτίας ὑμῶν, καὶ εὔξασθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε».

ΣΧΟΛΙΟΝ

Εἰπὼν γὰρ ὁ πατήρ, 'καλόν ἐστιν εἰπεῖν τῷ δυναμένῳ ἀκοῦσαι', ἐδήλωσεν ὅτι οὐ συμφέρει πᾶσι καὶ τοῖς τυχοῦσι τὰ τοιαῦτα λαλεῖν.

Ρʹ

Τῶν Πατέρων τις ἡσυχάζων ἠρώτησε τὸν αὐτόν.

Πῶς ἐστι τὸ καθίσαι ἐν τῷ κελλίῳ;

Ἀπόκρισις

Τὸ καθίσαι ἐν τῷ κελλίῳ ἐστί, τὸ μνημονεύειν τῶν ἰδίων ἁμαρτημάτων καὶ τὸ κλαίειν περὶ αὐτῶν καὶ πενθεῖν· νήφειν δὲ μὴ αἰχμαλωτισθῆναι τὸν νοῦν· εἰ δὲ αἰχμαλωτισθῇ, ταχέως πάλιν ἀγαγεῖν αὐτὸν εἰς τὸν τόπον αὐτοῦ.

99

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Ἄραγε, Ἀββᾶ, εἶναι καλὸ νὰ ἐξομολογεῖται κανεὶς σὲ κάποιον ἀδελφὸ γιὰ τὴ φαντασίωση καὶ νὰ τοῦ βάλει μετάνοια γιὰ νὰ εὐχηθεῖ γι' αὐτόν;

Ἀπόκριση

Γιὰ τὸ νυχτερινὸ ὄνειρο, εἶναι καλὸ νὰ πεῖ κανεὶς σ' αὐτὸν ποὺ μπορεῖ ν' ἀκούσει· ἐνῶ κάνοντας μετάνοια, ὀφείλει νὰ ζητεῖ νὰ προσεύχεται γι' αὐτόν· διότι γραφικὸς εἶναι ὁ λόγος· «νὰ ἐξομολογεῖσθε τὶς ἁμαρτίες μεταξύ σας καὶ νὰ εὔχεσθε ὁ ἕνας γιὰ τὸν ἄλλον, ὥστε νὰ θεραπευθεῖτε»[88].

ΣΧΟΛΙΟ

Λέγοντας ὁ Πατέρας, ὅτι 'εἶναι καλὸ νὰ τὸ πεῖ σ' αὐτὸν ποὺ μπορεῖ νὰ ἀκούσει', φανέρωσε ὅτι δὲ συμφέρει σὲ ὅλους καὶ στοὺς τυχαίους νὰ λέμε τὰ πράγματα αὐτά.

100

Κάποιος ἀπὸ τοὺς Πατέρες ποὺ ἡσύχαζε τὸν ἐρώτησε.

Τί σημαίνει τὸ νὰ κάθεται κανεὶς μέσα στὸ κελλί;

Ἀπόκριση

Τὸ νὰ κάθεται κανεὶς στὸ κελλὶ σημαίνει, τὸ νὰ φέρνει στὴ μνήμη του τὰ ἁμαρτήματά του καὶ νὰ κλαίει γι' αὐτὰ καὶ νὰ πενθεῖ· ἡ νήψη πάλι εἶναι νὰ μὴ αἰχμαλωτισθεῖ ὁ νοῦς· ἂν ὅμως αἰχμαλωτισθεῖ, γρήγορα νὰ τὸν ὁδηγήσει πάλι στὸν τόπο του.

---

88. Ἰάκ. 5,16.

ΡΑ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ὁ λογισμὸς λέγει μοι, ὅτι ἡ μελέτη ποιεῖ καθαρὰν προσευχήν· ἆρα οὕτως ἔχει;

Ἀπόκρισις

Αδελφέ, μὴ χλευασθῇς ὑπὸ τῶν δαιμόνων καὶ εἴπῃς ὅτι 'ἡ μελέτη ποιεῖ καθαρὰν προσευχήν'· καὶ πῶς μένουσι τὰ πάθη ἐν τῷ ἀνθρώπῳ, ἔχοντι 'καθαρὰν προσευχήν';

ΡΒ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Πῶς γίνεται τὸ νόημα θηριάλωτον;

Ἀπόκρισις

Τὸ νόημα θηριάλωτον γίνεται, ἐὰν μὴ προλάβῃ ἄνθρωπος καὶ μέμψηται ἑαυτόν· καὶ τὸ δῆγμα τῶν ὀδόντων ἔχει καὶ τὸν ἀφανισμὸν τῶν ὀνύχων· λοιπὸν ἐμπλάστρου χρεία, τοῦτ' ἔστι μετανοίας.

ΡΓ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Εἰ δεῖ καμμύειν τοὺς ὀφθαλμοὺς ἐν ταῖς μεθοδείαις τοῦ ἐχθροῦ· καὶ ὅταν ἐπανίσταταί μοι τὸ σῶμα, τί δεῖ ποιεῖν.

Ἀπόκρισις

Δεικνύει ὁ διάβολος τῷ ἀνθρώπῳ πράγματα καὶ αἰσθητῶς καὶ ἀναισθήτως. Ὁ ἀσθενὴς ὢν καμμύει τοὺς ὀφθαλμοὺς ἵνα μὴ ἴδῃ, ὁ δὲ δυνατὸς καὶ βλέπων αὐτῶν

101

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ὁ λογισμός μου λέγει ὅτι ἡ μελέτη συντελεῖ σὲ καθαρὴ προσευχή· ἄραγε εἶναι ἔτσι;

Ἀπόκριση

Ἀδελφέ, νὰ μὴ χλευασθεῖς ἀπὸ τοὺς δαίμονες καὶ πεῖς 'ὅτι ἡ μελέτη συντελεῖ σὲ καθαρὴ προσευχή'· καὶ πῶς τὰ πάθη μένουν στὸν ἄνθρωπο ποὺ εἶναι καθαρὴ ἡ προσευχή του;

102

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πῶς γίνεται τὸ νόημα θηριάλωτο;

Ἀπόκριση

Ὁ στοχασμὸς γίνεται θηριάλωτος, ἐὰν ὁ ἄνθρωπος δὲν προλάβει καὶ δὲν κατηγορήσει τὸν ἑαυτό του· καὶ ἔχει καὶ τὸ δάγκωμα τῶν δοντιῶν καὶ τὴν καταστροφὴ τῶν νυχιῶν· λοιπὸν χρειάζεται ἔμπλαστρο, δηλαδὴ μετάνοια.

103

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐὰν πρέπει νὰ κλείνω τὰ μάτια στὶς μηχανορραφίες τοῦ ἐχθροῦ καὶ τί πρέπει νὰ κάνω ὅταν ἐπαναστατεῖ τὸ σῶμα μου.

Ἀπόκριση

Ὁ διάβολος δείχνει στὸν ἄνθρωπο πράγματα καὶ αἰσθητῶς καὶ ἀναισθήτως. Αὐτὸς ποὺ εἶναι ἀσθενής, κλείνει τὰ μάτια γιὰ νὰ μὴ δεῖ· ὁ δυνατὸς ὅμως καὶ ὅταν τὰ

καταφρονεῖ· «δίκαιος γὰρ ὡς λέων πέποιθε». Περὶ δὲ τῆς ἐπαναστάσεως τοῦ σώματος, φεῦγε γοργῶς πρὸς τὸν Ἰησοῦν διὰ προσευχῆς, καὶ ἀναπαύῃ.

ΡΔ'

Ἐρώτησις

Πόθεν συμβαίνει μοι μετὰ τὴν ἐρώτησιν κατακρίνειν ἄλλον;

Ἀπόκρισις

Τ*ὸ κατακρίνειν μετὰ τὴν ἐρώτησιν ἄλλον, ὑπομένεις διὰ τὸ μὴ ἀποθανεῖν τὸ δικαίωμα ἀπὸ σοῦ· κατάκρινον σεαυτὸν καὶ ὑπάγει ἀπὸ σοῦ τὸ εἰς ἄλλους κατάκριμα.*

ΡΕ'

Ὁ αὐτὸς ὀχληθεὶς ὑπὸ λῃστῶν καὶ πάνυ δειλιάσας, χάριτι δὲ Θεοῦ σκεπασθεὶς ἀπὸ τῆς αὐτῶν βλάβης, ἀνήγγειλε τῷ αὐτῷ Γέροντι περὶ τῆς δειλίας, αἰτῶν ἅμα καὶ εὐχὴν πρὸς φυλακὴν τῶν ἔμπροσθεν.

Ἀπόκρισις

Ὁ *Θεὸς οὐ παραδίδωσί τινα, ὁ λέγων, «οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω», ἀλλ' ἡ ἀπιστία ἡμῶν ἐστιν ἡ παραδιδοῦσα ἡμᾶς, ὅμως δὲ κατὰ συγχώρησιν Θεοῦ ἔρχονται πειρασμοὶ πρὸς δοκιμὴν τῆς πίστεως τῶν ἐχόντων τελείως εἰς Θεὸν τὴν ἐλπίδα. Μὴ περισσότεροί εἰσιν οἱ λῃσταὶ οἱ ἐρχόμενοι, τῶν ἁρμάτων καὶ δυνάμεων τοῦ Φαραώ; Καὶ φανερὸν ἐγένετο ὅτι ἑνὶ ρήματι καὶ νεύματι Κυρίου κατε-*

βλέπει τὰ περιφρονεῖ· διότι λέγει, «ὁ δίκαιος σὰν λιοντάρι στηρίζει τὴν πεποίθησή του στὸ Θεό»[89]. Ὅσο γιὰ τὴν ἐπανάσταση τοῦ σώματος, νὰ καταφύγεις γρήγορα μὲ προσευχὴ στὸν Ἰησοῦ καὶ θ' ἀναπαυθεῖς.

104

Ἐρώτηση

Πῶς μοῦ συμβαίνει μετὰ τὴν ἐρώτηση νὰ κατακρίνω ἄλλον;

Ἀπόκριση

Τὸ νὰ κατακρίνεις ἄλλον μετὰ τὴν ἐρώτηση, τὸ ὑπομένεις γιὰ νὰ μὴ πεθάνει ἡ δικαίωμά σου. Κατάκρινε τὸν ἑαυτό σου καὶ φεύγει ἔτσι ἀπὸ σένα ἡ κατάκριση πρὸς τοὺς ἄλλους.

105

Ὁ ἴδιος ἐπειδὴ ἐνοχλήθηκε ἀπὸ ληστὲς καὶ δείλιασε πολύ, ἀλλὰ προφυλάχτηκε μὲ τὴ χάρη τοῦ Θεοῦ ἀπὸ τὴ βλάβη τους, εἶπε στὸν ἴδιο Γέροντα γιὰ τὴ δειλία, ζητώντας συγχρόνως καὶ προσευχὴ νὰ φυλακισθοῦν οἱ προηγούμενοι.

Ἀπόκριση

Ὁ Θεὸς δὲν παραδίδει κάποιον, αὐτὸς ποὺ λέγει, «δὲ θὰ σὲ στενοχωρήσω, οὔτε θὰ σὲ ἐγκαταλείψω»[90], ἀλλὰ ἡ ἀπιστία μας εἶναι αὐτὴ ποὺ μᾶς παραδίδει· ὅμως κατὰ παραχώρηση τοῦ Θεοῦ ἔρχονται πειρασμοὶ γιὰ δοκιμὴ τῆς πίστεως ἐκείνων ποὺ ἔχουν στηριγμένη τὴν ἐλπίδα τους τελείως στὸ Θεό. Μήπως οἱ ληστὲς ποὺ ἔρχονται εἶναι περισσότεροι ἀπὸ τὰ ἅρματα καὶ τὶς δυνάμεις τοῦ Φαραώ; Καὶ ἔγινε φανερὸ

89. Παρμ. 28,1.
90. Ἑβρ. 13,5.

ποντίσθησαν ἀθρόως. Οὐ μνημονεύεις πῶς ἐτύφλωσε τοὺς ἐπελθόντας κατὰ τοῦ Ἐλισσαίου; Τίς ἐτύφλωσεν αὐτούς; Καὶ διὰ τί ὁ εἰδὼς ρύσασθαι ἀπὸ πειρασμοῦ εὐσεβεῖς, ταῦτα πάντα ἐποίησε καὶ ποιεῖ; Πῶς ἐπελαθόμεθα τῆς λεγούσης Γραφῆς, «Κύριος φυλάξοι σε ἀπὸ παντὸς κακοῦ· φυλάξοι τὴν ψυχήν σου ὁ Κύριος»; Καὶ πῶς εἰς λήθην παρεδώκαμεν τό, «ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς ἠριθμημέναι εἰσί», καὶ ὅτι «στρουθίον οὐ πεσεῖται εἰς παγίδα ἄνευ τοῦ Πατρὸς ὑμῶν· οὐ πολλῷ μᾶλλον διαφέρει ἄνθρωπος στρουθίου»; Ὢ τῆς δειλίας, τῆς θυγατρὸς τῆς ἀπιστίας! ποῦ ἡμᾶς κατήνεγκε! δεινοτάτη ἐστὶ πάνυ, τυφλοῖ τὸν νοῦν, χαυνοῖ τὴν καρδίαν, ἀποσπᾷ ἀπὸ Θεοῦ τοὺς ἀνθρώπους, ἀδελφή ἐστιν ἀνελπιστίας, ἐξορίζει τοὺς ἀνθρώπους ἀπὸ τοῦ φόβου τοῦ Θεοῦ εἰς τὴν χώραν τῆς ἀπωλείας.

Ἀδελφέ, φύγωμεν αὐτὴν καὶ ἐξυπνίσωμεν τὸν ἐν ἡμῖν κοιμώμενον Ἰησοῦν, λέγοντες, «ἐπιστάτα, σῶσον ἡμᾶς, ἀπολλύμεθα», καὶ ἐγερθεὶς ἐπιτιμᾷ τῇ προσβολῇ τοῦ ἀνέμου αὐτῶν καὶ ἡσυχάζει. Ἡμῖν δὲ λέγει, «ἐγώ εἰμι, μὴ φοβεῖσθε». Ἀφήσωμεν τὴν καλαμίνην ράβδον καὶ λάβωμεν τὴν ράβδον τοῦ σταυροῦ, ἐν ᾗ ἐπιστηρίζονται οἱ χωλοί, ἐν ᾗ ἐγείρονται οἱ νεκροί, ἐν ᾗ γίνεται ἡ τοῦ Ἀποστόλου καύχησις, ἐν ᾗ ἐλυτρώθημεν ἀπὸ προδοσίαν, παραστήσαντες ἑαυτοὺς τῷ δι' ἡμᾶς σταυρωθέντι. Αὐτὸς γὰρ ἐν αὐτῇ ποιμαίνει ἡμᾶς τὰ αὐτοῦ πρόβατα, καὶ ἐν αὐτῇ ἀπελαύνει ἀφ' ἡμῶν τοὺς αἱμοβόρους λύκους.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡS'

Ὁμοίως ὁ μέγας Γέρων ἐρωτηθεὶς περὶ αὐτοῦ εἶπεν.

---

91. Ψαλμ. 120(121),7.
92. Ματθ. 10,29–31.

ὅτι μὲ ἕνα λόγο καὶ νεῦμα τοῦ Κυρίου καταποντίσθηκαν μέσα σὲ μιὰ στιγμή. Δὲν θυμᾶσαι πῶς τύφλωσε ἐκείνους ποὺ πῆγαν ἐναντίον τοῦ Ἐλισσαίου; Ποιός τοὺς τύφλωσε; Καὶ γιατί αὐτὸς ποὺ γνωρίζει νὰ σώζει τοὺς εὐσεβεῖς ἀπὸ πειρασμό, ἔκανε ὅλα αὐτὰ καὶ τὰ κάνει; Πῶς ξεχάσαμε τὴ Γραφὴ ποὺ λέγει, «ὁ Κύριος θὰ σὲ φυλάξει ἀπὸ κάθε κακό· θὰ φυλάξει τὴν ψυχή σου ὁ Κύριος»[91]; καὶ πῶς ξεχάσαμε καὶ τὸ «οἱ τρίχες τῆς κεφαλῆς σας εἶναι μετρημένες», καὶ ὅτι «τὸ σπουργίτι δὲν πέφτει στὴν παγίδα χωρὶς τὸν Πατέρα σας»[92]; Δὲ διαφέρει πολὺ περισσότερο ὁ ἄνθρωπος ἀπὸ τὸ σπουργίτι; Πὼ πὼ δειλία, θυγατέρα τῆς ἀπιστίας! ποῦ μᾶς ὁδήγησε! Εἶναι πολὺ φοβερή, τυφλώνει τὸν νοῦ, χαυνώνει τὴν καρδιά, ἀπομακρύνει τοὺς ἀνθρώπους ἀπὸ τὸ φόβο τοῦ Θεοῦ στὴ χώρα τῆς ἀπώλειας.

Ἀδελφέ, ἂς φύγουμε ἀπὸ αὐτὴν καὶ ἂς ξυπνήσουμε τὸν Ἰησοῦ ποὺ κοιμᾶται μέσα μας, λέγοντας, «ἐπιστάτη, σῶσε μας, διότι χανόμαστε»[93], καὶ μόλις ξυπνήσει θὰ ἐπιτιμήσει τὴν προσβολὴ τοῦ ἀνέμου αὐτῶν καὶ θὰ ἡσυχάσεις. Καὶ σὲ ἐμᾶς λέγει, «ἐγὼ εἶμαι, μὴ φοβᾶσθε»[94]. Ἂς ἀφήσουμε τὴν καλαμένια ράβδο καὶ ἂς πάρουμε τὴ ράβδο τοῦ Χριστοῦ, μὲ τὴν ὁποία στηρίζονται οἱ χωλοί, μὲ τὴν ὁποία ἀνασταίνονται οἱ νεκροί, μὲ τὴν ὁποία γίνεται ἡ καύχηση τοῦ Ἀποστόλου, μὲ τὴν ὁποία λυτρωθήκαμε ἀπὸ τὴν προδοσία, ἀφοῦ στήσαμε τοὺς ἑαυτούς μας κοντὰ σ' αὐτὸν ποὺ σταυρώθηκε γιὰ μᾶς. Διότι αὐτὸς μὲ αὐτὴν ποιμαίνει ἐμᾶς τὰ πρόβατά του καὶ μ' αὐτὴν διώχνει μακριά μας τοὺς αἱμοβόρους λύκους.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο

106

Ἐπίσης ὁ ἴδιος Γέροντας, ἀφοῦ ἐρωτήθηκε γι' αὐτό, εἶπε.

---

93. Ματθ. 8,25.
94. Ματθ. 14,27.

Ἀπόκρισις

Ἀδελφὲ κοιμώμενε, ἐρεύνησον τὴν χαύνην σου καρδίαν, ἣν ἐγὼ θαυμάζω φοβουμένην τοὺς δούλους τοὺς ἔξω στήκοντας καὶ μὴ βλέπουσαν τοὺς δεσπότας αὐτῶν τοὺς ἔσω μένοντας. Οἱ αἰσθητοὶ λησταὶ δοῦλοί εἰσι τῶν νοητῶν ληστῶν, τῶν δαιμόνων λέγω, τῶν ἐνεργούντων ἐν αὐτοῖς· χάριν ὀφείλεις ἔχειν τοῖς ἐλθοῦσιν ἐπάνω σου λησταῖς, ὅτι ἐλθόντες ἐξύπνισαν τοὺς δεσπότας αὐτῶν τοὺς ἐν σοὶ κοιμωμένους ληστάς. Ποῦ ἀπῆλθε μακρὰν ὁ Ἰησοῦς, ἵνα ἀπέλθῃς πρὸς αὐτὸν καὶ παρακαλέσῃς αὐτὸν ἐλθεῖν εἰς βοήθειαν; Μὴ οὐκ ἀκούει σου τὸ οὖς τί ψάλλει σου τὸ στόμα; «Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ· θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς». Αὐτῷ κολλήθητι, καὶ τοὺς ἔσω δεσπότας καὶ τοὺς ἔξω δούλους καταργήσει ἀπὸ σοῦ.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΖ'

Ὁ αὐτὸς ἠρώτησε τὸν ἄλλον Γέροντα.

Δύο λογισμοὶ ὤχλησάν με περὶ τῶν ληστῶν. Ὁ εἷς κατακρίνει μὲ λέγων, ὅτι τοῦ κοινοβίου ἐστὶν ἃ ἔχεις, καὶ ἁμαρτία ἐστὶν ἂν ταῦτα ἀφήσῃς αὐτοὺς λαβεῖν, ἀλλ' ὀφείλεις κροῦσαι καὶ κράξαι. Ὁ δὲ ἕτερος λογισμὸς κατακρίνει με λέγων· ὅτι ὁ Κύριος εἶπε· «τῷ θέλοντί σοι λαβεῖν τὸν χιτῶνα, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον». Πῶς οὖν κελεύεις Δέσποτα ποιῆσαί με; Ἐπεὶ ἀμφιβάλλω καὶ συγχώρησόν μοι· ὅτι τοὺς νοητοὺς ληστὰς ἀφεὶς εἰσέρχεσθαι καὶ ἐξέρχεσθαι καὶ συλᾶν τὴν καρδίαν μου, περὶ τῶν αἰσθητῶν ἐρωτῶ.

Εὖξαι οὖν ἵνα προηγουμένως ἐκείνους καταργήσῃ ὁ Κύριος.

---

95. Ψαλμ. 144(145),19–20 καὶ Φιλ. 4,5.

'Απόκριση

Αδελφὲ κοιμώμενε, ἐρεύνησε τὴν ἀποχαυνομένη σου καρδιά, τὴν ὁποία ἐγὼ θαυμάζω, ποὺ φοβᾶται τοὺς δούλους ποὺ στέκονται ἔξω καὶ δὲν βλέπει τοὺς δεσπότες αὐτῶν ποὺ μένουν μέσα. Οἱ αἰσθητοὶ λῃστὲς εἶναι δοῦλοι τῶν νοητῶν λῃστῶν, ἐννοῶ τῶν δαιμόνων ποὺ ἐνεργοῦν μέσα σ' αὐτούς. Πρέπει νὰ χρωστᾶς χάρη στοὺς λῃστὲς ποὺ ἦρθαν καταπάνω σου, ἐπειδὴ ἐρχόμενοι ξύπνησαν τοὺς δεσπότες αὐτῶν ποὺ κοιμοῦνται μέσα σου. Ποῦ μακριὰ πῆγε ὁ Ἰησοῦς, γιὰ νὰ πᾶς σ' αὐτὸν νὰ τὸν παρακαλέσεις νὰ ἔρθει γιὰ βοήθεια; Μήπως τὸ αὐτί σου δὲν ἀκούει τί ψάλλει τὸ στόμα σου; «ὁ Κύριος εἶναι κοντὰ σὲ ὅλους ὅσοι τὸν καλοῦν μὲ εἰλικρίνεια· θὰ κάνει τὸ θέλημα ἐκείνων ποὺ τὸν φοβοῦνται, καὶ θὰ ἀκούσει τὴ δέησή τους καὶ θὰ τοὺς σώσει»[95]. Προσκολλήσου σ' αὐτὸν καὶ θὰ διώξει ἀπὸ σένα καὶ τοὺς ἐσωτερικοὺς δεσπότες καὶ τοὺς ἐξωτερικοὺς δούλους.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

107

Ὁ ἴδιος ἐρώτησε τὸν ἄλλο γέροντα.

Δύο λογισμοὶ μὲ ἐνόχλησαν γιὰ τοὺς λῃστές. Ὁ ἕνας μὲ κατακρίνει λέγοντας, ὅτι αὐτὰ ποὺ ἔχεις εἶναι τοῦ κοινοβίου καὶ εἶναι ἁμαρτία νὰ τοὺς ἀφήσεις νὰ τὰ πάρουν, ἀλλὰ ὀφείλεις νὰ τοὺς ἀποκρούσεις καὶ νὰ φωνάξεις. Ὁ ἄλλος λογισμὸς μὲ κατακρίνει λέγοντας, ὅτι ὁ Κύριος εἶπε· «σ' αὐτὸν ποὺ θέλει νὰ σοῦ πάρει τὸν χιτῶνα, ἄφησέ του καὶ τὸ ἱμάτιο». Τί μὲ συμβουλεύεις λοιπόν, Δέσποτα, νὰ κάνω; Ἐπειδὴ ἔχω ἀμφιβολίες, καὶ συγχώρησέ με· διότι ἀφήνω τοὺς νοητοὺς λῃστὲς νὰ μπαίνουν καὶ νὰ βγαίνουν καὶ νὰ κλέβουν τὴν καρδιά μου, καὶ ἐρωτῶ γιὰ τοὺς αἰσθητούς. Προσευχήσου λοιπόν, ὥστε νὰ ἐξαφανίσει προηγουμένως ἐκείνους ὁ Κύριος.

Ἀπόκρισις

Εἰ οὐκ ἔχεις ἐξουσίαν τινός, μὴ καταφρόνει ὧν λαμβάνεις ἀγάπην ἀπὸ τοῦ κοινοβίου, ἐπεὶ κατάκρισιν ἔχεις· ἄνθρωπος γὰρ ὑπὸ ἐξουσίαν ὢν οὐκ ἔστιν ὑπὸ ἐντολήν. Λοιπὸν ἀταράχως κροῦσον καὶ κράξον λέγων· 'εὐλόγησον ὁ ἐπιὼν καὶ βοήθει', καὶ σκεπάζει σε ὁ Θεός.

Περὶ δὲ τῶν νοητῶν λῃστῶν, ὁ Κύριος καὶ τούτους καὶ ἐκείνους καταργήσει.

Ἀνδρίζου καὶ ἴσχυε καὶ εὔχου ὑπὲρ ἐμοῦ.

ΡΗ'

Ὁ αὐτὸς ἀνέγνω εἰς γεροντικά, ὅτι ὀφείλει, ὁ θέλων ἐν ἀληθείᾳ σωθῆναι, πρῶτον μετὰ τῶν ἀνθρώπων βαστάσαι ὕβρεις, ἀτιμίας, ζημίας, ἐξουδενώσεις, τὰς αἰσθήσεις αὐτοῦ ἐλευθερωθῆναι, καὶ οὕτως ἀνελθεῖν ἐπὶ τὴν τελείαν ἡσυχίαν· ὥσπερ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐποίησε. Ταῦτα γὰρ πάντα βαστάσας, οὕτως ἦλθεν ἐπὶ τὸν ἅγιον σταυρόν, ὅ ἐστι νέκρωσις σαρκὸς καὶ τῶν παθῶν, καὶ κατάπαυσις τελεία, ἁγία. Καὶ εἶπε πρὸς ἑαυτόν· 'ἐγὼ ὁ ἄθλιος ἓν τούτων οὐκ ἐποίησα, ἀλλ' ἀπὸ τῆς ἀσθενείας μου σκανδαλίζων ἅπαντας ἀνεχώρησα ἀπὸ τῶν ἀνθρώπων· τάχα οὖν ὀφείλω πάλιν εἰς τὸ μέσον ἐλθεῖν τῶν ἀνθρώπων; Καὶ βοηθοῦντος τοῦ Θεοῦ ποιῆσαι ὡς εἶπον οἱ Πατέρες καὶ οὕτως εἰσελθεῖν εἰς τὴν ἡσυχίαν, ἵνα μὴ εἰς κενὸν γένηται ὁ κόπος μου'. Καὶ ἀνήγγειλε ταῦτα τῷ Γέροντι τῷ μεγάλῳ.

Ἀπόκρισις

Καλῶς εἶπον οἱ Πατέρες καὶ ἄλλως οὐκ ἔστιν. Ἀλλ' ἐπειδὴ πολλαὶ γίνονται προφάσεις, ἐν αἷς νομίζει ὁ ἄνθρωπος καλῶς ποιεῖν καὶ εὑρίσκεται βλαπτόμενος δι' ἑτέρας προφάσεις, χρὴ ἀσφαλίζεσθαι ἑαυτόν. Ἔφθασας γὰρ κα-

Ἀπόκριση

Ἐὰν δὲν ἔχεις ἐξουσία σὲ κάτι, νὰ μὴ περιφρονεῖς ἐκεῖνα ἀπὸ τὰ ὁποῖα παίρνεις ὡς ἀγάπη ἀπὸ τὸ κοινόβιο, διότι ἀλλιῶς ἔχεις κατάκριση. Ὁ ἄνθρωπος δηλαδὴ ποὺ ἔχει ἐξουσία, δὲν εἶναι κάτω ἀπὸ ἐντολή. Κτύπα λοιπὸν ἀτάραχα καὶ φώναξε δυνατά, λέγοντας· 'εὐλόγησε, σὺ ποὺ σπεύδεις πρὸς βοήθεια, βοήθησέ με'· καὶ ὁ Θεὸς θὰ σὲ προστατεύσει.

Ὅσο γιὰ τοὺς νοητοὺς ληστές, ὁ Κύριος θὰ διώξει καὶ αὐτοὺς καὶ ἐκείνους.

Γίνε ἀνδρεῖος καὶ πάρε δύναμη καὶ προσευχήσου γιὰ μένα.

108

Ὁ ἴδιος διάβασε στὰ γεροντικά, ὅτι, ἐκεῖνος ποὺ θέλει νὰ σωθεῖ πραγματικά, ὀφείλει πρῶτα νὰ ὑποφέρει μαζὶ μὲ τοὺς ἀνθρώπους ὕβρεις, ἀτιμίες, ζημίες, ἐξουθενώσεις, νὰ ἐλευθερώσει τὶς αἰσθήσεις του καὶ νὰ φθάσει ἔτσι στὴν τέλεια ἡσυχία· ὅπως ἀκριβῶς ἔκανε καὶ ὁ Κύριός μας Ἰησοῦς Χριστός. Διότι, ἀφοῦ ὑπέφερε ὅλα αὐτά, ἦλθε τότε στὸν ἅγιο σταυρό, ὁ ὁποῖος εἶναι νέκρωση τῆς σάρκας καὶ τῶν παθῶν καὶ τέλεια καὶ ἅγια ἡσυχία. Καὶ εἶπε στὸν ἑαυτό του· ἐγὼ ὁ ἄθλιος δὲν ἔκανα κανένα ἀπὸ αὐτά, ἀλλὰ ἀναχώρησα ἀπὸ τοὺς ἀνθρώπους, ἀφοῦ τοὺς σκανδάλισα ὅλους γενικὰ μὲ τὴν ἀσθένειά μου. Ἴσως λοιπὸν ὀφείλω νὰ ἔλθω πάλι ἀνάμεσα στοὺς ἀνθρώπους, καὶ μὲ τὴ βοήθεια τοῦ Θεοῦ νὰ κάνω ὅπως εἶπαν οἱ Πατέρες καὶ ἔτσι νὰ φθάσω στὴν ἡσυχία, γιὰ νὰ μὴ εἶναι μάταιος ὁ κόπος μου. Καὶ τὰ εἶπε αὐτὰ στὸν μεγάλο Γέροντα.

Ἀπόκριση

Ὀρθὰ τὸ εἶπαν οἱ Πατέρες καὶ δὲν συμβαίνει αὐτὸ διαφορετικά. Ἀλλὰ ἐπειδὴ δημιουργοῦνται πολλὲς προφάσεις, κατὰ τὶς ὁποῖες ὁ ἄνθρωπος νομίζει ὅτι πράττει σωστὰ καὶ βλάπτεται μὲ ἄλλες προφάσεις, πρέπει νὰ ἐξα-

θίσαι, καὶ ἐὰν ἔλθῃς εἰς τὸ μέσον γεννᾶταί σοι κενοδοξία καὶ τάχα ουδὲ στήκει μετὰ σοῦ οὗτος ὁ λογισμός, ἤγουν τὸ εἶναι ἐν τῷ μέσῳ, καὶ δύο κακὰ γίνεται· ἀλλ᾽ ἐὰν μέμφῃ σεαυτὸν ὡς μὴ ποιήσαντα τὸ ὀφειλόμενον τῇ ἀνόδῳ τοῦ σταυροῦ, λέγων, 'ἐν ἀγνωσίᾳ ἐκάθισα', οἶδεν ἡ μέμψις ὑβρίσαι καὶ ἀτιμάσαι ἑαυτὴν καὶ εἶθ᾽ οὕτως ἐνεγκεῖν τὸν αὐτὴν δεχόμενον εἰς τὸ μέτρον τοῦ σταυροῦ ἐν ἀληθείᾳ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΘ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Εὖξαι ὑπὲρ ἐμοῦ ὅτι πάνυ θλίβομαι.

Ἀπόκρισις

Ο Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς δώῃ ὑμῖν, διὰ τῶν εὐχῶν τῶν ἁγίων αὐτοῦ, τὰ αἰτήματα, ἃ αἰτῶ αὐτὸν ὑμῖν παρασχεῖν. Ἐπειδὴ οὖν ἀκοῦσαι θέλετε καὶ χαρῆναι, ὑμεῖς ἐστε οἱ ἀναγκάζοντές με εἰπεῖν, ἵνα ἐν ἐμοὶ πληρωθῇ τὸ «ἐγενόμην ἄφρων, ἡμεῖς με ἠναγκάσατε». Ἐγὼ καὶ πρὸ τοῦ αἰτήσασθαί με, διὰ τὴν κατακαιομένην ὡς σφοδροτάτου πυρὸς φλόγα ἀγάπην τοῦ Χριστοῦ ἐν ἐμοί, τοῦ εἰπόντος, «ζήτησον τὸν πλησίον σου ὡς σεαυτόν», ἀπὸ τῆς καύσεως καὶ τοῦ ζέειν τῷ πνεύματι, οὐ παύομαι νύκτα καὶ ἡμέραν δεόμενος τοῦ Θεοῦ, ποιῆσαι ὑμᾶς θεοφόρους καὶ οἰκῆσαι ἐν ὑμῖν καὶ ἐμπεριπατῆσαι, καὶ καταπέμψαι τὸ Πνεῦμα τὸ ἅγιον ὑμῖν, τὸ Πνεῦμα τῆς ἀληθείας, ἵνα ὅταν ἔλθῃ διδάξῃ ὑμᾶς τὰ πάντα καὶ ὁδηγήσῃ

σφαλίζει τὸν ἑαυτό του. Διότι ἔφθασες στὸ σημεῖο νὰ καθίσεις, καὶ ἐὰν ἔλθεις στὴ μέση σοῦ γεννιέται κενοδοξία καὶ ἴσως αὐτὸς ὁ λογισμὸς δὲ στέκεται μαζί σου, δηλαδὴ νὰ εἶναι στὴ μέση, καὶ δημιουργοῦνται δύο κακά· ἀλλὰ ἐὰν κατακρίνεις τὸν ἑαυτό σου, ἐπειδὴ δὲν ἔκανες κατὰ τὴν ἄνοδο τοῦ σταυροῦ τὸ ὀφειλόμενο, λέγοντας, 'κάθισα μέσα στὴν ἀγνωσία', ἡ κατηγορία γνωρίζει νὰ ὑβρίσει καὶ νὰ ἀτιμάσει τὸν ἑαυτό της καὶ ἔτσι στὴ συνέχεια νὰ φέρει πραγματικὰ αὐτὸν ποὺ τὴ δέχεται στὸ μέτρο τοῦ σταυροῦ, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

109

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Προσευχήσου γιὰ μένα, διότι θλίβομαι πολύ.

Ἀπόκριση

Ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς νὰ σᾶς δώσει, μὲ τὶς προσευχὲς τῶν ἁγίων του, τὰ αἰτήματα, τὰ ὁποῖα τὸν παρακαλῶ νὰ σᾶς παράσχει. Ἐπειδὴ λοιπὸν θέλετε νὰ ἀκούσετε καὶ νὰ χαρεῖτε, ἐσεῖς εἶσθε αὐτοὶ ποὺ μὲ ἀναγκάζετε νὰ πῶ, γιὰ νὰ πραγματοποιηθεῖ σὲ μένα τὸ «ἔγινα ἄφρονας, ἐσεῖς μὲ ἀναγκάσατε»[96]. Ἐγὼ καὶ πρὶν νὰ μοῦ ζητήσετε, γιὰ τὴν ἀγάπη τοῦ Χριστοῦ, ποὺ καίει σὰν πολλὴ δυνατὴ φλόγα φωτιᾶς μέσα μου, ποὺ εἶπε «ζήτησε γιὰ τὸν πλησίον σου σὰν γιὰ τὸν ἑαυτό σου»[97], ἀπὸ τὴν καύση καὶ τὴ βράση τοῦ πνεύματος δὲν σταματῶ νύχτα καὶ μέρα νὰ παρακαλῶ τὸ Θεό, νὰ σᾶς κάμει θεοφόρους καὶ νὰ κατοικήσει μέσα σας καὶ νὰ περπατήσει ἀνάμεσά σας καὶ νὰ σᾶς στείλει τὸ ἅγιο Πνεῦμα, τὸ Πνεῦμα τῆς ἀληθείας, γιὰ νὰ σᾶς διδάξει, ὅταν ἔλθει, τὰ πάντα καὶ νὰ σᾶς οδη-

96. Β' Κορ. 12,11.
97. Ματθ. 5,43. Μαρκ. 12,31· 33.

ὑμᾶς ἐν ἀληθείᾳ, τοῦ γενέσθαι κληρονόμους τῶν αἰωνίων ἀγαθῶν, «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη». Καὶ ἐγενόμην πρὸς ὑμᾶς ὡς πατὴρ σπουδάζων στρατεῦσαι τὰ τέκνα αὐτοῦ τῷ βασιλεῖ, ἐν στρατείαις λαμπραῖς, αὐτῶν ἀμεριμνούντων.

Δώῃ ὁ Θεὸς ὑμῖν τὴν καῦσιν τῆς ἀγάπης ταύτης. Πληροφορήσει γὰρ ὑμῶν ὁ Κύριος, ὅτι εἰς τὸν ἕβδομον οὐρανὸν ἀναφέρει τοὺς ἀνθρώπους τοὺς ἔχοντας αὐτήν, καθώς τινες ἤδη μετὰ παρρησίας ἀνέρχονται καὶ εὐλογοῦνται «εἴτε ἐν σώματι, οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, ὁ Θεὸς γάρ ἐστιν ὁ εἰδώς». Καὶ ἵνα μάθητε τὴν ἀρχὴν τῆς ὁδοῦ τῆς χαρᾶς ταύτης, ἀκούσατε.

Πρῶτον ἔρχεται τῷ ἀνθρώπῳ τὸ Πνεῦμα τὸ ἅγιον, διδάσκον αὐτὸν τὰ πάντα, καὶ πῶς δεῖ ταπεινοφρονεῖν, ἃ οὐ δύνασθε ἄρτι ἀκοῦσαι. Εἶτα ὁδηγούμενος τῇ πρώτῃ καύσει ἐκείνῃ, ἀνέρχεται εἰς τὸν οὐρανὸν τὸν πρῶτον, καὶ μετὰ ταῦτα εἰς τὸν δεύτερον, καὶ κατὰ πρόσβασιν ἕως τοῦ ἑβδόμου, κἀκεῖ ἐστι θεωρῆσαι ἄρρητα πράγματα καὶ φοβερά, ἃ οὐδεὶς δύναται ἀκοῦσαι, εἰ μὴ οἱ ἐρχόμενοι εἰς τὸ μέτρον τοῦτο, οὗ ὁ Κύριος καταξιώσοι ὑμᾶς. Οἱ ἀποθνήσκοντες τελείως τῷ κόσμῳ δι' ὑπομονῆς καὶ θλίψεων πολλῶν, δύνανται εἰς τοῦτο ἐλθεῖν.

Ὦ ἀδελφὲ ἀγαπητέ, ὁ Κύριος σταυρὸν ὑπέμεινε καὶ σὺ οὐ χαίρεις ἐν ταῖς θλίψεσιν, ὧν ἡ ὑπομονὴ εἰς τὴν βασιλείαν ἄγει τῶν οὐρανῶν; Καλῶς δὲ εἶπας 'ὅτι θλίβη', οὐκ οἶδας ὅτι, ὅταν τις αἰτῇ τοὺς Πατέρας εὔξασθαι ὑπὲρ αὐτοῦ ἢ τὸν Θεὸν δοῦναι βοήθειαν αὐτῷ, τότε πληθύνονται αὐτῷ αἱ θλίψεις καὶ οἱ πειρασμοὶ πρὸς τὴν αὐτοῦ δοκιμήν; Μὴ οὖν ζητήσῃς σωματικὴν ἀνάπαυσιν, ἐὰν μὴ δώῃ σοι αὐτὴν ὁ Κύριος· βδελυκτὴ γὰρ ἐνώπιον Κυρίου ἀνάπαυσις σαρκός. Καὶ ὁ Κύριος εἶπεν· ἐν τῷ κόσμῳ

γήσει στὴν ἀλήθεια, ὥστε νὰ γίνετε κληρονόμοι τῶν αἰωνίων ἀγαθῶν, «τὰ ὁποῖα μάτι δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε καὶ σὲ καρδιὰ ἀνθρώπου δὲν ἀνέβηκαν». Καὶ ἔγινα γιὰ σᾶς πατέρας ποὺ φροντίζει νὰ στρατολογήσει τὰ παιδιά του γιὰ τὸν βασιλιά, σὲ λαμπρὲς ἐκστρατεῖες, ἐνῶ αὐτὰ ἀμεριμνοῦν.

Εἴθε ὁ Θεὸς νὰ σᾶς δώσει τὴ θέρμη αὐτῆς τῆς ἀγάπης. Διότι ὁ Κύριος θὰ σᾶς πληροφορήσει ὅτι ἀνεβάζει στὸν ἕβδομο οὐρανὸ τοὺς ἀνθρώπους ποὺ τὴν ἔχουν, ὅπως μερικοὶ ἤδη ἀνέρχονται μὲ παρρησία καὶ εὐλογοῦνται «εἴτε μέσα στὸ σῶμα, δὲν ξέρω, εἴτε ἔξω ἀπὸ τὸ σῶμα, δὲν ξέρω, διότι ὁ Θεὸς εἶναι αὐτὸς ποὺ γνωρίζει». Καὶ γιὰ νὰ μάθετε τὴν ἀρχὴ τῆς ὁδοῦ αὐτῆς τῆς χαρᾶς, ἀκοῦστε.

Πρῶτα ἔρχεται στὸν ἄνθρωπο τὸ ἅγιο Πνεῦμα ποὺ τὸν διδάσκει τὰ πάντα καὶ πῶς πρέπει νὰ ταπεινοφρονεῖ, πράγματα ποὺ δὲν μπορεῖτε νὰ τὰ ἀκούσετε τώρα. Ἔπειτα, ὁδηγούμενος ἀπὸ τὴν πρώτη ἐκείνη θέρμη, ἀνέρχεται στὸν πρῶτο οὐρανὸ καὶ μετὰ ἀπὸ αὐτὸ στὸν δεύτερο καὶ προοδευτικὰ μέχρι τὸν ἕβδομο, καὶ ἐκεῖ μπορεῖ νὰ δεῖ ἄρρητα καὶ φοβερὰ πράγματα, τὰ ὁποῖα κανένας δὲ μπορεῖ νὰ ἀκούσει, παρὰ μόνο ἐκεῖνοι ποὺ φθάνουν σ' αὐτὸ τὸ μέτρο, στὸ ὁποῖο εἴθε ὁ Κύριος νὰ σᾶς καταξιώσει νὰ φθάσετε. Αὐτοὶ ποὺ πεθαίνουν ἐντελῶς ὡς πρὸς τὸν κόσμο μὲ ὑπομονὴ καὶ πολλὲς θλίψεις, μποροῦν νὰ φθάσουν σ' αὐτό.

Ἀγαπητὲ ἀδελφέ, ὁ Κύριος ὑπέφερε τὸ σταυρὸ καὶ ἐσὺ δὲ χαίρεσαι μέσα στὶς θλίψεις, ἀπὸ τὶς ὁποῖες ἡ ὑπομονὴ ὁδηγεῖ στὴ βασιλεία τῶν οὐρανῶν; Σωστὰ εἶπες, ὅτι στενοχωριέσαι· δὲν γνωρίζεις ὅτι, ὅταν κάποιος ζητεῖ ἀπὸ τοὺς Πατέρες νὰ προσευχηθοῦν γι' αὐτὸν ἢ ἀπὸ τὸ Θεὸ νὰ τοῦ δώσει τὴ βοήθειά του, τότε αὐξάνονται οἱ θλίψεις του καὶ οἱ πειρασμοὶ γιὰ τὴ δοκιμασία του; Μὴ ζητήσεις λοιπὸν σωματικὴ ἀνάπαυση, ἐὰν ὁ Κύριος δὲν σοῦ τὴ δώσει· διότι ἡ ἀνάπαυση τῆς σάρκας εἶναι βδελυρὴ ἐνώπιον τοῦ Κυρίου. Καὶ ὁ Κύριος εἶπε· «στὸν κόσμο

θλῖψιν ἕξετε. Ὁ Κύριος βοηθήσοι σοι κατὰ πάντα.

Εὖξαι ὑπὲρ ἐμοῦ.

ΡΙ΄

Ὁ αὐτὸς ὑποπτεύσας τὸν θάνατον τοῦ αὐτοῦ μεγάλου Γέροντος ἐγγὺς εἶναι καὶ λυπηθεὶς ἕνεκεν τῆς ἰδίας σωτηρίας καὶ παντὸς τοῦ κοινοβίου, ἐγνώρισε τοῦτο τῷ αὐτῷ μεγάλῳ Γέροντι, ὃς καὶ δηλοῖ αὐτῷ ταῦτα.

Ἀπόκρισις

Ἀδελφὲ ποθεινότατε, κινηθεὶς κατὰ θείαν ἀγάπην, ἐλάλησας ῥήματα ταπεινώσεως, ἑλκύοντα εἰς συμπάθειαν καὶ τοὺς ἀνελεήμονας ἀνθρώπους πρὸς ἄνθρωπον ἁμαρτωλὸν καὶ ἐλάχιστον· καὶ τί ἔχω σοι εἰπεῖν, ἄνθρωπος μὴ ἔχων συμπάθειαν μηδὲ εὐσπλαγχνίαν; Συνέχομαι ἐκ τῶν λόγων σου καὶ τί δώσω σοι οὐκ ἔχω· εἰ εἶχον τίποτε, εἶχόν σε εἰπεῖν· ‘Οὐκ ἀφῶ ὑμᾶς τέως εἰς ταῦτα τὰ ἔτη, οὐδὲ εἰς τὸν καιρὸν τοῦτον ὀρφανούς. Ἀλλ᾽ ἰδοὺ μενῶ μεθ᾽ ὑμῶν προστάξει Θεοῦ, τοῦ πρὸς τὸ συμφέρον ποιοῦντος τὰ πάντα πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν τῶν δούλων αὐτοῦ· οὐ δι᾽ ἐμέ, ἀλλὰ δι᾽ ὑμᾶς τοὺς ταῦτα αἰτήσαντας, ἵνα καρποφορήσητε τῷ Θεῷ δι᾽ ἐμοῦ, προσφερόμενοι τὴν ὑμῶν σωτηρίαν. Κἀγὼ εἴπω· «ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκας», φύλαξον αὐτὰ ἐν τῷ ὀνόματί σου· σκέπασον αὐτοὺς τῇ δεξιᾷ σου. Ὁδήγησον ἡμᾶς ἐπὶ λιμένα θελήματός σου καὶ γράψον τὰ ὀνόματα αὐτῶν ἐν τῇ σῇ βίβλῳ· δὸς αὐτοῖς τὸν ἀρραβῶνα τῆς ζωῆς, χαροποιῶν αὐτοὺς καὶ λέγων· μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον· εὐδόκησε γὰρ ὁ Πατὴρ ὑμῶν δοῦναι

θὰ ἔχετε θλίψη»[98]. Ὁ Κύριος νὰ σὲ βοηθήσει σὲ ὅλα.

Προσευχήσου γιὰ μένα.

110

Ὁ ἴδιος, ἐπειδὴ ὑποπτεύθηκε ὅτι ὁ θάνατος τοῦ ἰδίου μεγάλου Γέροντα πλησιάζει καὶ λυπήθηκε γιὰ τὴ δική του σωτηρία καὶ γιὰ ὅλο τὸ κοινόβιο, γνώρισε τοῦτο στὸν μεγάλο Γέροντα, ὁ ὁποῖος καὶ τοῦ δηλώνει αὐτά.

Ἀπόκριση

Πολυπόθητε ἀδελφέ, κινούμενος ἀπὸ θεία ἀγάπη, εἶπες λόγια ταπεινώσεως, ποὺ ἑλκύουν καὶ τοὺς ἄσπλαχνους ἀνθρώπους νὰ συμπαθήσουν τὸν ἁμαρτωλὸ καὶ ἐλάχιστο ἄνθρωπο· καὶ τί μπορῶ νὰ σοῦ πῶ ἐγώ, ἄνθρωπος ποὺ δὲν ἔχει συμπάθεια οὔτε εὐσπλαχνία; Στενοχωριέμαι ἀπὸ τὰ λόγια σου καὶ δὲν ἔχω τί νὰ σοῦ δώσω· ἐὰν εἶχα κάτι, θὰ μποροῦσα νὰ σοῦ πῶ. Δὲ θὰ σᾶς ἀφήσω τότε ὀρφανοὺς οὔτε αὐτὸν τὸν καιρό. Ἀλλὰ νά, θὰ μείνω μαζί σας μὲ τὴν προσταγὴ τοῦ Θεοῦ ποὺ κάνει τὰ πάντα γιὰ τὸ συμφέρον καὶ γιὰ τὴ σωτηρία τῶν ψυχῶν ἡμῶν, τῶν δούλων του· ὄχι γιὰ μένα, ἀλλὰ γιὰ σᾶς ποὺ ζητήσατε αὐτά, γιὰ νὰ καρποφορήσετε δι' ἐμοῦ στὸ Θεό, προσφερόμενοι τὴ σωτηρία σας. Καὶ ἐγὼ θὰ πῶ· «νὰ ἐγὼ καὶ τὰ παιδιὰ ποὺ μοῦ ἔδωσες»[99], φύλαξέ τα στὸ ὄνομά σου· προστάτεψέ τα μὲ τὸ δεξί σου χέρι. Ὁδήγησέ μας στὸ λιμάνι τοῦ θελήματός σου καὶ γράψε τὰ ὀνόματά τους στὴ βίβλο σου· 'δῶσε τους τὴν ὑπόσχεση τῆς ζωῆς, χαροποιώντας τους καὶ λέγοντας· μὴ φοβᾶσαι τὸ μικρὸ ποίμνιο[1]· διότι ὁ Πατέρας μας εὐδόκησε νὰ μᾶς δώσει τὴ βασιλεία· καὶ νὰ εὔχεσαι καὶ νὰ πεῖς νὰ μοῦ τὴ

---

98. Ἰω. 16,33.
99. Ἠσ. 8,18.
1. Λουκᾶ 12,32.

ὑμῖν τὴν βασιλείαν'· καὶ εὖξαι ἵνα δώῃ μοι εἰπεῖν· 'Πάτερ, δός μοι, ἵνα ὅπου εἰμὶ ἐγώ, ὦσι καὶ τὰ ἐμὰ τέκνα'.

Πείσθητί μοι, ἀδελφέ, ὅτι τὸ πνεῦμα πρόθυμόν ἐστιν εἰπεῖν τῷ ἐμῷ Δεσπότῃ, χαίροντι ἐπὶ τῇ αἰτήσει τῶν δούλων αὐτοῦ· 'Δέσποτα, ἢ συνεισένεγκέ μοι τὰ τέκνα μου εἰς τὴν βασιλείαν σου ἢ κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου σου'. Ἡ δὲ ἀσθένειά μου καὶ ἡ ἀμέλεια κωλύει με ἔχειν τοιαύτην παρρησίαν· ἀλλ' ὅμως τὸ ἔλεος αὐτοῦ μέγα ἐστίν. Ἔχοντες οὖν τοιοῦτον δεσπότην παρακληθῶμεν, πιστεύοντες ὅτι πάντως ποιεῖ τὸ ἔλεος αὐτοῦ μεθ' ἡμῶν· οὐκ ἔχει ὁ Θεὸς παριδεῖν τὸν κόπον τῆς ἀσκήσεως τῶν Πατέρων ἡμῶν τῶν κοιμηθέντων καὶ τῶν νῦν ζώντων, ἀλλ' εἴπῃ· 'φείσομαι τοῦ τόπου τούτου δι' ἐμὲ καὶ τοὺς δουλεύοντάς μοι γνησίως ἐν αὐτῷ'. Ἐγὼ γὰρ πιστεύω ἀδιστάκτως, ὅτι εἰσί τινες ἐν τῷ τόπῳ τούτῳ δυνάμενοι δυσωπῆσαι τὸν Θεὸν ὑπὲρ μυριάδων ἀνθρώπων καὶ οὐκ ἀθετοῦνται· θέλημα γὰρ αὐτῶν ποιήσει Κύριος καὶ αἰτῆσαι ἔχουσιν, ἵνα οἱ ὀφθαλμοὶ Κυρίου ὦσιν ἐπὶ τὸν τόπον τοῦτον. Αἱ γὰρ προσευχαὶ αὐτῶν ἀνέρχονται πρὸς αὐτόν, ὡς ἀστραπαὶ ἀστράπτουσαι καὶ ὡς ἀκτῖνες ἡλίου, ἐν αἷς εὐφραίνεται ὁ Πατὴρ καὶ χαίρει ὁ Υἱὸς καὶ ἀγάλλεται τὸ Πνεῦμα τὸ ἅγιον.

Ἑαυτοῖς οὖν προσέχωμεν μόνον, ἀδελφέ, τῷ Θεῷ γὰρ μέλλει περὶ τοῦ τόπου τούτου· κατάπαυσις γὰρ ἐγένετο τῶν δούλων αὐτοῦ καὶ ἐν αὐτοῖς πληροῦται τό, «φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων». Λοιπὸν τῆς δεξιᾶς Κυρίου ἐστὶ τὸ ποιῆσαι δύναμιν· τὸ δοῦναι ἡμῖν ἰσχύν, τὸ χαρίσασθαι ἡμῖν ἐξακολουθῆσαι τοῖς ἴχνεσι τῶν Πατέρων ἡμῶν, τῇ διδασκαλίᾳ,

δώσει'. Πατέρα, δός μου, ὥστε, ὅπου εἶμαι ἐγώ, νὰ εἶναι καὶ τὰ τέκνα μου.

Πίστεψέ με, ἀδελφέ, ὅτι τὸ πνεῦμα εἶναι πρόθυμο νὰ πεῖ στὸ Δεσπότη μου ποὺ χαίρεται ἀπὸ τὴν παράκληση τῶν δούλων του, 'Δέσποτα, ἢ ὁδήγησε μαζὶ μὲ μένα τὰ τέκνα μου στὴ βασιλεία σου, ἢ σβῆσε καὶ μένα ἀπὸ τὴ βίβλο σου', ἡ ἀσθένειά μου ὅμως καὶ ἡ ἀμέλεια μὲ ἐμποδίζει νὰ ἔχω τέτοια παρρησία· ἀλλ' ὅμως τὸ ἔλεός του εἶναι μεγάλο. Ἔχοντας λοιπὸν τέτοιο Δεσπότη, ἂς παρηγορηθοῦμε, πιστεύοντας ὅτι ὁπωσδήποτε πραγματοποιεῖ τὸ ἔλεός του σὲ μᾶς. Ὁ Θεὸς δὲν μπορεῖ νὰ παραβλέψει τὸν κόπο τῆς ἀσκήσεως τῶν Πατέρων μας, ἐκείνων ποὺ πέθαναν καὶ αὐτῶν ποὺ ζοῦν τώρα, ἀλλὰ θὰ πεῖ, 'θὰ λυπηθῶ αὐτὸν τὸν τόπο γιὰ μένα καὶ γι' αὐτοὺς ποὺ δουλεύουν γνήσια γιὰ μένα μέσα σ' αὐτόν'. Διότι ἐγὼ πιστεύω ἀδίστακτα, ὅτι ὑπάρχουν μερικοὶ μέσα σ' αὐτὸν τὸν τόπο ποὺ μποροῦν νὰ ἱκετεύσουν τὸ Θεὸ γιὰ χιλιάδες ἀνθρώπους, χωρὶς ν' ἀγνοηθοῦν· διότι ὁ Κύριος θὰ κάνει τὸ θέλημά τους, καὶ μποροῦν νὰ ζητήσουν νὰ εἶναι τὰ μάτια τοῦ Κυρίου πάνω σ' αὐτὸν τὸν τόπο. Διότι οἱ προσευχές τους ἀνεβαίνουν πρὸς αὐτὸν σὰν ἀστραπὲς ποὺ ἀστράφτουν καὶ σὰν ἀκτίνες τοῦ ἥλιου, μὲ τὶς ὁποῖες εὐφραίνεται ὁ Πατέρας καὶ χαίρεται ὁ Υἱὸς καὶ ἀγάλλεται τὸ Πνεῦμα τὸ ἅγιο.

Λοιπόν, ἀδελφέ, νὰ προσέχουμε μόνο τοὺς ἑαυτούς μας, διότι ὁ Θεὸς ἐνδιαφέρεται γι' αὐτὸν τὸν τόπο, καθόσον ἔγινε ἀνάπαυση τῶν δούλων του καὶ σ' αὐτοὺς ἐκπληρώνεται τὸ λόγιο, «φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας στὶς σκηνὲς τῶν δικαίων»[1α]. Λοιπὸν τὸ νὰ δώσει δύναμη ἀνήκει στὴ δεξιὰ τοῦ Κυρίου, ὥστε νὰ μᾶς δώσει ἰσχύ, νὰ μᾶς χαρίσει νὰ ἀκολουθήσουμε τὰ ἴχνη τῶν Πατέρων μας, τὴ διδασκαλία, τὴν ἀγωγή, τὴ μακροθυμία, τὴν ἀγάπη, τὴν ὑπομονή, τοὺς διωγμούς, τὰ παθήματα, ὅσα ἔγιναν σ' αὐτοὺς αἰσθητὰ καὶ νοητὰ ἀπὸ τοὺς ἐχθρούς. Διότι, ἐὰν δὲν ἀποκτήσουμε κάτι ἀπὸ τὴ ζωή τους, πῶς θὰ γίνουμε τέ-

1α. Ψαλμ. 117(118),15.

τῇ ἀγωγῇ, τῇ μακροθυμίᾳ, τοῖς παθήμασιν, ὅσα ἐγένετο αὐτοῖς ὑπὸ τοῦ ἐχθροῦ καὶ αἰσθητῶς καὶ νοητῶς. Ἐὰν γὰρ μὴ κτησώμεθά τι τοῦ βίου αὐτῶν, πῶς ἐσόμεθα τέκνα αὐτῶν, τοῦ Κυρίου λέγοντος, «εἰ τέκνα Ἀβραὰμ ἦτε, τὰ ἔργα Ἀβραὰμ ἐποιῆτε ἄν»; Ἐὰν μὴ συμπάσχωμεν αὐτοῖς κατὰ τὴν δύναμιν τῆς ἀσθενείας ἡμῶν, πῶς συνδοξασθῶμεν αὐτοῖς ἐν τῇ ὥρᾳ ἐκείνῃ; Ἐὰν μὴ συναποθάνωμεν αὐτοῖς κόπτοντες τὸ θέλημα, πῶς συνεγερθῶμεν αὐτοῖς, προσδοκῶντες ἀκοῦσαι τό, «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν» καὶ τὰ λοιπά;

Ἀδελφέ, εἰ τὰ αἰτήματα ἡμῶν ἔδωκεν ἡμῖν ὁ Θεός, ἵνα ἔχωμεν τοὺς Πατέρας ἡμῶν ὁδηγοῦντας ἡμᾶς, πρόσχωμεν, μὴ ἡ ὀκνηρία ἡμῶν ἢ ἡ χαυνότης ἢ ἡ ρᾳθυμία ἢ ἡ ἀπιστία ἡμῶν χωρίσῃ ἡμᾶς ἀπ' αὐτῶν. Φησὶ γάρ, «εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω. Μνημονεύσωμεν τοῦ εἰπόντος, ὅτι «ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται»· εὐξώμεθα τῷ Θεῷ ἀδιαλείπτως, τοῦ μὴ χωρισθῆναι ἑνὸς τῶν ἁγίων Πατέρων ἡμῶν, μήτε ἐν τῷ αἰῶνι τούτῳ μήτε ἐν τῷ μέλλοντι. Μὴ ἀφήσωμεν τὸ φῶς καὶ ζητήσωμεν τὸ σκότος· μὴ ἐάσωμεν τὴν γλυκύτητα τοῦ μέλιτος καὶ λάβωμεν τὴν πικρότητα τοῦ ὄφεως· μὴ φθονήσωμεν ἡμῖν αὐτοῖς καὶ ἀγαπήσωμεν τὸν θάνατον· μὴ ἀντὶ εὐλογιῶν δεξώμεθα τὰς κατάρας· μὴ παροργίσωμεν τὸν Χριστὸν θεραπεύοντες τὸν ἐχθρόν· νήψωμεν, γρηγορήσωμεν, ὀξυποδήσωμεν, ἕτοιμοι γενώμεθα, ἐξυπνήσωμεν ἐκ τοῦ βαθυτάτου ὕπνου.

Νοήσωμεν τί ἡμῖν ἐχαρίσατο ὁ Θεός, οὐ τὸ εἶναι ἡμᾶς ὑπὸ τοὺς πόδας τῶν ἁγίων, ἀλλὰ καὶ τέκνα καὶ συγκληρονόμους. Μακαρία ἡ ψυχὴ ἡ γευσαμένη τούτων· μακαρία ἡ ψυχὴ ἡ τρωθεῖσα εἰς τὴν τοιαύτην ἀγάπην· μακαρία ἡ ψυχὴ ἡ κολληθεῖσα τούτοις· μακαρία ἡ ψυχὴ ἡ τελειωθεῖσα ἐν τούτοις· ἐκδέχεται γὰρ αὐτὴν ἡ χαρὰ καὶ ἡ ἀγαλλίασις καὶ ἡ μισθαποδοσία ἐν τῇ

---

2. Ἰω. 8,39.
3. Ματθ. 25,34.

κνα τους, τὴ στιγμὴ ποὺ ὁ Κύριος λέγει, «ἐὰν ἤσασταν παιδιὰ τοῦ Ἀβραὰμ θὰ κάνατε τὰ ἔργα τοῦ Ἀβραάμ»[2]; Ἐὰν δὲν συμπάσχουμε μ' αὐτοὺς σύμφωνα μὲ τὴ δύναμη τῆς ἀδυναμίας μας, πῶς θὰ δοξασθοῦμε μαζί τους ἐκείνη τὴν ὥρα; Ἐὰν δὲν πεθάνουμε μαζί τους κόβοντας τὸ θέλημά μας, πῶς θὰ ἀναστηθοῦμε μαζί τους, περιμένοντας νὰ ἀκούσουμε τὸ «ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατέρα μου, κληρονομῆστε τὴν ἑτοιμασμένη γιὰ σᾶς βασιλεία»[3], καὶ τὰ λοιπά;

Ἀδελφέ, ἐὰν ὁ Θεὸς μᾶς ἔδωσε τὰ αἰτήματά μας γιὰ νὰ ἔχουμε τοὺς Πατέρες μας νὰ μᾶς ὁδηγοῦν, ἂς προσέξουμε, μήπως ἡ ὀκνηρία μας ἢ ἡ χαυνότητα ἢ ἡ ραθυμία ἢ ἡ ἀπιστία μας, μᾶς χωρίσει ἀπ' αὐτούς. Διότι λέγει, «ἐὰν ὁ ἄπιστος χωρίζεται, ἂς χωρισθεῖ»[4]. Ἂς θυμηθοῦμε ἐκεῖνον ποὺ εἶπε ὅτι, «ἐκεῖνος ποὺ θὰ ὑποφέρει μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[5]. Ἂς προσευχηθοῦμε ἀδιάλειπτα στὸ Θεό, ὥστε νὰ μὴ χωρισθοῦμε ἀπὸ κανέναν ἀπὸ τοὺς ἁγίους Πατέρες μας οὔτε σ' αὐτὸν τὸν αἰώνα, οὔτε στὸν μέλλοντα. Ἂς μὴ ἀφήσουμε τὸ φῶς καὶ νὰ ζητήσουμε τὸ σκοτάδι· ἂς μὴ ἀφήσουμε τὴ γλυκύτητα τοῦ μελιοῦ καὶ νὰ λάβουμε τὴν πικρότητα τοῦ φιδιοῦ· ἂς μὴ φθονήσουμε τοὺς ἑαυτούς μας καὶ ν' ἀγαπήσουμε τὸν θάνατο· ἂς μὴ δεχθοῦμε ἀντὶ γιὰ εὐλογίες, τὶς κατάρες· ἂς μὴ ὀργίσουμε τὸν Χριστό, προσκυνώντας τὸν ἐχθρό· ἂς καταστοῦμε ἄγρυπνοι, ἂς βιασθοῦμε, ἂς τρέξουμε, ἂς γίνουμε ἕτοιμοι, ἂς ξυπνήσουμε ἀπὸ τὸν βαθύτατο ὕπνο.

Ἂς σκεφθοῦμε τί μᾶς χάρισε ὁ Θεός, ὄχι τὸ νὰ εἴμαστε κάτω ἀπὸ τὰ πόδια τῶν ἁγίων, ἀλλὰ νὰ εἴμαστε καὶ τέκνα καὶ συγκληρονόμοι. Μακάρια ἡ ψυχὴ ποὺ γεύθηκε αὐτὰ τὰ πράγματα· μακάρια ἡ ψυχὴ ποὺ πληγώθηκε σ' αὐτὴν τὴν ἀγάπη· μακάρια ἡ ψυχὴ ποὺ προσκολλήθηκε σ' αὐτά· μακάρια ἡ ψυχὴ ποὺ τελείωσε μέσα σ' αὐτά· διότι τὴν ἀκολουθεῖ ἡ χαρὰ καὶ ἡ ἀγαλ-

---

4. Α' Κορ. 7,14.
5. Ματθ. 10,22.

βασιλείᾳ τῶν οὐρανῶν, εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Ἀμήν.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ.

ΡΙΑ'

***Αἴτησις** εὐχῆς τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα, ἵνα χαρίσηται αὐτῷ ὁ Θεὸς προκοπήν.*

Ἀπόκρισις

Ἀδελφέ, παρακάλεσον τὴν ἀγαθότητα τοῦ «πάντας ἀνθρώπους θέλοντος σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν», τοῦ δοῦναί σοι γρήγορσιν πνευματικήν, τὴν ἀνάπτουσαν τὸ πνευματικὸν πῦρ, ὃ ὁ Κύριος ἦλθε βαλεῖν ἐπὶ τὴν γῆν, ὁ Δεσπότης οὐρανοῦ καὶ γῆς. Καὶ συμπαρακαλῶ κἀγὼ κατὰ τὴν δύναμίν μου, ἵνα χαρίσηται αὐτὴν ὁ Θεός, ὁ παρέχων πᾶσι τοῖς πόνῳ καὶ πόθῳ αἰτοῦσιν χάριν. Καὶ ἐλθοῦσα ὁδηγήσοι σε ἐν τῇ ἀληθείᾳ· φωτίζει γὰρ ὀφθαλμούς· ἀνορθοῖ τὸν νοῦν· ἐξορίζει τὸν ὕπνον τῆς χαυνότητος καὶ τῆς ἀμελείας· στιλβοῖ τὰ ἰωθέντα ἐν τῷ χώματι τῆς ῥᾳθυμίας ὅπλα· λαμπρύνει τὰ ῥυπωθέντα ἱμάτια ἐν τῇ αἰχμαλωσίᾳ τῶν βαρβάρων καὶ ποιεῖ τοῦ μισῆσαι τὰ βδελύγματα τῶν θνησιμαίων αὐτῶν, καὶ ποθῆσαι τοῦ ἐμφορηθῆναι τῆς πνευματικῆς θυσίας τῆς τυθείσης διὰ τοῦ μεγάλου ἡμῶν Ἀρχιερέως, περὶ ἧς ἤκουσεν ὁ προφήτης, ὅτι καθαίρει ἁμαρτίας καὶ ἀφαιρεῖ ἀνομίας. Τοῖς πενθοῦσι χαρίζεται, τοῖς ταπεινοῖς δωρεῖται· ἐν τοῖς ἀξίοις ἀποτίθεται καὶ ζωὴν αἰώνιον δι' αὐτῆς κληρονομοῦσιν. Ἐν ὀνόματι Πατρός, Υἱοῦ καὶ ἁγίου Πνεύματος. Ἀμήν.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ.

ΡΙΒ'

Ὁ αὐτὸς ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα εὔξασθαι ὑπὲρ αὐ-

λίαση καὶ ἡ ἀνταμοιβὴ στὴ βασιλεία τῶν οὐρανῶν, πρὸς δόξα τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Γένοιτο.

Προσευχήσου, ἀδελφέ, γιὰ μένα.

111

Αἴτηση προσευχῆς τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα, γιὰ νὰ τοῦ χαρίσει ὁ Θεὸς προκοπή.

Ἀπόκριση

Ἀδελφέ, παρακάλεσε τὴν ἀγαθότητα αὐτοῦ ποὺ θέλει νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ γνωρίσουν τὴν ἀλήθεια, νὰ σοῦ δώσει πνευματικὴ ἐγρήγορση, ποὺ ἀνάβει τὴν πνευματικὴ φωτιά, τὴν ὁποία ὁ Κύριος, ὁ Δεσπότης τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἦλθε νὰ βάλει πάνω στὴ γῆ. Παρακαλῶ κι ἐγὼ μαζί σου, σύμφωνα μὲ τὴ δύναμή μου, νὰ σοῦ χαρίσει ὁ Θεὸς αὐτήν, αὐτὸς ποὺ δίδει χάρη σὲ ὅλους ποὺ ζητοῦν μὲ πόνο καὶ πόθο. Καὶ ἀφοῦ ἔλθει θὰ σὲ ὁδηγήσει στὴν ἀλήθεια· διότι φωτίζει τὰ μάτια, ξυπνᾶ τὸν νοῦ, ἐξορίζει τὸν ὕπνο τῆς χαυνότητας καὶ τῆς ἀμέλειας, γυαλίζει τὰ σκουριασμένα μέσα στὸ χῶμα τῆς ραθυμίας ὅπλα, λαμπρύνει τὰ ἐνδύματα ποὺ λερώθηκαν στὴν αἰχμαλωσία τῶν βαρβάρων, καὶ κάνει νὰ μισήσουν τὰ βδελυρὰ πράγματα αὐτῶν τῶν θνησιμαίων καὶ νὰ ποθήσουν τὴν ἀπόλαυση τῆς πνευματικῆς θυσίας ποὺ ἔγινε μὲ τὸν μεγάλο μας Ἀρχιερέα, γιὰ τὴν ὁποία ὁ προφήτης ἄκουσε ὅτι καθαρίζει ἁμαρτίες καὶ ἀφαιρεῖ ἀνομίες. Χαρίζεται σ' ἐκείνους ποὺ πενθοῦν, δωρίζεται στοὺς ταπεινούς· φυλάσσεται μέσα στοὺς ἄξιους καὶ κληρονομοῦν μ' αὐτὴν ζωὴ αἰώνια, στὸ ὄνομα τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Γένοιτο.

Προσευχήσου γιὰ μένα, ἀδελφέ.

112

Ὁ ἴδιος παρακάλεσε τὸν ἴδιο μεγάλο Γέροντα νὰ προσευχηθεῖ.

τοῦ, ὅπως καταξιωθῇ τῇ νεκρώσει τοῦ Ἰησοῦ ἑαυτὸν κατορθῶσαι.

Ἀπόκρισις

Πᾶν αἴτημα ἀγαθόν, χαίρων αἰτῶ τὸν Θεὸν παρασχεῖν ὑμῖν· καὶ πιστεύω ὅτι παρέχει, οὐ ψεύδεται ὁ λέγων, «αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν». Ὁ Θεὸς οὖν παράσχοι τὰ αἰτήματα ὑμῶν. Ἀμήν. Ὅμως μὴ ἀμεριμνήσῃς εἰς τὸ καὶ αὐτὸς κοπιάσαι μικρόν· καὶ γὰρ οἱ θέλοντες ἀρχὰς παρὰ τοῦ βασιλέως, κἂν ἔχωσι πολλοὺς προϊσταμένους, ὑπομένουσι καὶ αὐτοὶ θλίψεις καὶ κινδύνους καὶ πόνους ἕως ἂν ἐπιτύχωσιν. Οὕτως οὖν καὶ αὐτὸς συνεισένεγκε μικρὸν πόνον, ἵνα εὕρῃς τὸ μέγα ἔλεος· «πολλὰ γὰρ ἰσχύει δέησις τοῦ δικαίου ἐνεργουμένη». Εἰπὲ τῷ ἀδελφῷ τῷ μετὰ σοῦ, τῷ ἀγαπητῷ ἐν Κυρίῳ τῷ ἀεί σε παιδεύοντι κᾀκεῖ σοι παρέχοντι ἔλεος μέγα· μὴ ῥᾳθυμήσῃ παιδεύων· «ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει».

Ἀσπάζομαι πάντας ὑμᾶς ἐν Κυρίῳ, καὶ παρακαλῶ εὔξασθε ὑπὲρ ἐμοῦ διὰ τὴν ἀγάπην.

ΡΙΓ'

Ὁ αὐτὸς παρεκάλεσε τὸν μέγαν Γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ τοῦ ἐξελθεῖν ἀπὸ τοῦ παλαιοῦ ἀνθρώπου.

Ἀπόκρισις

Ακουσον, ἀδελφὲ ἀγαπητέ, καὶ δὸς τὴν καρδίαν σου φυλάξαι τὰ λαλούμενά σοι θεῖα ῥήματα, οὐκ ἐξ ἀνθρώπου, ἀλλ' ἐκ Πνεύματος ἁγίου. Ὁ Ἰησοῦς ἰατρός ἐστι τῶν ψυχῶν καὶ τῶν σωμάτων. Εἰ τραῦμα ἔχεις, εἰσάγω σε

---

6. Ματθ. 7,7.

γι' αὐτόν, γιὰ νὰ καταξιωθεῖ νὰ διορθώσει μὲ τὴ νέκρωση τοῦ Ἰησοῦ τὸν ἑαυτό του.

Ἀπόκριση

Μὲ χαρὰ παρακαλῶ τὸ Θεὸ νὰ σᾶς δώσει κάθε ἀγαθὸ αἴτημα καὶ πιστεύω ὅτι θὰ τὸ δώσει, διότι δὲν ψεύδεται αὐτὸς ποὺ λέγει, «ζητᾶτε καὶ θὰ σᾶς δοθεῖ»[6]. Ὁ Θεὸς λοιπὸν θὰ πραγματοποιήσει τὰ αἰτήματά σας. Γένοιτο. Ὅμως νὰ μὴ ἀμεριμνήσεις νὰ κοπιάσεις λίγο καὶ σὺ ὁ ἴδιος· διότι καὶ αὐτοὶ ποὺ θέλουν ἐξουσίες ἀπὸ τὸν βασιλιά, ἀκόμα καὶ ἐὰν ἔχουν πολλοὺς προϊσταμένους, ὑποφέρουν καὶ οἱ ἴδιοι θλίψεις καὶ κινδύνους καὶ κόπους μέχρι νὰ ἐπιτύχουν. Ἔτσι λοιπὸν καὶ ἐσὺ ὁ ἴδιος νὰ κοπιάσεις λίγο, γιὰ νὰ βρεῖς τὸ μεγάλο ἔλεος· «διότι ἡ δέηση ποὺ γίνεται ἀπὸ τὸν δίκαιο, ἔχει πολλὴ δύναμη»[7]. Πὲς στὸν ἀδελφὸ ποὺ εἶναι μαζί σου, στὸν ἀγαπητὸ ἐν Κυρίῳ ποὺ σὲ παιδεύει πάντα καὶ μ' αὐτὸ σοῦ δίνει μεγάλο ἔλεος, νὰ μὴ ἀδιαφορήσει νὰ σὲ παιδεύει· «διότι ὁ Κύριος παιδεύει ὅποιον ἀγαπᾶ»[8].

Σᾶς ἀσπάζομαι ὅλους ἐν Κυρίῳ καὶ σᾶς παρακαλῶ προσευχηθεῖτε γιὰ μένα ἀπὸ ἀγάπη.

113

Ὁ ἴδιος παρακάλεσε τὸν μεγάλο Γέροντα νὰ προσευχηθεῖ γι' αὐτόν, ὥστε νὰ ἀπαλλαχθεῖ ἀπὸ τὸν παλαιὸ ἄνθρωπο.

Ἐρώτηση

Ἄκουσε, ἀγαπητὲ ἀδελφέ, καὶ δῶσε τὴν καρδιά σου νὰ φυλάξει τὰ θεῖα λόγια ποὺ λέγονται σὲ σένα ὄχι ἀπὸ ἄνθρωπο, ἀλλὰ ἀπὸ τὸ ἅγιο Πνεῦμα. Ὁ Ἰησοῦς εἶναι γιατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων. Ἐὰν ἔχεις πληγή, σὲ

---

7. Ἰακ. 5,16.
8. Ἑβρ. 12,6.

πρὸς αὐτὸν καὶ δέομαι αὐτοῦ θεραπεῦσαι σε, ἂν καὶ σὺ θελήσῃς. Δοτὴρ γάρ ἐστι πάντων τῶν ἀγαθῶν δωρημάτων, παρέχει δέ σοι οὐ μόνον τὰ αἰτήματά σου, ἀλλ' ὑπερεκπερισσοῦ ὧν αἰτεῖς. Υἱὸς Θεοῦ καὶ φῶς καὶ δύναμίς ἐστιν ὁ Ἰησοῦς, ὁ ἐκ τῆς ἁγίας Παρθένου σαρκωθεὶς Μαρίας, «ὃς ἐπὶ γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συναναστράφη»· καὶ ἑαυτὸν προσήνεγκε θυσίαν ζῶσαν εὐάρεστον τῷ Θεῷ καὶ Πατρὶ ἡμῶν, τοῦ κατασκευάσαι ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον. Ὁ ταῦτα δι' ἡμᾶς ὑπομείνας, ὑπογραμμὸν ἡμῖν κατέλιπεν ὑπομονῆς καὶ χαίρει ὅταν αἰτῶμεν αὐτόν· αἰτῶ αὐτὸν φωτίσαι σου τὴν καρδίαν, συγκοπίασον καὶ ἵδρωσον καὶ αὐτός. Λέγει γὰρ ὁ Υἱὸς τοῦ Θεοῦ· «δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς».

Προσέρχομαι οὖν αὐτῷ ὑπὲρ σοῦ μετὰ ἀναιδείας πολλῆς, ἐὰν μὴ καὶ σὺ προσέρχῃ, αἰσχύνη ἐστὶ μεγάλη. Ἰησοῦς οὐδένα ἀποβάλλεται· καὶ γὰρ τῇ ἑνδεκάτῃ ὥρᾳ ἐμισθώσατο ἐργάτας εἰς τὸν ἑαυτοῦ ἀμπελῶνα. Κολλήθητι αὐτῷ καὶ ποίησον μικρὸν κόπον, ἵνα ἀπολάβῃς τὸν μισθὸν τοῖς ἅπασιν ἴσως· ἄνθρωπος γέγονεν ὁ Υἱὸς τοῦ Θεοῦ διὰ σέ, γενοῦ καὶ σὺ δι' αὐτὸν θεός. Νοῦν σοὶ ἔδωκεν ὁ Θεός, αὐτὸν αὐτῷ δὸς εἰς τὸν οὐρανόν, τὰ ἄνω ζητῶν, τὰ ἄνω φρονῶν, ὅπου αὐτὸς τυγχάνει. Ἐκεῖ γὰρ δυσωπῶ ἵνα φθάσῃς, σὺν πᾶσι τοῖς ἀγαπῶσι τὸ ὄνομα αὐτοῦ· τούτῳ γὰρ τῷ τρόπῳ ἐλευθεροῦταί τις τοῦ παλαιοῦ ἀνθρώπου.

Ὁ Ἰησοῦς εἶπε τοῖς Ἀποστόλοις· «ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς»· «γῆν» τὸ σῶμα ἐκάλεσε· φησὶ γάρ, «γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ». Γενοῦ σεαυτῷ ἅλας ἁλίζον καὶ ἀναξηραῖνον τὰς σηπε-

9. Δοξατικὸ Ἑσπερινοῦ Κυριακῆς, ἦχου πλ. δ'.

ὁδηγῶ σ' αὐτόν, καὶ τὸν παρακαλῶ νὰ σὲ θεραπεύσει, ἂν τὸ θελήσεις καὶ σύ· διότι εἶναι δωρητὴς ὅλων τῶν ἀγαθῶν δώρων καὶ σοῦ δίνει ὄχι μόνο τὰ αἰτήματά σου, ἀλλὰ καὶ περισσότερα ἀπ' ὅσα ζητᾶς. Ὁ Ἰησοῦς, ποὺ γεννήθηκε ἀπὸ τὴ Μαρία, τὴν ἁγία Παρθένο, εἶναι Υἱὸς Θεοῦ καὶ φῶς καὶ δύναμη, «ὁ ὁποῖος φανερώθηκε πάνω στὴ γῆ καὶ συναναστράφηκε μὲ τοὺς ἀνθρώπους»[9], καὶ πρόσφερε τὸν ἑαυτό του ζωντανὴ θυσία, εὐάρεστη στὸ Θεὸ καὶ Πατέρα μας, γιὰ νὰ μᾶς κάνει γιὰ τὸν ἑαυτό περιούσιο λαό, ζηλωτὴ καλῶν ἔργων, βασιλικὸ ἱερατεῖο, ἅγιο ἔθνος[10]. Αὐτὸς ποὺ ὑπέφερε γιὰ μᾶς αὐτὰ τὰ πράγματα, μᾶς ἄφησε πρότυπο ὑπομονῆς καὶ χαίρεται ὅταν τὸν παρακαλοῦμε. Τὸν παρακαλῶ λοιπὸν νὰ φωτίσει τὴν καρδιά σου, ἀλλὰ καὶ ὁ ἴδιος νὰ κοπιάσεις καὶ νὰ ἱδρώσεις μαζὶ μ' αὐτόν. Διότι ὁ Υἱὸς τοῦ Θεοῦ λέγει· «ἐλᾶτε κοντά μου ὅλοι οἱ κουρασμένοι καὶ φορτωμένοι, καὶ ἐγὼ θὰ σᾶς ἀναπαύσω»[11].

Προσέρχομαι λοιπὸν σ' αὐτὸν γιὰ σένα μὲ πολλὴ παρρησία, καὶ ἐὰν δὲν προσέρχεσαι καὶ σύ, εἶναι μεγάλη ντροπή. Ὁ Ἰησοῦς δὲν διώχνει κανένα, διότι τὴν ἑνδέκατη ὥρα πῆρε ἐργάτες στὸ ἀμπέλι του. Προσκολλήσου σ' αὐτὸν καὶ κόπιασε λίγο, γιὰ ν' ἀπολαύσεις ἐξ ἴσου μὲ ὅλους τὴν ἀμοιβή. Ὁ Υἱὸς τοῦ Θεοῦ ἔχει γίνει γιὰ σένα ἄνθρωπος· γίνε καὶ σὺ γι' αὐτὸν θεός. Ὁ Θεὸς σοῦ ἔδωσε νοῦ, δός του αὐτὸν στὸν οὐρανό, ἐπιζητώντας τὰ ἄνω, φρονώντας τὰ ἄνω, ὅπου ὁ ἴδιος βρίσκεται. Διότι θέλω νὰ φθάσεις ἐκεῖ μαζὶ μὲ ὅλους αὐτοὺς ποὺ ἀγαποῦν τὸ ὄνομά του· καθόσον μ' αὐτὸν τὸν τρόπο ἐλευθερώνεται κανεὶς ἀπὸ τὸν παλαιὸ ἄνθρωπο.

Ὁ Ἰησοῦς εἶπε στοὺς Ἀποστόλους, «ἐσεῖς εἶσθε τὸ ἁλάτι τῆς γῆς»[12]· γῆ ὀνόμασε τὸ σῶμα, διότι λέγει, «χῶμα εἶσαι καὶ στὸ χῶμα θὰ ἐπιστρέψεις»[13]. Γίνε ἁλάτι ποὺ ἁλατίζει καὶ κατα-

10. Α' Πέτρ. 2,9.
11. Ματθ. 11,28.
12. Ματθ. 5,13.
13. Γεν. 3,19.

δόνας καὶ τοὺς σκώληκας, τοῦτ' ἔστι τοὺς κακοὺς λογισμούς. Καὶ εἰ τοῦτο ποιήσεις, συγκοπιῶ καὶ συναυλίζω σοι, ἵνα μὴ ὀζέσωσι καὶ ἀηδίσωσιν ἀλλήλους. Σωθῆναι ἡμᾶς θέλει ὁ Θεὸς καὶ Σωτὴρ ἡμῶν, ἀλλ' ἡμῶν ἐστι τὸ βοᾶν ἀδιαλείπτως, «σῶσόν με, Κύριε», καὶ σώζει σε· καὶ γὰρ ἐβόησάν τινες καὶ εἰσῆλθον εἰς τὸν λιμένα τοῦ θελήματος αὐτοῦ, εἰς ὃν ἐλπίζω σε εἰσελθεῖν, ἐὰν δώσῃς μοι χεῖρα κατὰ τὸ δυνατόν. Νόησον τὰ ῥηθέντα καὶ ἀκολουθήσας, φθάνεις κατὰ τὸν εἰπόντα, «οὕτω τρέχετε, ἵνα καταλάβητε».

Εὔχου ὑπὲρ ἐμοῦ, ἵνα μὴ κατακριθῶ λαλῶν καὶ μὴ ποιῶν.

ΡΙΔ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Περὶ διαφόρων λογισμῶν καὶ περὶ τῆς ἀκριβείας τῆς ὁδοῦ τοῦ Θεοῦ.

Ἀπόκρισις

Ὅλα ἃ ἔγραψας αἰτῶν τὸν Θεὸν διὰ τῆς ἐμῆς εὐτελείας, ἀδελφὲ λήθαργε, εἰς ἓν συντείνει, τὸ ἐλευθερωθῆναι τοῦ παλαιοῦ ἀνθρώπου, καὶ εὑρεθῆναι τῷ ἁγιασμῷ τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ σωθῆναι μετὰ τῶν ἁγίων εἰς τὴν τοῦ Θεοῦ βασιλείαν. Τοῦτο γάρ ἐστιν ὃ εἶπόν σοι μέτρον τοῦ ἀπαλλαγῆναι καὶ καθαρισθῆναι ἀπὸ τοῦ παλαιοῦ ἀνθρώπου. Ὑπερεκπερισσοῦ δὲ ὧν αἰτεῖς αἰτῶ τὸν Θεὸν ἐγώ, συνεχόμενος τῇ ἀγάπῃ, τοῦ παρασχεῖν σοι· καὶ ἐὰν μὴ ἐμποδίσῃς διὰ τὴν χαυνότητά σου καὶ ἀμέλειαν, θαυμάσαι ἔχεις καὶ δοξάσαι τὸν Θεόν, πῶς καταλλάσσει σε ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι. Ὁ Θεὸς συγχωρήσοι σοι ἃ ἥμαρτες, καὶ τοῖς μετὰ ταῦτα ἑτοιμάσοι σοι συγχώρησιν.

ξηραίνει τὶς σαπίλες καὶ τὰ σκουλήκια, δηλαδὴ τοὺς κακοὺς λογισμούς. Καὶ ἂν τὸ κάνεις αὐτό, θὰ κοπιάσω καὶ θὰ κατοικήσω μαζί σου γιὰ νὰ μὴ βρωμίσουν καὶ ἀηδιάσουν ἕνας τὸν ἄλλο. Ὁ Θεὸς καὶ σωτήρας μας θέλει νὰ σωθοῦμε, ἀλλ' εἶναι δικό μας τὸ νὰ φωνάζουμε ἀδιάλειπτα, 'Κύριε, σῶσε με', καὶ θὰ σὲ σώσει· διότι μερικοὶ καὶ φώναξαν καὶ μπῆκαν στὸ λιμάνι τοῦ θελήματός του, στὸ ὁποῖο ἐλπίζω νὰ μπεῖς καὶ σύ, ἐὰν μὲ βοηθήσεις κατὰ τὸ δυνατό. Σκέψου βαθιὰ τὰ λεγόμενα καὶ ἂν ἀκολουθήσεις, φθάνεις σύμφωνα μ' αὐτὸν ποὺ εἶπε, «ἔτσι νὰ τρέχετε γιὰ νὰ φθάσετε».

Νὰ προσεύχεσαι γιὰ μένα γιὰ νὰ μὴ κατηγορηθῶ ὅτι λέγω καὶ δὲν τὰ κάνω.

114

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Γιὰ διάφορους λογισμοὺς καὶ γιὰ τὴν ἀκρίβεια τῆς ὁδοῦ τοῦ Θεοῦ.

Ἀπόκριση

Ναρκωμένε ἀδελφέ, ὅλα ὅσα ἔγραψες, παρακαλώντας τὸ Θεὸ μέσω τῆς δικῆς μου εὐτέλειας, ἀποσκοποῦν σὲ ἕνα πρᾶγμα, στὸ νὰ ἐλευθερωθεῖς ἀπὸ τὸν παλαιὸ ἄνθρωπο καὶ νὰ βρεθεῖς στὸν ἁγιασμὸ τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ νὰ σωθεῖς μαζὶ μὲ τοὺς ἁγίους στὴ βασιλεία τοῦ Θεοῦ. Διότι αὐτὸ εἶναι τὸ μέτρο ποὺ σοῦ εἶπα γιὰ ν' ἀπαλλαγεῖς καὶ νὰ καθαρισθεῖς ἀπὸ τὸν παλαιὸ ἄνθρωπο. Ἐγὼ ὅμως κυριευμένος ἀπὸ ἀγάπη, παρακαλῶ τὸ Θεὸ νὰ σοῦ δώσει περισσότερα ἀπ' ὅσα ζητεῖς· καὶ ἐὰν δὲν ἐμποδίσεις μὲ τὴ χαυνότητά σου καὶ τὴν ἀμέλεια, μπορεῖς νὰ θαυμάσεις καὶ νὰ δοξάσεις τὸ Θεό, πῶς θὰ σὲ μεταφέρει ἀπὸ τὴν ἀνυπαρξία στὴν ὕπαρξη. Εἴθε ὁ Θεὸς νὰ σοῦ συγχωρήσει ὅσα ἁμάρτησες καὶ γιὰ τὰ μετέπειτα θὰ σοῦ ἑτοιμάσει συγχώρηση.

Περὶ δὲ τῶν νυκτερινῶν φαντασιῶν, κατὰ φθόνον πειράζει σε ὁ διάβολος· διότι μετανοεῖς τῷ Θεῷ, θέλων χλευάσαι σε, ὅτι οὐδὲν ὠφελεῖ ἡ πάντα ἰσχύουσα μετάνοια, ἀλλὰ σὺ μὴ ἐνδώσῃς· καὶ γὰρ πολλὴν ἔχεις βοήθειαν, δι' εὐχῶν τῶν ἁγίων. Σπουδή ἐστιν ἐὰν συναρπαγῇς ἐν λόγῳ, ἢ ἔργῳ εἴς τινα ἁμαρτήσας, ἵνα ἀπέλθῃς καὶ βάλῃς μετάνοιαν αὐτῷ καὶ βλέπων ὁ Θεὸς σκεπάζει σε ἀπὸ τῶν ἐχθρῶν σου.

Περὶ δὲ τῶν βρωμάτων, μὴ πάνυ φροντίσωμεν τοῦ σώματος, συμβαίνει γὰρ εἶναι τοῦτο πόλεμον τῶν δαιμόνων, ἵνα βάλλωσιν ἡμᾶς εἰς μέριμναν, καὶ ἐν ταύτῃ ἀδολεσχοῦντες, ἀφήσωμεν τὰ προκείμενα ἡμῖν ἀγαθά.

Περὶ δὲ τῆς ἀκριβείας τῆς ὁδοῦ τοῦ Θεοῦ, οὐ χρὴ εἰπεῖν ἄρτι, ἵνα μὴ εἰς ἀπόγνωσιν φέρω σε· ἀλλὰ πίστευσον, ὅτι δωρεάν σε σώζει ὁ Θεὸς δι' εὐχῶν τῶν ἁγίων· δύνανται γὰρ αὐτὸν δυσωπῆσαι.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ.

ΡΙΕ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα, περὶ ἀκηδίας καὶ ἄλλων τινῶν λογισμῶν.*

Ἀπόκρισις

Ὁ Θεὸς ὁ μόνος ἀναμάρτητος, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπ' αὐτόν, ἐνδυναμώσοι σου τὴν ἀγάπην, λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἐν τῷ ναῷ τοῦ θυσιαστηρίου τοῦ ἔσω ἀνθρώπου· ἐν ᾧ νοηταὶ θυσίαι προσφέρονται τῷ Θεῷ, χρυσὸς καὶ λίβανος καὶ σμύρνα· ἐν ᾧ θύεται ὁ μόσχος ὁ σιτευτὸς καὶ ῥαντίζεται τὸ τίμιον αἷμα τοῦ ἀμώμου ἀμνοῦ· ἐν ᾧ κραυγαὶ τῶν ἁγίων ἀγγέλων μετὰ συμφωνίας γίνονται· «τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους».

Ὅσο γιὰ τὰ νυχτερινὰ ὄνειρα, ὁ διάβολος σὲ πειράζει ἀπὸ φθόνο, διότι μετανοεῖς στὸ Θεό, θέλοντας νὰ σὲ χλευάσει, ὅτι ἡ πάντα ἰσχύουσα μετάνοια δὲν ὠφελεῖ καθόλου· σὺ ὅμως νὰ μὴ ὑποχωρήσεις· διότι ἔχεις πολλὴ βοήθεια μὲ τὶς εὐχὲς τῶν ἁγίων. Ἐὰν παρασυρθεῖς στὸ λόγο ἢ στὸ ἔργο καὶ ἁμαρτήσεις σὲ κάποιον, σπεῦσε νὰ πᾶς σ' αὐτὸν καὶ νὰ βάλεις μετάνοια καὶ βλέποντας ὁ Θεὸς θὰ σὲ προστατεύει ἀπὸ τοὺς ἐχθρούς σου.

Ὅσο γιὰ τὶς τροφὲς νὰ μὴ φροντίσουμε πολὺ τὸ σῶμα, διότι συμβαίνει αὐτὸ νὰ εἶναι πόλεμος τῶν δαιμόνων, γιὰ νὰ μᾶς βάλλουν σὲ μέριμνα, καὶ φλυαρώντας σ' αὐτή, ν' ἀφήσουμε τὰ ἀγαθὰ ποὺ βρίσκονται μπροστά μας.

Γιὰ τὴν ἀκρίβεια πάλι τῆς ὁδοῦ τοῦ Θεοῦ, δὲ χρειάζεται νὰ πῶ τίποτε τώρα, γιὰ νὰ μὴ σὲ φέρω σὲ ἀπόγνωση· ἀλλὰ πίστεψε ὅτι ὁ Θεὸς σώζει δωρεὰν μὲ τὶς εὐχὲς τῶν ἁγίων· διότι μποροῦν νὰ παρακαλέσουν πειστικά.

Προσευχήσου, ἀδελφέ, γιὰ μένα.

115

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα
γιὰ τὴν ἀκηδία καὶ μερικοὺς ἄλλους λογισμούς.

Ἀπόκριση

Ο Θεός, ὁ μόνος ἀναμάρτητος, ποὺ σώζει αὐτοὺς ποὺ ἐλπίζουν σ' αὐτόν, θὰ σοῦ δυναμώσει τὴν ἀγάπη, γιὰ νὰ τὸν λατρεύεις μὲ ὁσιότητα καὶ δικαιοσύνη ὅλες τὶς ἡμέρες τῆς ζωῆς σου, στὸ ναὸ τοῦ θυσιαστηρίου τοῦ ἐσωτερικοῦ ἀνθρώπου, μέσα στὸν ὁποῖο νοητὲς θυσίες προσφέρονται στὸ Θεό, χρυσὸς καὶ λιβάνι καὶ σμύρνα, μέσα στὸν ὁποῖο θυσιάζεται ὁ μόσχος ὁ σιτευτὸς καὶ ραντίζεται τὸ τίμιο αἷμα τοῦ ἄμωμου ἀμνοῦ· μέσα στὸν ὁποῖο γίνονται μὲ συμφωνία κραυγὲς τῶν ἁγίων ἀγγέλων· «τότε θὰ ἀνυψώσουν μόσχους στὸ θυσιαστήριό σου»[14].

14. Ψαλμ. 50(51),21.

«Τότε», πότε; Ὅτε παραγίνεται ὁ Κύριος ἡμῶν ὁ μέγας Ἀρχιερεύς, ὁ τὴν ἀναίμακτον θυσίαν προσφέρων καὶ προσδεχόμενος, ὅταν ἐν τῷ ὀνόματι αὐτοῦ ἀκουστὴ γένηται ἐν τοῖς ὠσὶ τοῦ παρὰ τὴν ὡραίαν πύλην καθημένου παραλυτικοῦ, ἡ φωνὴ τῆς χαρᾶς· «ἔγειρε καὶ περιπάτει». Τότε εἰσέρχεται εἰς τὸ ἱερὸν περιπατῶν καὶ ἀλλόμενος καὶ αἰνῶν τὸν Θεόν· τότε παύεται ὁ ὕπνος τῆς ἀκηδίας καὶ τῆς ἀμαθείας· τότε καταργεῖται ἡ νύσταξις τῆς ἀκηδίας καὶ τῆς ῥᾳθυμίας ἀπὸ τῶν βλεφάρων· τότε ἅπτουσιν αἱ φρόνιμοι πέντε παρθένοι τὰς λαμπάδας αὐτῶν, καὶ συγχορεύουσι τῷ νυμφίῳ ἐν τῇ ἁγίᾳ παστάδι, συνᾴδουσαι ἀλλήλαις ἀθορύβως· «γεύσασθε καὶ ἴδετε ὅτι Χριστὸς ὁ Κύριος, μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν». Τότε καταργοῦνται οἱ πόλεμοι καὶ οἱ μολυσμοὶ καὶ αἱ κινήσεις, καὶ βραβεύει ἡ ἁγία εἰρήνη τῆς ἁγίας Τριάδος, καὶ σφραγίζεται ὁ θησαυρὸς καὶ ἄσυλος μένει.

Εὖξαι ἵνα νοήσῃς καὶ φθάσῃς καὶ χαρῇς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΙΣΤ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα, περὶ πειρασμοῦ κρυπτοῦ καὶ περὶ προκοπῆς.

Ἀπόκρισις

Θαυμάζω σου τὴν ἀγάπην, ἀδελφέ, πῶς ἀγνοεῖς τὰς τέχνας τῶν δαιμόνων· ὅτι ὡς ἐμαρτύρησεν ὁ Θεὸς τῷ Ἰώβ, παρωξύνθησαν κατ' αὐτοῦ· καὶ ὡς ἔμαθον ὅτι ἐγγὺς ἦν τοῦ καθαρισθῆναι ὁ παῖς, ἐσπάραξαν αὐτόν. Οὕτω καὶ ὅταν ἴδωσί τινα εἰς προκοπὴν ἐλθόντα, πειράζουσιν αὐτὸν φθόνῳ, οὐ πειράζουσι δὲ τὸν ἐλθόντα εἰς προκοπὴν ἀπὸ τῶν

«Τότε»· πότε; Όταν φθάνει ὁ Κύριός μας ὁ μεγάλος Ἀρχιερέας, ὁ ὁποῖος προσφέρει καὶ δέχεται τὴν ἀναίμακτη θυσία, ὅταν μὲ τὸ ὄνομά του γίνει ξακουστὴ ἡ φωνὴ τῆς χαρᾶς στὰ αὐτιὰ τοῦ παραλυτικοῦ ποὺ κάθεται στὴν ὡραία πύλη, «σήκω καὶ περπάτα»[15]. Τότε μπαίνει στὸ ἱερὸ περπατώντας καὶ πηδώντας καὶ δοξάζοντας τὸ Θεό· τότε σταματᾶ ὁ ὕπνος τῆς ἀκηδίας καὶ τῆς ἀμάθειας· τότε ἀπομακρύνεται ἡ νύστα τῆς ἀκηδίας καὶ τῆς ραθυμίας ἀπὸ τὰ βλέφαρα· τότε οἱ πέντε φρόνιμες παρθένες ἀνάβουν τὶς λαμπάδες τους καὶ χορεύουν μαζὶ μὲ τὸν νυμφίο στὸν ἅγιο νυμφικὸ θάλαμο, τραγουδώντας ἀθόρυβα μεταξύ τους· «γευθεῖτε καὶ δεῖτε, ὅτι ὁ Κύριος εἶναι χρηστός, καὶ μακάριος ὁ ἄνθρωπος ποὺ ἐλπίζει σ' αὐτόν»[16]. Τότε καταργοῦνται οἱ πόλεμοι καὶ οἱ μολύνσεις καὶ οἱ κινήσεις, καὶ βραβεύεται ἡ ἁγία εἰρήνη τῆς ἁγίας Τριάδας, καὶ ὁ θησαυρὸς σφραγίζεται καὶ μένει ἄσυλος.

Προσευχήσου νὰ τὰ κατανοήσεις αὐτὰ καὶ νὰ φθάσεις καὶ νὰ χαρεῖς μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

116

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα, γιὰ τὸν κρυφὸ πειρασμὸ καὶ τὴν προκοπή.

Ἀπόκριση

Θαυμάζω, ἀδελφέ, τὴν ἀγάπη σου, πῶς ἀγνοεῖς τὶς μηχανορραφίες τῶν δαιμόνων· διότι, ὅταν ὁ Θεὸς ἔδωσε μαρτυρία στὸν Ἰώβ, ὀργίσθηκαν ἐναντίον του· καὶ ὅταν ἔμαθαν ὅτι τὸ παιδὶ εἶναι κοντὰ στὴν κάθαρση, τὸ σπάραξαν. Μὲ τὸν ἴδιο τρόπο καὶ ὅταν δοῦν κάποιον νὰ προκόβει, τὸν πειράζουν μὲ φθόνο· δὲν πειράζουν ὅμως ἐκεῖνον ποὺ ἔφθασε

15. Ματθ. 9,5.
16. Α' Πέτρ. 2,3.

αὐτοῦ ἔργων, οὗτος γὰρ ἐνίκησεν αὐτούς· ἀλλὰ τὸν ἐλθόντα δι᾽ εὐχῶν τῶν ἁγίων χάριτι, κατὰ συγχώρησιν Θεοῦ, ἵνα γνῷ τὴν ἑαυτοῦ ἀσθένειαν καὶ μὴ ἐπαρθῇ ἐπὶ τῷ χαρίσματι. Καθὼς στρατιαὶ πολλαί εἰσιν ὑπερέχουσαι ἀλλήλων, οὕτως εἰσὶ μοναὶ παρὰ τῷ Πατρὶ τῶν φώτων ὑπερέχουσαι ἀλλήλων· εἰ μὴ γὰρ οὕτω, διατί πολλαί;

Ὁ Θεὸς ἐνισχύσοι σε ἐν τῷ φόβῳ αὐτοῦ.

Εὖξαι ὑπὲρ ἐμοῦ.

ΡΙΖ'

Ἐρώτησις τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα περὶ προκοπῆς ψυχῆς καὶ περὶ νουθεσίας πρὸς ἀδελφὸν καὶ περὶ πίστεως πρὸς τὸν κοινὸν Πατέρα.

Ἀπόκρισις

Πίστευσόν μοι, ποθεινότατε, ὅτι σὺν Θεῷ οὐκ ἔξω στήκεις τῶν πυλῶν τῆς τῶν οὐρανῶν βασιλείας. Ἀλλὰ καλῶς προσέχων σεαυτῷ μετὰ ἀκριβείας τοῦ μὴ ἐκεῖθεν ἐξωσθῆναι· τοῦ γὰρ Θεοῦ ἐστι τὸ εἰσενεγκεῖν τὸν ἄνθρωπον διὰ τῶν δεομένων αὐτοῦ ἁγίων, τοῦ δὲ ἀνθρώπου ἐστὶ τὸ μεῖναι ἢ ἐξωσθῆναι. Καὶ κατὰ πρόσβασιν θελήματι Θεοῦ εἰς ὑπεροχάς σε ἄγω. Εὐθύμει οὖν ἐν Κυρίῳ καὶ προθύμως βάδιζε ἐν τῇ ὁδῷ αὐτοῦ καὶ λαμβάνεις παρ᾽ αὐτοῦ βοήθειαν ἐν τῷ ὀνόματι αὐτοῦ.

Περὶ δὲ τοῦ ἀδελφοῦ, ταπεινῇ καρδίᾳ δέξαι αὐτὸν καὶ λάλησον αὐτῷ, εἴ τι πέμψει ὁ Θεὸς ἐν τῇ καρδίᾳ σου εἰπεῖν· προσέχων ὅτι χρείας γενομένης καὶ τὸ στόμα ἤνοιξε τῆς ὄνου. Καὶ εἰ ἐξ αὐτοῦ ἐστι τὸ πᾶν, τὴν διὰ σοῦ γενομένην ὠφέλειαν αὐτῷ

σὲ προκοπὴ ἀπὸ τὰ ἔργα του, διότι αὐτὸς τοὺς νίκησε, ἀλλὰ ἐκεῖνον ποὺ ἔφθασε στὴ χάρη μὲ τὶς εὐχὲς τῶν ἁγίων, κατὰ παραχώρηση Θεοῦ, γιὰ νὰ γνωρίσει τὴν ἀδυναμία του καὶ γιὰ νὰ μὴ ὑπερηφανευθεῖ γιὰ τὸ χάρισμα. Ὅπως ὑπάρχουν πολλὲς στρατιὲς ποὺ ὑπερέχουν ἡ μία ἀπὸ τὴν ἄλλη, ἔτσι ὑπάρχουν μονὲς κοντὰ στὸν Πατέρα τῶν φώτων ποὺ ὑπερέχουν ἡ μία ἀπὸ τὴν ἄλλη. Διότι, ἐὰν δὲ συμβαίνει αὐτό, γιατί εἶναι πολλές;

Εἴθε νὰ σὲ ἐνισχύσει ὁ Θεὸς πρὸς τὸν φόβο αὐτοῦ.

Προσευχήσου γιὰ μένα.

117

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα

γιὰ προκοπὴ ψυχῆς καὶ γιὰ νουθεσία πρὸς ἀδελφὸ καὶ γιὰ πίστη πρὸς τὸν κοινὸ Πατέρα.

Ἀπόκριση

Πίστεψέ με, πολυπόθητέ μου, ὅτι μὲ τὴ βοήθεια τοῦ Θεοῦ δὲν εἶσαι ἔξω ἀπὸ τὶς πύλες τῆς βασιλείας τῶν οὐρανῶν. Ἀλλὰ νὰ προσέχεις καλὰ τὸν ἑαυτό σου μὲ ἀκρίβεια γιὰ νὰ μὴ βγεῖς ἀπὸ ἐκεῖ· διότι τοῦ Θεοῦ ἔργο εἶναι νὰ βάλει μέσα τὸν ἄνθρωπο, διὰ τῶν ἁγίων ποὺ τὸν ἱκετεύουν, καὶ ἀπὸ τὸν ἄνθρωπο ἐξαρτᾶται ἡ παραμονὴ ἢ ἡ ἔξωσή του. Καὶ κατὰ τὴν πρόοδο μὲ τὸ θέλημα τοῦ Θεοῦ σὲ ὁδηγῶ σὲ ὑπεροχές. Νὰ χαίρεσαι λοιπὸν ἐν Κυρίῳ καὶ νὰ βαδίζεις πρόθυμα μέσα στὸ δρόμο του καὶ θὰ πάρεις ἀπ' αὐτὸν βοήθεια στὸ ὄνομά του.

Ὅσο γιὰ τὸν ἀδελφό, νὰ τὸν δεχθεῖς μὲ ταπεινὴ καρδιὰ καὶ πές του, ἐὰν ὁ Θεὸς στείλει κάτι, νὰ τὸ πεῖ στὴν καρδιά σου, λαμβάνοντας ὑπ' ὄψη ὅτι, ὅταν χρειάσθηκε, ἄνοιξε καὶ τῆς ὄνου τὸ στόμα[17]. Καὶ ἂν τὸ πᾶν προέρχεται ἀπὸ αὐτόν, ἀπόδω-

17. Τῆς ὄνου δηλαδὴ τοῦ Βαλαάμ, Ἀριθμ. 22,22 ἑ.

ἐπίγραψον. Καὶ ἐὰν ἴδῃ σου τὴν ταπείνωσιν ὁ Θεός, σοὶ ἐπιγράφει τὸν μισθὸν τῆς νουθεσίας, ὁ δοὺς ἐν τῷ στόματί σου τὸν λόγον καὶ πληροῦται εἰς ἡμᾶς τὸ γεγραμμένον· «ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ τετειχισμένη». Ὁ Κύριος Ἰησοῦς Χριστὸς συνεργήσει ἡμῖν πάντα εἰς ἀγαθόν.

Περὶ δὲ τοῦ ἐλαχίστου δούλου, εἰ ὁ Θεὸς ἐδωρήσατό σοι τὴν πίστιν, αὐτός ἐστιν ὁ αὐξάνων καὶ φυλάσσων· οὐ γὰρ δύναταί τις ἐλάχιστος ἀποκαλύψαι μυστήριον ἀνθρώποις, ἀλλ' ὁ Θεὸς γίνεται τὰ πάντα ἐν πᾶσι.

Συγχώρησον, ἀδελφέ, καὶ εὖξαι ὑπὲρ ἐμοῦ.

ΡΙΗ'

Ἐρώτησις τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.

Τί ποιήσει ὁ θέλων ἡσυχάζειν, διὰ τὸ ὄνομα τὸ γινόμενον αὐτῷ; μήποτε τὸ ὑπὲρ αὐτὸν βλάψῃ αὐτόν, καθὼς εἶπον οἱ Πατέρες, ὅτι 'οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, οὗ τὸ ὄνομα μεῖζόν ἐστι τοῦ ἔργου αὐτοῦ'. Καὶ εἰ ὀφείλει τισὶ συντυγχάνειν, ἢ μηδενὶ παντελῶς.

Ἀπόκρισις

Τὸ ἔχειν τινὰ ὄνομα ἢ δόξαν ὑπὲρ τὴν ἐργασίαν αὐτοῦ, οὐδὲν βλάπτει τὸν μὴ συνηδόμενον ἢ συγκαταθέμενον τοῖς λεγομένοις· ὥσπερ καὶ ἐπὶ τοῦ συκοφαντουμένου εἰς φόνον, μηδὲν δὲ τοιοῦτον πεπραχότος. Ὀφείλει δὲ ὁ τοιοῦτος λογίζεσθαι ὅτι ἔχουσι περὶ ἐμοῦ οἱ ἄνθρωποι ὑπόληψιν, καὶ οὐκ οἴδασι τίς εἰμι. Τὸ δὲ τισὶ συντυγχάνειν, τισὶ δὲ οὔ, ἢ ἀποβάλ-

σε σ' αὐτὸν τὴν ὠφέλεια ποὺ ἔγινε διὰ σοῦ. Καὶ ἂν δεῖ τὴν ταπείνωσή σου ὁ Θεός θὰ σοῦ ἀποδώσει τὸν μισθὸ τῆς νουθεσίας, αὐτὸς ποὺ ἔδωσε τὸ λόγο στὸ στόμα σου, καὶ ἐκπληρώνεται σὲ μᾶς αὐτὸ ποὺ ἔχει γραφεῖ· «ὁ ἀδελφὸς ποὺ βοηθεῖται ἀπὸ τὸν ἀδελφὸ εἶναι σὰν ὀχυρὴ καὶ περιτειχισμένη πόλη»[18]. Ὁ Κύριος Ἰησοῦς Χριστὸς θὰ βοηθήσει ὅλα νὰ ἀποβοῦν πρὸς τὸ καλό.

Ὅσο γιὰ τὸν ἐλάχιστο δοῦλο, ἐὰν ὁ Θεὸς σοῦ δώρισε τὴν πίστη, ὁ ἴδιος θὰ σοῦ τὴν αὐξήσει καὶ θὰ σοῦ τὴ φυλάξει· διότι ἕνας ἐλάχιστος δὲν μπορεῖ νὰ ἀποκαλύψει τὸ μυστήριο στοὺς ἀνθρώπους, ἀλλὰ ὁ Θεὸς γίνεται τὰ πάντα σὲ ὅλους.

Συγχώρησέ με, ἀδελφέ, καὶ προσευχήσου γιὰ μένα.

118

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Τί θὰ κάνει ἐκεῖνος ποὺ θέλει νὰ ἡσυχάζει, ἐξαιτίας τῆς φήμης ποὺ ἀποκτᾶ; Μήπως τὸ παραπάνω ἀπὸ αὐτὸν τὸν βλάψει, ὅπως εἶπαν οἱ Πατέρες· 'ἀλλοίμονο σ' ἐκεῖνον τὸν ἄνθρωπο τοῦ ὁποίου τὸ ὄνομα εἶναι μεγαλύτερο ἀπὸ τὸ ἔργο του'. Καὶ ἐὰν ὀφείλει νὰ συναντᾶ μερικοὺς ἢ τελείως κανέναν.

Ἀπόκριση

Τὸ νὰ ἔχει κανεὶς ὄνομα ἢ δόξα μεγαλύτερη ἀπὸ τὸ ἔργο δὲ βλάπτει καθόλου αὐτὸν ποὺ δὲ συνευχαριστιέται καὶ δὲ συμφωνεῖ μ' αὐτὰ ποὺ λέγονται· ὅπως ἀκριβῶς καὶ σ' αὐτὸν ποὺ συκοφαντεῖται γιὰ φόνο, ἐνῶ δὲν ἔκανε τίποτε τέτοιο. Αὐτὸς λοιπὸν ὀφείλει νὰ σκέπτεται ὅτι οἱ ἄνθρωποι ἔχουν ὑπόληψη γιὰ μένα καὶ δὲ γνωρίζουν ποιός εἶμαι. Τὸ νὰ συναντᾶ πάλι μερικούς, καὶ ἄλλους νὰ μὴ συναντᾶ ἢ νὰ διώχνει

18. Παρμ. 18,19.

λειν τινάς, τινὰς δὲ ἀποδέχεσθαι, φέρει τοῦτό τινα εἰς τὸ διακρῖναι τοὺς ἀνθρώπους.

Ὁ οὖν δυνάμενος ἀμεριμνῆσαι, κατὰ τὴν ἀφροσύνην μου λέγω, καλῶς ποιεῖ, ἐπιγνοὺς τὴν ἰδίαν ἀσθένειαν.

ΡΙΘ΄

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.*

Παρακαλῶ σε, τίμιε πάτερ, συγκαταβῆναί μου τῇ ἀσθενείᾳ καὶ ἐπιτρέψαι μοι, ἐάν τις τῶν πατέρων θελήσῃ ἐλθεῖν ἐν τῷ κελλίῳ τοῦ ποιῆσαι μοι εὐχήν, ἵνα δέξωμαι αὐτὸν (εἶδον γὰρ ἐμαυτὸν βαρυνθέντα ἐκ τῆς ἀκηδίας), ἕως οὗ ὁ Θεὸς διὰ τῶν εὐχῶν ὑμῶν στερεώσῃ μου τὴν ψυχήν.

Ἀπόκρισις

Παρακαλῶ τὴν ἀγάπην σου, ἀδελφέ μου, μὴ βάλλῃς με ἄνω, ἄφρων γάρ εἰμι καὶ ἐπαίρομαι, καὶ ὤφειλον γνῶναι ὅτι κάτω εἰμί. Τὸ γὰρ εἰπεῖν 'συγκατάβηθι', σημαίνει ὅτι ἄνω κάθημαι ἐν τῷ ὕψει. Καὶ οὐκ οἶδας ὅτι ἀπαιτοῦμαι εἶναι ὑπὸ κάτω παντὸς ἀνθρώπου· ὁ ὑποκάτω ὤν, οὐκ ἔχει ποῦ κατελθεῖν· τὴν νουθεσίαν ἔχεις τοῦ ἁγίου Ἀποστόλου λέγοντος· «πάντα δοκιμάζοντες τὸ καλὸν κατέχετε». Πᾶν πρᾶγμα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος κατὰ φόβον Θεοῦ, τοῦτο ὠφελεῖ τὴν ψυχὴν αὐτοῦ.

Εἰ οὖν ὠφελεῖ σε ἡ συντυχία, ἐγὼ οὐ κωλύω ἀπὸ σοῦ τὴν ὠφέλειαν, ἀλλὰ καὶ περίψημά εἰμι τῶν ἐρχομένων ὑπερεύξασθαί σου καὶ ὠφελῆσαι. Εἴτε οὖν συντυγχάνεις, εἴτε μή, ὁ Κύριος Ἰησοῦς ἐνδυναμώσοι τὴν σὴν γνησίαν ἀγάπην. Τί γὰρ ψηφίζομαι ἐν τοῖς ἀνθρώποις, ἵνα καὶ τοῦτο ἐμαυτὸν ἀπαιτήσω;

μερικοὺς καὶ νὰ δέχεται ἄλλους, αὐτὸ ὁδηγεῖ στὴ διάκριση τῶν ἀνθρώπων.

Αὐτὸς λοιπὸν ποὺ μπορεῖ νὰ ἀμεριμνήσει, κατὰ τὴν ἀφροσύνη μου τὸ λέγω, κάνει καλά, ἀναγνωρίζοντας τὴν ἀδυναμία του.

119

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν μεγάλο Γέροντα.

Τίμιε Πάτερ, σὲ παρακαλῶ νὰ συγκαταβεῖς στὴν ἀδυναμία μου καὶ νὰ μοῦ ἐπιτρέψεις, ἐὰν κανεὶς ἀπὸ τοὺς Πατέρες θελήσει νὰ ἔλθει στὸ κελλὶ γιὰ νὰ μοῦ εὐχηθεῖ, νὰ τὸν δεχθῶ (διότι εἶδα τὸν ἑαυτό μου νὰ βαριέται ἀπὸ τὴν ἀκηδία) ὥς ποὺ ὁ Θεὸς νὰ στερεώσει μὲ τὶς εὐχές σας τὴν ψυχή μου.

Ἀπόκριση

Παρακαλῶ τὴν ἀγάπη σου, ἀδελφέ μου, μὴ μὲ βάλλεις ψηλά, διότι εἶμαι ἄφρονας καὶ ἐπαίρομαι, ἐνῶ ἔπρεπε νὰ γνωρίζω ὅτι εἶμαι κάτω. Διότι τὸ νὰ πεῖς 'δεῖξε συγκατάβαση', σημαίνει ὅτι κάθομαι στὸ ὕψος, καὶ δὲ γνωρίζεις ὅτι πρέπει νὰ εἶμαι κάτω ἀπὸ κάθε ἄνθρωπο. Αὐτὸς ποὺ βρίσκεται κάτω, δὲν ἔχει ποῦ νὰ κατεβεῖ. Ἔχεις τὴ νουθεσία τοῦ ἁγίου Ἀποστόλου ποὺ λέγει· «δοκιμάζοντας ὅλα, νὰ κρατᾶτε τὸ καλό»[19]. Κάθε πρᾶγμα τὸ ὁποῖο ὁ ἄνθρωπος θὰ κάνει μὲ φόβο Θεοῦ, αὐτὸ ὠφελεῖ τὴν ψυχή του.

Ἐὰν λοιπὸν ἡ συνάντηση σὲ ὠφελεῖ, ἐγὼ δὲν σοῦ ἐμποδίζω τὴν ὠφέλεια, ἄλλωστε ἐγὼ εἶμαι τιποτένιος μπροστὰ σ' αὐτοὺς ποὺ ἔρχονται νὰ προσευχηθοῦν γιὰ σένα καὶ νὰ σὲ ὠφελήσουν. Εἴτε λοιπὸν συναντᾶς κάποιον, εἴτε ὄχι, ὁ Κύριος Ἰησοῦς νὰ δυναμώσει τὴ γνήσια ἀγάπη σου. Πράγματι τί εἶμαι ἀνάμεσα

19. Α' Θεσ. 5,21.

τὸ κέρδος σου ἐμὴ χαρά ἐστι. Συντυγχάνων οὖν τοῖς ἐρχομένοις ἁγίοις καὶ ὠφελούμενος, παρακάλεσον αὐτοὺς εὔξασθαι ὑπὲρ ἐμοῦ διὰ τὴν ἀγάπην· τοῦτο δὲ λογίζομαι, ὅτι τὸ συντυγχάνειν διὰ τὸν Θεόν, καλόν ἐστιν, καὶ τὸ μὴ συντυγχάνειν διὰ τὸν Θεὸν καλόν ἐστι.

Ἔρρωσο.

ΡΚ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Αἴτησις εὐχῆς καὶ περὶ τελείας ἡσυχίας.

Ἀπόκρισις

Ο *Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ Υἱὸς τοῦ εὐλογημένου καὶ Ὑψίστου Θεοῦ, ἐνδυναμώσοι καὶ ἐνισχύσοι ὑμᾶς εἰς ὑποδοχὴν τοῦ ἁγίου αὐτοῦ Πνεύματος, ἵνα τῇ ἀγαθῇ παρουσίᾳ αὐτοῦ διδάξῃ ὑμᾶς περὶ πάντων, καὶ φωτίσῃ τὰς καρδίας ὑμῶν καὶ ὁδηγήσῃ ὑμᾶς ἐν ἀληθείᾳ· καὶ ἵνα ἴδω ὑμᾶς ὡς φοίνικας θάλλοντας ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ, καὶ εὑρεθῆτε ὡς ἐλαία κατάκαρπος ἐν μέσῳ τῶν ἁγίων, καὶ ὡς ἄμπελος καρποφόρος ἐν τῷ θείῳ χώρῳ, ὅλη ἀληθινή. Καταξιώσοι δὲ ὑμᾶς ὁ Κύριος πιεῖν ἐκ τῆς πηγῆς τῆς σοφίας· ὅσοι γὰρ ἔπιον ἐξ αὐτῆς ἐπελάθοντο ἑαυτῶν, ὅλοι ἔξω γενόμενοι τοῦ παλαιοῦ ἀνθρώπου, καὶ ἀπὸ τῆς πηγῆς τῆς σοφίας, ὡδηγήθησαν εἰς ἄλλην πηγὴν ἀγάπης, τῆς μηδέποτε πιπτούσης. Καὶ ἐν ταύτῃ γενόμενοι τῇ τάξει, κατέλαβον τὸ ἀρέμβαστον καὶ ἀμετέωρον μέτρον, ὅλοι νοῦς γενόμενοι, ὅλοι ὀφθαλμός, ὅλοι ζῶντες, ὅλοι φωτεινοί, ὅλοι τέλειοι, ὅλοι θεοί. Ἐπόνησαν, ἐμεγαλύνθησαν, ἐδοξάσθησαν, ἐλαμπρύνθησαν, ἔζησαν, ἐπειδὴ πρῶτον ἀπέθανον. Εὐφραίνονται καὶ εὐφραίνουσιν· εὐφραίνονται ἐν τῇ ἀχωρίστῳ Τριάδι, καὶ εὐφραίνουσι τὰς ἄνω δυνάμεις.*

στοὺς ἀνθρώπους, γιὰ νὰ ἀπαιτήσω καὶ αὐτὸ ἀπὸ τὸν ἑαυτό μου; Τὸ κέρδος σου εἶναι δική μου χαρά. Συναντώντας λοιπὸν τοὺς ἁγίους ποὺ ἔρχονται καὶ ὠφελούμενος, παρακάλεσέ τους νὰ προσευχηθοῦν γιὰ μένα ἀπὸ ἀγάπη. Καὶ σκέφτομαι αὐτό, ὅτι καὶ ἡ συνάντηση γιὰ τὸ Θεὸ εἶναι καλή, καὶ ἡ μὴ συνάντηση γιὰ τὸ Θεὸ εἶναι καλή.

Ὑγίαινε.

120

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Αἴτηση προσευχῆς καὶ περὶ τελείας ἡσυχίας.

Ἀπόκριση

Ὁ Κύριός μας Ἰησοῦς Χριστός, ὁ Υἱὸς τοῦ εὐλογημένου καὶ Ὑψίστου Θεοῦ, εἴθε νὰ σᾶς δυναμώσει καὶ νὰ σᾶς ἐνισχύσει στὴν ὑποδοχὴ τοῦ ἁγίου Πνεύματος, γιὰ νὰ σᾶς διδάξει μὲ τὴν ἀγαθὴ παρουσία του γιὰ ὅλα, καὶ νὰ φωτίσει τὶς καρδιές σας καὶ νὰ σᾶς ὁδηγήσει στὴν ἀλήθεια, ὥστε νὰ σᾶς δῶ σὰν φουντωμένους φοίνικες στὸν παράδεισο τοῦ Θεοῦ καὶ νὰ βρεθεῖτε σὰν κατάκαρπη ἐλιὰ ἀνάμεσα στοὺς ἁγίους καὶ σὰν καρποφόρο ἀμπέλι μέσα στὸν θεῖο χῶρο, ὅλη ἀληθινό. Ὁ Κύριος νὰ σᾶς καταξιώσει νὰ πιεῖτε ἀπὸ τὴν πηγὴ τῆς σοφίας· διότι ὅσοι ἤπιαν ἀπὸ αὐτήν, ξέχασαν τοὺς ἑαυτούς τους, ἀφοῦ ὅλοι βγῆκαν ἔξω ἀπὸ τὸν παλαιὸ ἄνθρωπο, καὶ ἀπὸ τὴν πηγὴ τῆς σοφίας ὁδηγήθηκαν σὲ ἄλλη πηγὴ ἀγάπης, ποὺ δὲν πέφτει ποτέ. Καὶ ἀφοῦ μπῆκαν σ' αὐτὴ τὴν τάξη, ἔφθασαν στὸ ἀρέμβαστο καὶ ἀκλόνητο μέτρο, ἀφοῦ ἔγιναν ὅλοι νοῦς, ὅλοι μάτι, ὅλοι ζωντανοί, ὅλοι φωτεινοί, ὅλοι τέλειοι, ὅλοι θεοί. Κοπίασαν, ἐγκωμιάσθηκαν, δοξάσθηκαν, λαμπρύνθηκαν, ἔζησαν, ἐπειδὴ πρῶτα πέθαναν. Εὐφραίνονται καὶ εὐφραίνουν· εὐφραίνονται μέσα στὴν ἀδιαίρετη Τριάδα, καὶ εὐφραίνουν τὶς ἐπουράνιες δυνάμεις.

Ποθήσατε τὴν αὐτῶν τάξιν, δράμετε τὸν αὐτῶν δρόμον, ζηλώσατε τὴν αὐτῶν πίστιν, κτήσασθε αὐτῶν τὴν ταπείνωσιν, τὴν ὑπομονὴν ἐν πᾶσιν, ἵνα καταλάβητε αὐτῶν τὴν κληρονομίαν. Τὴν ἄπτωτον αὐτῶν ἀγάπην κρατήσατε, ἵνα εὑρεθῆτε ἐν τοῖς ἀνεκλαλήτοις ἀγαθοῖς, «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε», καὶ τὰ ἑξῆς.

Περὶ δὲ τῆς ἡσυχίας, τέως γύμνασον σεαυτὸν ἔτι μικρόν, καὶ ὁ Θεὸς ποιεῖ τὸ ἔλεος αὐτοῦ.

ΡΚΑ´

Πρὸς τὸν μέγαν Γέροντα,
εἰ ἐπιτρέπει αὐτῷ τὴν τελείαν ἡσυχίαν.

Ἀπόκρισις

Εἶπον τῇ ἀγάπῃ σου, ἀγαπητὲ ἀδελφέ, περὶ τῆς ἡσυχίας, τῷ τέως ἐκδέξασθαι, οὐχ ὡς μὴ θέλων σε ἐλθεῖν εἰς τὴν κατάστασιν τοῦ τοιούτου μέτρου, μὴ γένοιτο, ἀλλὰ θέλων καὶ εὐχόμενος, ἵνα χαρίσηταί σοι αὐτὴν ὁ Θεὸς καὶ ἐπὶ πλεῖον· καὶ γὰρ ἡ χαρά μου ἡ μεγάλη ἐστίν, ἡ ὑμῶν πάντων προκοπή. Χαρίσματα δέ εἰσι πνευματικά, ὑπὸ τοῦ Θεοῦ διδόμενα καιροῖς ἰδίοις, καὶ αὐτὸς καλεῖ καὶ βοηθεῖ καὶ φυλάττει· φησὶ γὰρ «οὐχ ὁ συνιστάνων ἑαυτόν, οὗτος δόκιμός ἐστιν, ἀλλ᾽ ὃν ὁ Κύριος συνίστησιν».

Εἰ οὖν τὸν οἶκόν σου θέλεις οἰκοδομῆσαι, πρῶτον ἑτοίμασον τὴν ὕλην καὶ ὅλα τὰ ἐπιτήδεια· καὶ τοῦ τεχνίτου λοιπόν ἐστι τὸ ἐλθεῖν καὶ οἰκοδομῆσαι. Εἰσὶ δὲ τὰ ἐπιτήδεια τῆς τοιαύτης οἰκοδομῆς, ἡ στερρὰ πίστις εἰς οἰκοδομὴν τῶν τοίχων· ξύλιναι θυρίδες φωτοειδεῖς εἰσφέρουσαι τὸ φῶς τοῦ ἡλίου πρὸς τὸ καταυγάσαι τὸν οἶκον, ἵνα μηδεμία σκοτία εὑρεθῇ ἐν αὐτῇ· αἱ δὲ ξύλιναι θυρίδες εἰσὶ τὰ πέντε αἰσθητήρια τὰ ἐν τῷ τιμίῳ σταυρῷ τοῦ Χριστοῦ ἠσφαλισμένα, καὶ εἰσφέροντα τὸ φῶς τοῦ

---

20. Α´ Κορ. 2,9.

Ποθεῖστε τὴν τάξη τους, τρέξτε τὸν δρόμο τους, μιμηθεῖτε τὴν πίστη τους, ἀποκτῆστε τὴν ταπείνωσή τους, τὴν ὑπομονὴ σὲ ὅλα, γιὰ νὰ λάβετε τὴν κληρονομία τους. Κρατῆστε τὴν ἄπτωτη ἀγάπη τους, γιὰ νὰ βρεθεῖτε μέσα στὰ ἀνεκδιήγητα ἀγαθά, «τὰ ὁποῖα μάτι δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε»[20] καὶ τὰ ἑξῆς.

Ὅσο γιὰ τὴν ἡσυχία, γύμνασε τώρα τὸν ἑαυτό σου ἀκόμα λίγο καὶ ὁ Θεὸς θὰ σὲ ἐλεήσει.

121

Πρὸς τὸν μεγάλο Γέροντα

ἐὰν τοῦ ἐπιτρέπει τὴν τέλεια ἡσυχία.

Ἀπόκριση

Ἀγαπητὲ ἀδελφέ, εἶπα στὴν ἀγάπη σου γιὰ τὴν ἡσυχία, νὰ τὴ δεχθεῖς στὸ τέλος, ὄχι ἐπειδὴ δὲ θέλω νὰ ἔρθεις στὴν κατάσταση αὐτοῦ ἐδῶ τοῦ μέτρου, μὴ γένοιτο, ἀλλὰ θέλω καὶ εὔχομαι νὰ σοῦ τὴ χαρίσει ὁ Θεὸς μὲ τὸ παραπάνω· διότι ἡ προκοπὴ ὅλων σας εἶναι ἡ μεγάλη χαρά μου. Εἶναι πνευματικὰ χαρίσματα ποὺ δίνονται ἀπὸ τὸ Θεὸ στὸν καιρό τους καὶ ὁ ἴδιος εἶναι ποὺ καλεῖ καὶ βοηθεῖ καὶ φυλάγει· διότι λέγει «ἄξιος εἶναι ὄχι ἐκεῖνος ποὺ αὐτοαναγνωρίζεται, ἀλλὰ ἐκεῖνος ποὺ τὸν ἀναγνωρίζει ὁ Κύριος»[21].

Ἐὰν λοιπὸν θέλεις νὰ κτίσεις τὸν οἶκο σου, ἑτοίμασε πρῶτα τὰ ὑλικὰ καὶ ὅλα τὰ ἀπαραίτητα· καὶ ἔπειτα εἶναι ἡ ὥρα τοῦ τεχνίτη νὰ ἔρθει καὶ νὰ κτίσει. Τὰ ἀπαραίτητα αὐτῆς τῆς οἰκοδομῆς εἶναι ἡ στερεὴ πίστη γιὰ τὴν οἰκοδομὴ τῶν τοίχων· τὰ ξύλινα φωτεινὰ παράθυρα ποὺ βάζουν μέσα τὸ φῶς τοῦ ἥλιου γιὰ νὰ καταφωτίσουν τὸν οἶκο, ὥστε νὰ μὴ βρεθεῖ καθόλου σκοτάδι σ' αὐτόν· καὶ τὰ ξύλινα παράθυρα εἶναι τὰ πέντε αἰσθητήρια, ποὺ εἶναι ἀσφαλισμένα μέσα στὸν τίμιο σταυρὸ τοῦ

21. Β΄ Κορ. 18,18.

νοητοῦ ἡλίου τῆς δικαιοσύνης, καὶ μὴ συγχωροῦντα μηδεμίαν φαίνεσθαι σκοτίαν ἐν τῷ οἴκῳ, τοῦ ἐχθροῦ λέγω καὶ μισοκάλου.

Λοιπὸν θέλεις στέγην σκέπουσαν τὸν οἶκον, «ἵνα μὴ ἡμέρας ὁ ἥλιος συγκαύσῃ σε, μηδὲ ἡ σελήνη τὴν νύκτα». Ἑρμηνεύεται δὲ ἡ στέγη, ἡ πρὸς τὸν Θεὸν ἀγάπη, ἥτις οὐδέποτε πίπτει, σκεπάζουσα τὸν οἶκον καὶ μὴ ἐῶσα τὸν ἥλιον δῦναι ἐπὶ τῷ παροργισμῷ ἡμῶν, ἵνα μὴ εὕρωμεν αὐτὸν κατήγορον ἐν ἡμέρᾳ κρίσεως, καίοντα ἡμᾶς ἐν πυρὶ τῆς γεέννης· μηδὲ τὴν σελήνην μαρτυρῆσαι τῇ τῆς νυκτὸς ἡμῶν χαυνότητι καὶ ῥᾳθυμίᾳ. Χρῄζει λοιπὸν ἔχειν θύραν ὁ οἶκος εἰσφέρουσαν καὶ φυλάττουσαν τὸν ἔσω μένοντα. Ὅταν δὲ εἴπω 'θύραν', νόησον σύ, ἀδελφέ, τὴν νοητὴν θύραν, τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν λέγοντα, «ἐγώ εἰμι ἡ θύρα».

Ἐὰν οὕτως ἑτοιμάσῃς τὸν οἶκόν σου, μὴ ἔχοντά τι τῶν μισουμένων ὑπ' αὐτοῦ, ἔρχεται μετὰ τοῦ εὐλογημένου Πατρὸς καὶ τοῦ Πνεύματος τοῦ ἁγίου, καὶ μονὴν παρὰ σοὶ ποιεῖ, καὶ διδάσκει σε τί ἐστιν ἡσυχία, καὶ φωτίζει σου τὴν καρδίαν ἐν χαρᾷ ἀνεκλαλήτῳ. Ἀμήν.

ΡΚΒ'

***Αἴτησις** εὐχῆς καὶ διδασκαλίας πρὸς τὸν ἐνάρετον βίον.*

Ἀπόκρισις

Ὁ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς φωτίζει σου τοὺς ὀφθαλμοὺς τῆς καρδίας, υἱὲ ποθεινότατε καὶ ἀγαπητέ, πρὸς τὸ καταυγάσαι ἐν αὐτοῖς τὸν φωτισμὸν τῆς ἁγίας μονάρχου καὶ ζωοποιοῦ καὶ προσκυνητῆς Τριάδος· πρὸς τὸ ὁδηγηθῆναι τοῦ νοῆσαι τὰ ἅγια αὐτοῦ μυστήρια, καὶ χαρῆναι αἰωνίως, καὶ ἐξελθεῖν τῆς Αἰγύπτου, καὶ σχίσαι ῥάβδῳ τὴν θάλασ-

Χριστοῦ καὶ φέρουν μέσα τὸ φῶς τοῦ νοητοῦ ἥλιου τῆς δικαιοσύνης καὶ δὲν ἐπιτρέπουν νὰ φαίνεται μέσα στὸν οἶκο καθόλου σκοτάδι, ἐννοῶ τὸ σκοτάδι τοῦ ἐχθροῦ καὶ μισόκαλου.

Θέλεις λοιπὸν καὶ στέγη νὰ σκεπάζει τὸν οἶκο, «γιὰ νὰ μὴ σὲ κάψει τὴν ἡμέρα ὁ ἥλιος οὔτε τὴ νύχτα ἡ σελήνη»[22]. Καὶ ὡς στέγη ἑρμηνεύεται ἡ ἀγάπη πρὸς τὸ Θεό, ἡ ὁποία δὲν πέφτει ποτέ, σκεπάζει τὸν οἶκο καὶ δὲν ἀφήνει τὸν ἥλιο νὰ δύσει μὲ τὴν ὀργή μας, γιὰ νὰ μὴ τὸν βροῦμε κατήγορο τὴν ἡμέρα τῆς κρίσεως, ὥστε νὰ μᾶς καίει μέσα στὴ φωτιὰ τῆς κολάσεως, οὔτε ἡ σελήνη νὰ μαρτυρήσει τὴ χαυνότητα καὶ τὴ ραθυμία μας τὴ νύχτα. Ὁ οἶκος λοιπὸν χρειάζεται νὰ ἔχει θύρα γιὰ νὰ βάζει μέσα καὶ νὰ φυλάγει αὐτὸν ποὺ μένει μέσα. Ὅταν λέγω θύρα, ἐσύ, ἀδελφέ, ἐνόησε τὴ νοητὴ θύρα, τὸν Υἱὸ τοῦ Θεοῦ ποὺ λέγει, «ἐγὼ εἶμαι ἡ θύρα»[23].

Ἐὰν ἑτοιμάσεις μ' αὐτὸ τὸν τρόπο τὸν οἶκο σου, χωρὶς νὰ ἔχει τίποτε ἀπὸ αὐτὰ ποὺ μισοῦνται ἀπ' αὐτόν, θὰ ἔρθει μαζὶ μὲ τὸν εὐλογημένο Πατέρα καὶ τὸ ἅγιο Πνεῦμα καὶ θὰ κατοικήσει μέσα σὲ σένα, καὶ θὰ σὲ διδάξει τί εἶναι ἡσυχία καὶ θὰ φωτίσει τὴν καρδιά σου μὲ ἀνείπωτη χαρά. Γένοιτο.

122

Αἴτηση προσευχῆς καὶ διδασκαλίας γιὰ ἐνάρετη ζωή.

Ἀπόκριση

Αγαπητὲ καὶ ποθητὲ υἱέ, ὁ Θεός μας Ἰησοῦς Χριστὸς εἴθε νὰ φωτίσει τὰ μάτια τῆς καρδιᾶς σου, ὥστε νὰ δεῖς μέσα σ' αὐτὰ τὸν φωτισμὸ τῆς ἁγίας, μοναρχικῆς καὶ ζωοποιοῦ καὶ προσκυνητῆς Τριάδας, ὥστε νὰ κατανοήσεις τὰ ἅγια μυστήριά του καὶ νὰ χαίρεσαι αἰώνια, νὰ βγεῖς ἀπὸ τὴν Αἴγυπτο καὶ νὰ σχίσεις μὲ τὴ ράβδο τὴ θάλασσα καὶ νὰ ξεφύ-

---

22. Ψαλμ. 120(121), 6.
23. Ἰω. 10,7.

σαν καὶ ἐξειλῆσαι τὰς χεῖρας τοῦ βαρβάρου Φαραώ, καὶ πονηγυρίζειν Θεῷ θύοντα, καὶ ἐσθίοντα ἐν ἁγιασμῷ τὸ πάσχα, φοινικίζοντά τε τὰ χείλη σου, ἐν τῷ ἁγίῳ καὶ τιμίῳ αὐτοῦ αἵματι, περιεζωσμένον τὰς ὀσφύας καὶ τὴν ῥάβδον κατέχοντα χερσὶ καθαραῖς, καὶ ὑποδήματα φοροῦντα ἐν ποσὶν ἀπροσκόπτως· καὶ μαννατροφοθήσῃ ἐκ τοῦ οὐρανοῦ διὰ τῶν συνδούλων σου νεφελῶν.

Μηκέτι παλαιωθείη σου τὸ ἔνδυμα, μηδὲ μεγαλυνθείη σου ἡ θρὶξ τῆς κεφαλῆς· καθαρισθείη δὲ ἡ καρδία σου πρὸς ὑποδοχὴν τοῦ δεσποτικοῦ νόμου. Καὶ συντρίψῃς τὸν χωνευτὸν μόσχον ἐκ μέσου τοῦ λαοῦ σου, καὶ καταπίοι ἡ γῆ τοὺς ἐχθρούς σου τοὺς ἀντιλέγοντάς σοι· καὶ κατακυριεύσῃς τῶν βασιλέων τῶν Ἀμορραίων· καὶ ἐξαλείψει ὁ Θεὸς τὰ ἑπτὰ ἔθνη ἀπὸ προσώπου σου, καὶ κατακληρονομήσῃς τὴν γῆν αὐτῶν εἰς τὸν αἰῶνα, καὶ παρέλθῃς τὸν Ἰορδάνην δυνάμει θείας θαυματουργίας· καὶ κρατήσῃς τὴν τῶν Φοινίκων πόλιν· καὶ σώσῃς Ῥαὰβ τὴν πιστεύσασαν εἰς τὸν Θεόν σου πόρνην, καὶ σπείρῃς, καὶ φυτεύσῃς, καὶ φάγῃς, καὶ ἐμπλησθῇς, καὶ δοξάσῃς τὸν Θεὸν τὸν δεδωκότα σοι· καὶ μὴ εὑρεθῇ ἐν σοὶ Θεὸς ἕτερος.

Ὅτι λοιπὸν ἅγιος ἔσῃ τῷ Θεῷ καὶ οὐ λυμανοῦσί σου τὴν χώραν ἀλλόφυλοι, ὅτι φοβερὸν γίνῃ αὐτοῖς, καὶ φονεύσῃς τὸν Γολιάθ, ἵνα τῷ Δαβὶδ συμβασιλεύσῃς, καὶ ἐκβῇς ἐκ παλαιότητος, τὴν καινότητα εὑρών· καὶ πιστεύσῃς τῷ Χριστῷ, ἵνα συσταυρωθῇς καὶ συναποθάνῃς καὶ συνταφῇς αὐτῷ καὶ συνεγερθῇς λαμπρῶς, καὶ συναναληφθῇς ἐνδόξως, καὶ συζήσῃς αἰωνίως. Μάλαξον λοιπὸν τὸ κηρίον καὶ ἁπαλύνεται, ὅσον γὰρ μαλάξεις αὐτό, εὑρήσεις τὰ ἐν αὐτῷ νοήματα εἰς ζωὴν αἰώνιον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

Καὶ περὶ τοῦ ἀδελφοῦ τοῦ μετὰ σοῦ, βάστασον αὐτὸν κατὰ

γεις ἀπὸ τὰ χέρια τοῦ βάρβαρου Φαραὼ καὶ νὰ πανηγυρίσεις θυσιάζοντας στὸ Θεό, καὶ τρώγοντας τὸ Πάσχα μὲ καθαρότητα καὶ κοκκινίζοντας τὰ χείλη σου μὲ τὸ ἅγιο καὶ τίμιο αἷμα του, ἔχοντας δεμένη τὴ μέση, καὶ κρατώντας ράβδο μὲ καθαρὰ χέρια, καὶ φορώντας στὰ πόδια ἀσκόνταφτα παπούτσια· καὶ θὰ τρώγεις μάννα ἀπὸ τὸν οὐρανὸ μὲ τὶς σύνδουλές σου τὶς νεφέλες.

Εἴθε νὰ μὴ παλιώσει ποτὲ πλέον τὸ ἔνδυμά σου, οὔτε νὰ μεγαλώσει ἡ τρίχα τοῦ κεφαλιοῦ σου. Εἴθε νὰ καθαρισθεῖ ἡ καρδιά σου γιὰ τὴν ὑποδοχὴ τοῦ δεσποτικοῦ νόμου. Καὶ θὰ συντρίψεις τὸν χωνευτὸ μόσχο μέσα ἀπὸ τὸν λαό σου καὶ ἡ γῆ θὰ καταπιεῖ τοὺς βασιλεῖς τῶν Ἀμορραίων· ὁ Θεὸς θὰ ἐξαλείψει ἀπὸ τὸ πρόσωπό σου τὰ ἑπτὰ ἔθνη, θὰ κατακληρονομήσεις τὴ γῆ τους στὸν αἰώνα, καὶ θὰ περάσεις τὸν Ἰορδάνη μὲ τὴ δύναμη τῆς θείας θαυματουργίας· θὰ κυριεύσεις τὴν πόλη τῶν Φοινίκων, καὶ θὰ σώσεις τὴν πόρνη Ραὰβ ποὺ πίστεψε στὸ Θεό σου· θὰ σπείρεις καὶ θὰ φυτέψεις, θὰ φάγεις καὶ θὰ χορτάσεις, καὶ θὰ δοξάσεις τὸ Θεὸ ποὺ σοῦ τὰ ἔχει δώσει, καὶ νὰ μὴ ὑπάρξει γιὰ σένα ἄλλος θεός.

Ἐπειδὴ λοιπὸν θὰ εἶσαι ἅγιος στὸ Θεὸ καὶ οἱ ἀλλόφυλοι δὲ θὰ βλάψουν τὴ χώρα σου, διότι ἔγινες φοβερὸς σ' αὐτούς· θὰ σκοτώσεις τὸν Γολιάθ, γιὰ νὰ βασιλέψεις μαζὶ μὲ τὸν Δαβίδ, καὶ θὰ βγεῖς ἔξω ἀπὸ τὴν παλαιότητα, ἀφοῦ βρεῖς τὴ νεότητα· καὶ θὰ πιστέψεις στὸν Χριστὸ γιὰ νὰ συσταυρωθεῖς καὶ νὰ συναποθάνεις καὶ νὰ συνταφεῖς μ' αὐτόν, καὶ νὰ συναναστηθεῖς λαμπρὰ καὶ νὰ συναναληφθεῖς ἔνδοξα καὶ νὰ συζήσεις μ' αὐτὸν αἰώνια. Μαλάκωσε λοιπὸν τὸ κερὶ καὶ θὰ ἀπαλύνει, διότι ὅσο περισσότερο τὸ μαλακώσεις, θὰ βρεῖς μέσα σ' αὐτὸ τὰ νοήματα γιὰ αἰώνια ζωή, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας. Γένοιτο.

Ὅσο γιὰ τὸν ἀδελφὸ ποὺ βρίσκεται μαζί σου, βάσταξέ τον κατὰ τὴ δύναμή σου· διότι αὐτὸς ποὺ ὑγιαίνει ὀφείλει νὰ

δύναμίν σου· ὁ γὰρ ὑγιαίνων ὀφείλει βαστάζειν τὸν ἀσθενοῦντα, ἕως οὗ ποιήσει ὁ Θεὸς τὸ συμφέρον αὐτῷ.

Χαίρετε ἐν Κυρίῳ.

ΡΚΓ'

***Αἴτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Ἅγιε πάτερ, εὐλόγησόν με πνευματικὴν εὐλογίαν, καὶ ἁγίασόν μοι τὸ ἀποσταλέν σοι κουκούλιον καὶ τὸν ἀνάλαβον, ἵνα ἔχω αὐτὰ σκέπην ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν ἀπὸ παντὸς κακοῦ.

Ἀπόκρισις

Αδελφὲ ἀγαπητέ, εἰ ὁ Δεσπότης Χριστὸς ὁ πάντα δυνάμενος, ὁ Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἔλεγε τῷ προσελθόντι αὐτῷ «κατὰ τὴν πίστιν σου γενηθήτω σοι», ἐγὼ ὁ πτωχὸς καὶ πένης τί ἔχω εἰπεῖν; Ἀλλ' ὁ Θεὸς τῶν εὐλογιῶν, εὐλογήσοι σε ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ, καὶ πάσῃ χάριτι δικαιοσύνης, καὶ ποιήσοι σε συμμέτοχον τῆς λαμπρότητος τῶν ἁγίων, κληρονόμον τῆς βασιλείας, ἐλευθερούμενον ἀπὸ τῶν παθῶν τῆς ἀτιμίας, εὐχαῖς καὶ πρεσβείαις πάντων τῶν ἁγίων. Ἀμήν.

Περὶ δὲ ὧν ᾔτησας, ὁπότε οὕτω πληροφορῇ, φορῶ αὐτὰ τρεῖς ἡμέρας καὶ πέμπω σοι αὐτά, ὅταν ἁγιάζωνται διὰ τῆς πρὸς Θεὸν συντυχίας τῆς διὰ τῶν ἁγίων προσευχῶν· δι' ἧς καὶ σὺ εὖξαι ὑπὲρ ἐμοῦ, παρακαλούμενος.

ΡΚΔ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Πῶς, πάτερ, ἐπιγινώσκω ἐν τῷ κελλίῳ, εἰ κόπτω τὸ θέ-

βαστάζει ἐκεῖνον ποὺ ἀσθενεῖ, ὡς ποὺ ὁ Θεὸς θὰ κάνει ἐκεῖνο ποὺ συμφέρει σ' αὐτόν.

Νὰ χαίρεσθε ἐν Κυρίῳ.

123

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

῞Αγιε πάτερ, εὐλόγησέ με μὲ πνευματικὴ εὐλογία καὶ ἁγίασέ μου τὸ κουκούλιο ποὺ σοῦ ἔστειλα καὶ τὸν ἀνάλαβο[24], γιὰ νὰ τὸ ἔχω προστασία ἀπὸ κάθε κακὸ μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας.

Ἀπόκριση

Ἀγαπητὲ ἀδελφέ, ἐὰν ὁ Δεσπότης Χριστός, ὁ ὁποῖος μπορεῖ τὰ πάντα, ὁ Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἔλεγε σ' αὐτὸν ποὺ ἦρθε κοντά του, ἂς γίνει σύμφωνα μὲ τὴν πίστη σου, ἐγὼ ὁ φτωχὸς καὶ ζητιάνος τί μπορῶ νὰ πῶ; Ἀλλὰ ὁ Θεὸς τῶν εὐλογιῶν νὰ σὲ εὐλογήσει μὲ κάθε πνευματικὴ εὐλογία καὶ μὲ κάθε χάρη δικαιοσύνης, καὶ νὰ σὲ κάνει συμμέτοχο τῆς λαμπρότητας τῶν ἁγίων, κληρονόμο τῆς βασιλείας, ἐλεύθερο ἀπὸ τὰ πάθη τῆς ἀτιμίας, μὲ τὶς εὐχὲς καὶ τὶς μεσολαβήσεις τῶν ἁγίων. Γένοιτο.

῞Οσο γι' αὐτὰ ποὺ ζήτησες, ὅποτε ἔλθει ἡ ἄνωθεν πληροφορία, θὰ τὰ φορέσω τρεῖς μέρες καὶ θὰ σοῦ τὰ στείλω, ἀφοῦ ἁγιασθοῦν μὲ τὴ συνομιλία πρὸς τὸ Θεὸ διὰ τῶν προσευχῶν τῶν ἁγίων. Μ' αὐτὴν λοιπὸν προσευχήσου καὶ σὺ παρακαλώντας γιὰ μένα.

124

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Πάτερ, πῶς θὰ ἀντιληθῶ μέσα στὸ κελλί, ἐὰν κόβω τὸ θέ-

---

24. Εἶναι τὸ πολυσταύριο, γνώρισμα τώρα τοῦ μεγαλοσχήμου μοναχοῦ.

λημά μου· ὁμοίως δὲ καὶ ὢν μετὰ τῶν ἀνθρώπων· καὶ τί ἐστι 'θέλημα σαρκικὸν' καὶ 'θέλημα τὸ ἐκ τῶν δαιμόνων κεκαλυμμένον τῷ ἀγαθῷ' καὶ 'τὸ τοῦ Θεοῦ θέλημα';

Ἀπόκρισις

Τὸ κόψαι τὸ θέλημα ἐν τῷ κελλίῳ καθήμενον, ἐστὶ τὸ καταφρονῆσαι τῆς σαρκικῆς ἀναπαύσεως κατὰ πάντα· τὸ δὲ θέλημα τῆς σαρκός ἐστι, τὸ ποιῆσαι τὴν ἀνάπαυσιν αὐτῆς εἰς οἱονδήποτε πρᾶγμα. Εἰ οὐ ποιεῖς τὴν ἀνάπαυσιν αὐτῆς, κόπτεις τὸ θέλημά σου καθήμενος ἐν τῷ κελλίῳ σου· τὸ δὲ κόψαι τὸ θέλημα ὄντα μετὰ τῶν ἀνθρώπων, τὸ ἀποθανεῖν ἀπ' αὐτῶν ἐστι καὶ εἶναι μετ' αὐτῶν ὡς μὴ ὄντα. Τὸ δὲ θέλημα τὸ κατὰ Θεόν ἐστι, τὸ κόψαι τὸ θέλημα τῆς σαρκὸς κατὰ τὸν Ἀπόστολον. Τὸ δὲ θέλημα τὸ ἀπὸ τῶν δαιμόνων, τὸ δικαίωμά ἐστι, καὶ τὸ πιστεύειν ἑαυτῷ καὶ τότε παγιδεύεται.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ, καὶ συγχώρησόν μοι.

ΡΚΕ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Ποίαν δεῖ καθ' ἡμέραν ἐμαυτῷ διοικῆσαι τροφήν;

Ἀπόκρισις

Τὸ διοικῆσαι τὴν καθ' ἡμέραν τροφὴν εἰς τὸ κελλίον, καθὼς ἠρώτησας, εἰς μέριμναν βάλλει σε καὶ πόλεμον, ἀλλ' ὡς κατευοδοῖ ὁ Θεός, δίαγε· «ὃς γὰρ πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς».

λημά μου, ὅμοια καὶ ὅταν εἶμαι μαζὶ μὲ τοὺς ἀνθρώπους. Καὶ τί εἶναι τὸ θέλημα τὸ σαρκικὸ καὶ τὸ θέλημα ποὺ καλύπτεται δαιμονικὰ ἀπὸ τὸ ἀγαθὸ καὶ τὸ θελημα τοῦ Θεοῦ;

'Απόκριση

Τὸ νὰ κόψεις τὸ θέλημα μέσα στὸ κελλὶ εἶναι νὰ ἀργεῖς, ὥστε νὰ περιφρονήσεις ἐντελῶς τὴ σαρκικὴ ἀνάπαυση· καὶ τὸ θέλημα τῆς σάρκας εἶναι τὸ νὰ ἀναπαύεις αὐτὴ σὲ ὁποιοδήποτε πρᾶγμα. Ἐὰν λοιπὸν κάνεις τὴν ἀνάπαυση αὐτῆς, κόβεις τὸ θέλημά σου καθήμενος στὸ κελλί σου· τὸ νὰ κόψεις τὸ θέλημα ὅταν εἶσαι μαζὶ μὲ ἀνθρώπους, εἶναι τὸ νὰ πεθάνεις ἀπὸ αὐτούς, καὶ νὰ εἶσαι μαζί τους σὰν νὰ μὴ ὑπάρχεις. Καὶ τὸ θέλημα ποὺ εἶναι σύμφωνο μὲ τὸ Θεὸ εἶναι νὰ τὸ κόψεις τὸ θέλημα τῆς σάρκας κατὰ τὸν 'Απόστολο. Τὸ θέλημα πάλι ἀπὸ τοὺς δαίμονες, εἶναι ἡ δικαιοσύνη καὶ ἡ πίστη στὸν ἑαυτό σου, ὁπότε παγιδεύεται.

Προσευχήσου γιὰ μένα, ἀδελφέ, καὶ συγχώρεσέ με.

125

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Ποιά τροφὴ πρέπει νὰ παρέχω στὸν ἑαυτό μου κάθε ἡμέρα;

'Απόκριση

Τὸ νὰ ἐξασφαλίζεις τὴν καθημερινὴ τροφὴ στὸ κελλὶ ὅπως ἐρώτησες, σὲ βάζει σὲ μέριμνα καὶ πόλεμο, ἀλλὰ ζῆσε ὅπως σὲ ὁδηγεῖ ὁ Θεός· «διότι ὅποιος βαδίζει ἁπλᾶ, βαδίζει μὲ πίστη»[25].

---

25. Παρμ. 10,9.

ΡΚS'

Τοῦ αὐτοῦ πρὸς αὐτόν.

Ἆρα καλόν ἐστι τὸ ἀδολεσχεῖν με εἰς τό, «Κύριε Ἰησοῦ Χριστέ, ἐλέησόν με», ἢ μᾶλλον ἀποστηθίζειν ἐκ τῆς θείας Γραφῆς καὶ στιχολογεῖν ψαλμούς;

Ἀπόκρισις

Τὰ ἀμφότερα δεῖ ποιεῖν, ὀλίγον οὕτω καὶ ὀλίγον οὕτω· γέγραπται γάρ, «ταῦτα ἔδει ποιεῖν, κἀκεῖνα μὴ ἀφιέναι».

ΡΚΖ'

Τοῦ αὐτοῦ πρὸς αὐτόν.

Ὅτε ψάλλω, ὀφείλω καθ' ἕκαστον ψαλμὸν τὸν «Πάτερ ἡμῶν» λέγειν, ἢ ἐν καιρῷ τὸ «Πάτερ ἡμῶν», καὶ τὰ λοιπὰ εἰς δεήσεις ἀναλίσκειν;

Ἀπόκρισις

Τὸ ἅπαξ εἰπεῖν τὸ «Πάτερ ἡμῶν», καὶ ἅπαξ δεήσεις τὸ αὐτό ἐστι.

ΡΚΗ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Εἰ δεῖ ἐπὶ τέλει τῆς ἑσπερινῆς ἢ νυκτερινῆς δοξολογίας μνημονεύειν τῆς εἰρήνης τῶν ἁγίων Ἐκκλησιῶν, τοῦ βασιλέως, τῶν ἀρχόντων, τῶν λαῶν καὶ πτωχῶν καὶ χηρῶν καὶ ὅσα τοιαῦτα· κἂν ὁ αἰτηθεὶς οἶδεν ἑαυτὸν ἐμπαθῆ, ὀφείλει εὔξασθαι.

126

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἄραγε εἶναι καλὸ νὰ ἀσχολοῦμαι ἐπίμονα μὲ τό, 'Κύριε Ἰησοῦ Χριστέ, ἐλέησέ με' ἢ νὰ ἀποστηθίζω μᾶλλον ἀπὸ τὴ θεία Γραφὴ καὶ νὰ στιχολογῶ ψαλμούς;

Ἀπόκριση

Καὶ τὰ δύο νὰ τὰ κάνεις, λίγο ἔτσι καὶ λίγο ἀλλιῶς· διότι ἔχει γραφεῖ «κι' αὐτὰ νὰ τὰ κάνεις, καὶ ἐκεῖνα νὰ μὴ τ' ἀφήσεις»[26].

127

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ὅταν ψάλλω, ὀφείλω νὰ λέγω σὲ κάθε ψαλμὸ τὸ «Πάτερ ἡμῶν», ἢ κάποιον καιρὸ τὸ «Πάτερ ἡμῶν», καὶ τὸν ὑπόλοιπο νὰ τὸν ἀφιερώνω στὶς δεήσεις;

Ἀπόκριση

Τὸ νὰ πεῖς μία φορὰ τὸ «Πάτερ ἡμῶν» καὶ μία φορὰ τὶς δεήσεις εἶναι τὸ ἴδιο.

128

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Ἐὰν πρέπει στὸ τέλος τῆς ἑσπερινῆς ἢ νυκτερινῆς δοξολογίας νὰ μνημονεύει κανεὶς τὴν εἰρήνη τῶν ἁγίων Ἐκκλησιῶν, τοῦ βασιλέα, τῶν ἀρχόντων, τῶν λαῶν, τῶν πτωχῶν καὶ τῶν χηρῶν καὶ τὰ παρόμοια. Καὶ ἂν αὐτὸς ποὺ ἔλαβε τὴν αἴτηση νὰ προσευχηθεῖ, ἀλλὰ γνωρίζει τὸν ἑαυτό του ἐμπαθῆ, πρέπει νὰ προσεύχεται.

---

26. Ματθ. 23,23.

Ἀπόκρισις

Καλόν ἐστι μνημονεύειν ἐν τῇ εὐχῇ τῆς εἰρήνης τῶν ἁγίων Ἐκκλησιῶν, καὶ τῶν ἄλλων ἑπομένων, ἀλλ' ὡς ἀνάξιον καὶ μὴ ἔχοντα δύναμιν εἰς τοῦτο· ἀποστολικὸν γάρ ἐστι παράγγελμα. Καὶ ὑπὲρ τοῦ αἰτοῦντος καλόν ἐστιν εὔξασθαι. Ἔστι γὰρ εὐαγγελικὸς καὶ ἀποστολικὸς ὁ λόγος, «παντὶ τῷ αἰτοῦντί σε δός», καὶ τό, «εὔξασθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε»· καὶ πάλιν, «καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ὁμοίως ποιεῖτε αὐτοῖς». Καὶ ὑπὲρ Ἀποστόλων ηὔχοντό τινες. Ὁ οὖν ἀμελῶν τῆς ἐντολῆς, ἑαυτὸν κατακρίνει. Ὥστε οὖν δυνάμενος μὴ δυνάμενος, ἀναγκάζω ἐμαυτὸν διὰ τὴν ἐντολήν.

ΡΚΘ'

Τοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν καὶ τοὺς συνόντας αὐτῷ ἀδελφούς, αἰτήσαντας τὴν ἐκ τῆς εὐχῆς βοήθειαν κατὰ τῶν ἐχθρῶν καὶ ὥστε εἰπεῖν αὐτοῖς τὸν βίον τοῦ ἄλλου γέροντος ἀββᾶ Ἰωάννου.

Ἀπόκρισις

Χαίρετε ἐν Κυρίῳ, παιδία ποθεινότατα καὶ προσφιλέστατα· ὁ Κύριος πληρώσοι ὑμῶν τὰ αἰτήματα ἐν πολλοῖς ἀγαθοῖς, καὶ ἀσθενήσοι ἐν ὑμῖν τὸ τόξον τῶν δυνατῶν, καὶ ὑμεῖς περιζώσοισθε δύναμιν. Θαυμάζω, εἰ θέλετε τὴν ὠφέλειαν τῶν ψυχῶν ὑμῶν ὡς ἐγὼ θέλω, καὶ παρακαλῶ τὸν Θεὸν νύκτα καὶ ἡμέραν περὶ τῆς ὑμῶν σωτηρίας. Οὐκ εἶπον 'οὐ θέλετε', ἀλλ' ὅτι 'οὐκ οἴδατε'· ἀπεντεῦθεν γὰρ φανεραί εἰσιν αἱ τάξεις καὶ οἱ βαθμοὶ καὶ τὰ μέτρα καὶ ποῦ ἔσται ἡ κληρονομία.

---

27. Λουκᾶ 6,30.

Ἀπόκριση

Εἶναι καλὸ νὰ μνημονεύει κἀνεὶς στὴν προσευχὴ τὴν εἰρήνη τῶν ἁγίων Ἐκκλησιῶν καὶ τῶν ἄλλων ποὺ ἀκολουθοῦν, ἀλλὰ σὰν ἀνάξιος ποὺ δὲν ἔχει δύναμη γι' αὐτό· διότι τὸ παράγγελμα εἶναι ἀποστολικό. Καὶ εἶναι καλὸ νὰ προσεύχεται ὑπὲρ ἐκείνου ποὺ ζητεῖ. Διότι ὁ λόγος εἶναι εὐαγγελικὸς καὶ ἀποστολικός· «δῶσε στὸν καθένα ποὺ ζητεῖ»[27]· καὶ τὸ «προσευχηθεῖτε ὁ ἕνας γιὰ τὸν ἄλλο γιὰ νὰ σωθεῖτε»[28]· καὶ πάλι, «ὅπως θέλετε νὰ κάνουν σὲ σᾶς οἱ ἄνθρωποι, καὶ σεῖς νὰ κάνετε τὸ ἴδιο σ' αὐτούς»[29]. Μερικοὶ προσεύχονταν καὶ ὑπὲρ τῶν Ἀποστόλων. Αὐτὸς λοιπὸν ποὺ παραμελεῖ τὴν ἐντολή, κατακρίνει τὸν ἑαυτό του. Ὥστε λοιπὸν εἴτε μπορῶ εἴτε δὲν μπορῶ, ἀναγκάζω τὸν ἑαυτό μου ἐξαιτίας τῆς ἐντολῆς.

129

Τοῦ μεγάλου Γέροντα πρὸς τὸν ἴδιο καὶ πρὸς τοὺς ἀδελφοὺς ποὺ ἦταν μαζί του, ποὺ τοῦ ζήτησαν τὴ βοήθεια ἀπὸ τὴν προσευχὴ κατὰ τῶν ἐχθρῶν καὶ νὰ πεῖ σ' αὐτοὺς τὸν βίο τοῦ ἄλλου γέροντα ἀββᾶ Ἰωάννη.

Ἀπόκριση

Πολυπόθητὰ καὶ προσφιλέστατα τέκνα μου, νὰ χαίρεσθε ἐν Κυρίῳ· ὁ Κύριος νὰ ἱκανοποιήσει τὰ αἰτήματά σας μὲ πολλὰ ἀγαθά, καὶ νὰ ἀποδυναμώσει σὲ σᾶς τὸ τόξο τῶν δυνατῶν καὶ νὰ λάβετε δύναμη. Ἀπορῶ ἐὰν θέλετε τὴν ὠφέλεια τῶν ψυχῶν σας, ὅπως ἐγὼ θέλω καὶ παρακαλῶ τὸ Θεὸ νύχτα καὶ ἡμέρα γιὰ τὴ σωτηρία σας. Δὲν εἶπα ὅτι 'δὲ θέλετε', ἀλλὰ ὅτι δὲν γνωρίζετε· διότι ἀπὸ ἐδῶ εἶναι φανερὲς οἱ τάξεις

28. Ἰακ. 5,16.
29. Λουκᾶ 6,31.

Καὶ καθὼς ἄνθρωπος λαμπρὸς κατὰ τὸν κόσμον καὶ πεπειραμένος ἐν ταῖς τοῦ βίου τούτου πραγματείαις, καὶ γινώσκων τὴν μεγαλειότητα καὶ ὑπεροχὴν καὶ τὰς τιμὰς τῶν στρατιωτῶν, πυκτεύει στρατεῦσαι ἐν μεγαλειότητι τὰ τέκνα αὐτοῦ, αὐτὰ δὲ ὡς ἄπειρα ἀμεριμνοῦσι, τάχα δὲ μὴ γινώσκοντα τὰς τιμὰς τῶν μεγάλων στρατιωτῶν, ἐπιποθοῦσιν εἶναι τεχνῖται τῶν χειροτεχνῶν, οὕτως εἰμὶ πρὸς ὑμᾶς. Ἀλλὰ συγχωρήσατέ μοι, ὡς γὰρ ἄνθρωπος παραφρονῶν ἐλάλησα. Ἐλθὼν γὰρ εἰς ἐμαυτόν, ἐμνήσθην, ὅτι γῆ εἰμι καὶ σποδός, πάντων τῶν κακῶν θύλαξ, ἐπένθησα. Τί ἐλάλησα καὶ εἶπα; τί ἐκαυχήσατο γῆ καὶ σποδός; Ἀλλ' ὅμως, ἐπειδὴ ἔφθασα εἰπεῖν, ὅτι 'ἐπιποθῶ τὴν σωτηρίαν ὑμῶν καὶ παντὸς ἀγαθοῦ πρόξενος ὑμῖν θέλω γενέσθαι', ἐὰν τοῦτο δυνηθῶ, ποιῶ τὴν δύναμίν μου.

Περὶ δὲ τῆς διαγωγῆς τοῦ ὁμοψύχου τέκνου, εὐλογημένου καὶ ταπεινοῦ ὑπηκόου, τοῦ κατὰ πάντα ἀρνησαμένου ἕως θανάτου τὰ θελήματα αὐτοῦ πάντα, τί ἔχω εἰπεῖν; Εἶπεν ὁ Κύριος· «ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα»· καὶ περὶ τοῦ μαθητοῦ εἶπεν ὅτι δύναται κατὰ τὸν διδάσκαλον αὐτοῦ. «Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω».

Συγχωρήσατέ μοι, καὶ εὔξασθε ὑπὲρ ἐμοῦ.

ΡΑ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Αἴτησις περὶ τῆς ὑγείας τοῦ ἀββᾶ, χρονίσαντος ἐν τῇ ἀσθενείᾳ. Καὶ περὶ τῶν ψυχικῶν παθῶν. Καὶ εἰ δεῖ τὸν πλησίον οἰκοῦντα γέροντα ἐπισκέπτεσθαι· καὶ πόθεν τὸ σῶμα κακῶς συγκέρασται.

Ἀπόκρισις

Χαίροις, ἀδελφέ, ἐν Κυρίῳ. Περὶ τῆς ὑγείας τοῦ υἱοῦ μου, ἠδύναντό τινες τῶν ἐνταῦθα ἁγίων δεηθῆναι τοῦ Θεοῦ, καθὼς καὶ αὐτὸν ἐπληροφόρησα, ἵνα ποιήσῃ

---

30. Β' Κορ. 11,23. 31. Ἰω. 14,9. 32. Λουκᾶ 6,40.

καὶ οἱ βαθμοὶ καὶ τὰ μέτρα καὶ ποῦ θὰ εἶναι ἡ κληρονομία. Καὶ ὅπως ἕνας λαμπρὸς μέσα στὸν κόσμο ἄνθρωπος καὶ πεπειραμένος μέσα στὶς ὑποθέσεις τοῦ βίου αὐτοῦ, ποὺ γνωρίζει τὴ μεγαλειότητα καὶ ὑπεροχὴ καὶ τὶς τιμὲς τῶν στρατιωτῶν, ἀγωνίζεται νὰ στρατεύσει στὴ μεγαλειότητα τὰ παιδιά του, αὐτὰ ὅμως σὰν ἄπειρα ἀμεριμνοῦν, καὶ ἴσως μὴ γνωρίζοντας τὶς τιμὲς τῶν μεγάλων στρατιωτῶν ἐπιθυμοῦν νὰ γίνουν τεχνίτες τῶν χειρονακτικῶν τεχνῶν, τὸ ἴδιο εἶμαι κι ἐγὼ σὲ σᾶς. Ἀλλὰ συγχωρῆστε με, διότι μίλησα σὰν παράφρονας[30]. Διότι, ἀφοῦ συνῆλθα, θυμήθηκα ὅτι εἶμαι χῶμα καὶ στάχτη καὶ δοχεῖο ὅλων τῶν κακῶν καὶ ἐπένθησα. Τί μίλησα καὶ εἶπα; Τί καυχήθηκε τὸ χῶμα καὶ ἡ στάχτη; Ἀλλ' ὅμως, ἐπειδὴ πρόλαβα νὰ πῶ ὅτι 'ἐπιθυμῶ τὴ σωτηρία σας καὶ θέλω νὰ γίνω σὲ σᾶς πρόξενος κάθε ἀγαθοῦ', ἐὰν τὸ μπορέσω αὐτό, πράττω κατὰ τὴ δύναμή μου.

Ὅσο γιὰ τὴ διαγωγὴ τοῦ ὁμόψυχου τέκνου, εὐλογημένου καὶ ταπεινοῦ ὑπηκόου, ποὺ ἀρνήθηκε μὲ κάθε τρόπο ὅλα τὰ θελήματά του μέχρι τὸ θάνατο, τί μπορῶ νὰ πῶ ἐγώ; Ὁ Κύριος εἶπε· «αὐτὸς ποὺ εἶδε ἐμένα, εἶδε τὸν Πατέρα»[31]· καὶ γιὰ τὸν μαθητὴ εἶπε· ὅτι μπορεῖ σύμφωνα μὲ τὸν διδάσκαλό του[32]. «Αὐτὸς ποὺ ἔχει αὐτιὰ νὰ ἀκούει, ἂς ἀκούει».

Συγχωρῆστε με καὶ προσευχηθεῖτε γιὰ μένα.

130

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Παράκληση γιὰ τὴν ὑγεία τοῦ ἀββᾶ ποὺ χρόνισε μέσα στὴν ἀσθένεια. Καὶ γιὰ τὰ ψυχικὰ πάθη. Ἐπίσης ἐὰν πρέπει νὰ ἐπισκέπτεται τὸν γέροντα ποὺ κατοικεῖ κοντά, καὶ γὰ ποιό λόγο τὸ σῶμα ἔχει ἀναμιχθεῖ ἄσχημα μὲ τὰ κακά.

Ἀπόκριση

Ἀδελφέ, χαῖρε ἐν Κυρίῳ. Γιὰ τὴν ὑγεία τοῦ υἱοῦ μου θὰ μποροῦσαν μερικοὶ ἀπὸ τοὺς ἐδῶ ἁγίους νὰ παρακαλέσουν τὸ Θεό, ὅπως πληροφόρησα καὶ τὸν ἴδιο, νὰ τὸν

αὐτὸν μὴ ἀσθενῆσαι μηδεμίαν ἡμέραν, καὶ ἐγίνετο οὕτως· ἀλλ' οὐκ εἶχεν ἔχειν καρποὺς ὑπομονῆς. Οὐκ οἶδεν αὐτὸς τί ὑπέμεινα; ἀρρωστίας, πυρετούς, θλίψεις, ἕως οὗ ἦλθον εἰς τὸν λιμένα τοῦτον τῆς εὐδίας. Πολλὰ ὠφέλησεν αὐτὸν ἡ ἀσθένεια εἰς τὴν ὑπομονὴν καὶ τὴν εὐχαριστίαν.

Περὶ δὲ τῶν παθῶν, δουλαγωγῆσαι ὀφείλει τις τὸ σῶμα αὐτοῦ ἐν τῇ ἐνδείᾳ καὶ θλίψει κατὰ τὸ δυνατόν.

Τὸ ἐπισκέπτεσθαι τὸν ἀδελφόν, καλόν ἐστι, τὸ δὲ ἀργολογῆσαι, σαπρόν ἐστι· εἰς δοκιμὴν φέρει σε τὸ πρᾶγμα. Ἐπίσκεψαι τὸν πλησίον καὶ φύλαξαι τοῦ μὴ ἀργολογῆσαι, ἀλλὰ κατὰ τὰς συντυχίας τῶν ἁγίων Πατέρων, οἷον, 'πῶς ἔχεις ἀββᾶ;' καὶ τὸ λοιπόν, 'εἰπὲ ἡμῖν λόγον ζωῆς, πῶς εὑρίσκομεν τὴν ὁδὸν τοῦ Θεοῦ· εὖξαι ὑπὲρ ἐμοῦ, ὅτι πολλὰς ἔχω ἁμαρτίας', καὶ τὰ ὅμοια τούτοις καὶ εὐχήν· καὶ ἀναχώρησον ἀπ' αὐτοῦ μετ' εἰρήνης. Τὸ βάρος τοῦ σώματός σου κακῶς συγκεκέρασται ἐκ τῆς χαυνότητός σου καὶ τοῦ βάρους τῶν δαιμόνων.

Ἐνδυναμώσοι σε ὁ Θεὸς πρὸς αὐτοὺς τοῦ νομίμως ἀθλῆσαι καὶ νικῆσαι καὶ στεφανωθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ.

ΡΛΑ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν.*

Ἀδελφέ, σὺ εἶπας, ὅτι ἀσθενῶ ψυχῇ καὶ σώματι· καὶ διατί οὐχ ὡμολόγησας, ὅτι ὑγιαίνεις τῷ θελήματί σου; Περὶ ψυχῆς καὶ σώματος οὐκ οἶδας τί σοι συμφέρει· περὶ δὲ τοῦ θελήματος, οὐδὲ μύριοι μηχανικοὶ οἴδασι κατὰ σέ. Οὐκ οἶδας ὅτι ἀεὶ δάκνω σε ἅπαξ καὶ ἅπαξ; Εἰ δύνασαι βαστάσαι, βάστασον· ἐγὼ γὰρ ὡς ἄφρων λαλῶ. Ἐπειδὴ οὖν ἄφρων

κάνει νὰ μὴ ἀρρωστήσει καμμία μέρα καὶ θὰ γινόταν ἔτσι, ἀλλὰ αὐτὸς δὲ θὰ μποροῦσε νὰ ἔχει τοὺς καρποὺς τῆς ὑπομονῆς. Δὲν γνωρίζει αὐτὸς τί ὑπέφερα; ἀρρώστιες, πυρετούς, θλίψεις, μέχρι ποὺ ἔφθασα στὸ λιμάνι αὐτὸ τῆς ἡσυχίας. Ἡ ἀσθένεια τὸν ὠφέλησε πολὺ στὴν ὑπομονὴ καὶ τὴν εὐχαριστία.

Ὡς πρὸς τὰ πάθη, ὀφείλει κανεὶς νὰ ὑποδουλώσει ὅσο μπορεῖ τὸ σῶμα του μέσα στὴ ἀνέχεια καὶ τὴ θλίψη.

Τὸ νὰ ἐπισκέπτεσαι τὸν ἀδελφό, εἶναι καλό, τὸ νὰ ἀργολογεῖς ὅμως εἶναι κακό, διότι τὸ πρᾶγμα σὲ ὁδηγεῖ σὲ δοκιμασία. Ἐπισκέψου τὸν πλησίον καὶ φυλάξου, ὥστε νὰ μὴ ματαιολογεῖς, ἀλλὰ σύμφωνα μὲ τὶς συναντήσεις τῶν ἁγίων Πατέρων, νὰ λέγεις, γιὰ παράδειγμα, 'Τί κανεις ἀββᾶ;' Καὶ ἔπειτα, 'Πές μας λόγο ζωῆς, πῶς βρίσκουμε τὴν ὁδὸ τοῦ Θεοῦ· προσευχήσου γιὰ μένα, ἐπειδὴ ἔχω πολλὲς ἁμαρτίες', καὶ τὰ ὅμοια μ' αὐτά, καὶ τέλος νὰ κάμετε προσευχή· καὶ φύγε ἀπ' αὐτὸν μὲ εἰρήνη. Τὸ βάρος τοῦ σώματός σου ἔχει ἀνακατευτεῖ ἄσχημα μὲ τὴ χαυνότητά σου καὶ ἀπὸ τὸ βάρος τῶν δαιμόνων.

Ὁ Θεὸς εἴθε νὰ σὲ δυναμώσει ὅπως αὐτοὺς ποὺ ἄθλησαν νόμιμα καὶ νίκησαν καὶ στεφανώθηκαν, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες. Γένοιτο.

Προσευχήσου, ἀδελφέ, γιὰ μένα.

131

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο.

Ἀδελφέ, ἐσὺ εἶπες ὅτι "Ἀσθενῶ στὴν ψυχὴ καὶ στὸ σῶμα'· καὶ γιατί δὲν ὁμολόγησες, ὅτι ὑγιαίνεις στὸ θέλημά σου; Δὲν γνωρίζεις τί σὲ συμφέρει γιὰ τὴν ψυχὴ καὶ τὸ σῶμα· γιὰ τὸ θέλημα ὅμως οὔτε μύριοι μηχανικοὶ δὲν τὸ γνωρίζουν ὅπως ἐσύ. Δὲν γνωρίζεις ὅτι πάντοτε σὲ κεντρίζω κάθε φορά; Ἐὰν μπορεῖς νὰ βαστάξεις, βάσταξε· διότι ἐγὼ μιλῶ σὰν ἄφρονας. Ἐπειδὴ λοιπὸν εἶμαι ἄφρονας, καὶ σὺ ὁ ἴδιος λέ-

εἰμί, καὶ αὐτὸς αὐτὸ λέγεις· τὸ γὰρ εἰπεῖν 'οὐκ οἶδα τί συμφέρει μοι', τοῦτό ἐστίν.

Ὁ Κύριος δώῃ ὑμῖν σύνεσιν ἐν πᾶσι. Συγχώρησόν μοι καὶ εὖξαι ὑπὲρ ἐμοῦ.

ΡΛΒ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν. Ἐρώτησις καὶ αἴτησις περὶ εὐχῆς.

Δέομαί σου, τίμιε πάτερ, φανέρωσόν μοι περὶ τοῦ θελήματος τοῦ καλοῦ καὶ τοῦ κακοῦ τί ἐστι, ἵνα μὴ ὡς ἔτυχε παρέλθω τοὺς ἁγίους λόγους σου, καὶ συγχώρησόν μοι καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ἵνα ρυσθῶ ἐκ τοῦ Διαβόλου καὶ τῆς αὐτοῦ ταραχῆς.

Ἀπόκρισις

Αδελφέ, πᾶσα ἀνάπαυσις σαρκὸς βδέλυγμα τῷ Θεῷ ἡμῶν ἐστιν· αὐτὸς γὰρ εἶπε, «στενὴ καὶ τεθλιμμένη ἐστὶν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν». Ὁ οὖν ἐπιλεγόμενος αὐτήν, τοῦτο καλὸν θέλημά ἐστι· καὶ ὁ κρατῶν αὐτήν, ἐπιλέγεται εἰς πᾶν πρᾶγμα ἑαυτῷ θλῖψιν ἑκουσίως κατὰ τὴν δύναμιν. Οὐκ οἶδας τί λέγει ὁ Ἀπόστολος; «ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ»· βλέπεις ὅτι καὶ μὴ θέλοντος τοῦ σώματος ὁ θεῖος ἀνὴρ ἑκουσίως ἐδουλαγώγει; Ὁ ἔχων τὸ καλὸν τοῦτο θέλημα τῆς σωτηρίας, εἰς οἱονδήποτε πρᾶγμα τῶν χρειῶν αὐτοῦ συμμίσγει μικρὰν θλῖψιν. Οἷόν τι λέγω· εὑρίσκω κοιμηθῆναι ἐπάνω πλουμακίων, θλίψω ἐμαυτὸν μικρόν, εἴγε θλῖψίς ἐστι, καὶ κοιμηθῶ ἐπάνω κροκιδίων διὰ τὴν ἀσθένειαν τοῦ σώματος, αἰσχυνόμενος ὅτι ἄλλοι χαμευνοῦσιν, ἄλλοι ἐπάνω

γεις τὸ ἴδιο· διότι τὸ νὰ πεῖς, 'Δὲ ξέρω τί μὲ συμφέρει', αὐτὸ δείχνει.

Ὁ Κύριος νὰ σᾶς δώσει σύνεση σὲ ὅλα. Συγχώρησέ με καὶ προσευχήσου γιὰ μένα.

132

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο. Ἐρώτηση καὶ παράκληση γιὰ προσευχή.

> Τίμιε Πάτερ, σὲ παρακαλῶ νὰ μοῦ φανερώσεις γιὰ τὸ καλὸ καὶ τὸ κακὸ θέλημα τί εἶναι, γιὰ νὰ μὴ περάσω ἔτσι τυχαῖα τὰ ἅγια λόγια σου. Συγχώρεσέ με καὶ προσευχήσου γιὰ μένα, γιὰ νὰ ἀπαλλαγῶ ἀπὸ τὸν Διάβολο καὶ ἀπὸ τὴν ταραχή του.

Ἀπόκριση

Ἀδελφέ, κάθε ἀνάπαυση τῆς σάρκας εἶναι βδελυρὴ πράξη γιὰ τὸ Θεό μας· διότι αὐτὸς εἶπε, ἡ ὁδὸς ποὺ ὁδηγεῖ στὴ ζωὴ εἶναι στενὴ καὶ γεμάτη θλίψεις. Ἐκεῖνος λοιπὸν ποὺ τὴν διαλέγει, αὐτὸ εἶναι καλὸ θέλημα· καὶ ἐκεῖνος ποὺ τὴν κρατᾶ ἑκούσια, διαλέγει γιὰ τὸν ἑαυτό του θλίψη γιὰ κάθε πρᾶγμα, κατὰ τὴ δύναμή του. Δὲν γνωρίζεις τί λέγει ὁ Ἀπόστολος; «καταπονῶ τὸ σῶμα μου καὶ τὸ ὑποδουλώνω»[33]. Βλέπεις ὅτι ὁ θεῖος ἄνδρας ἑκούσια τὸ ὑποδούλωνε ἀκόμα καὶ ἂν τὸ σῶμα δὲν ἤθελε; Ἐκεῖνος ποὺ ἔχει αὐτὸ τὸ καλὸ θέλημα τῆς σωτηρίας, ἀναμιγνύει λίγη θλίψη σὲ ὁποιοδήποτε πρᾶγμα ἀπὸ τὰ ἀναγκαῖα του. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· βρίσκω νὰ κοιμηθῶ πάνω σὲ μαλακὰ στρώματα, θὰ στενοχωρήσω λίγο τὸν ἑαυτό μου, ἐὰν βέβαια αὐτὸ εἶναι θλίψη, καὶ θὰ κοιμηθῶ πάνω σὲ σκληρὰ στρώματα, ἐξαιτίας τῆς ἀδυναμίας τοῦ σώματος, ντρεπόμενος, ἐπειδὴ ἄλλοι κοιμοῦνται κατάχαμα, ἄλλοι πάνω σὲ ἀχυρένια

---

33. Α' Κορ. 9,27.

προσκεφαλαδίων ἀχύρων, καθὼς καὶ ὁ ἐν ἁγίοις Ἀρσένιος καὶ ἄλλοι πολλοί, ἄλλοι δὲ ἀκάνθας ἔβαλλον ἐπὶ τὴν κεφαλὴν αὐτῶν, ἐπιλεγόμενοι τὴν θλῖψιν.

Εὑρίσκω ἐγγὺς τὰ ὕδατα; τὰ μαγειρεῖα ἔχοντα ἀνάπαυσιν; Ὡς ἐργάτης ὀφείλω ἐπιλέξασθαι μακρότερα, ἵνα κινήσω μου τὸ σῶμα εἰς μικρὰν θλῖψιν. Εὑρίσκω φαγεῖν καλῶς καὶ καθαρὸν ἄρτον; Ὀφείλω τὸ δευτερεῖον ἐπιλέξασθαι διὰ τὸ θλιβῆναι μικρόν, μνημονεύων τῶν μὴ παντελῶς γευσαμένων τῶν ὄψων, μάλιστα τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ γευσαμένου πικρίας καὶ ὄξους δι' ἐμέ. Τοῦτό ἐστι τὸ κατὰ Θεὸν θέλημα. Τὸ δὲ κατὰ σάρκα, πᾶσαν ἔχει ἀνάπαυσιν εἰς πάντα τὰ ἐναντία. Οὐκ οἶδας τί λέγομεν; 'κλεῖσον ταχέως τὴν θύραν, ἵνα μὴ ἀνεμισθῶ ἢ βραχῶ'· 'βλέψον, ἀδελφέ, ἐκάπνισας τὸ ἑψητὸν καὶ οὐ δύναμαι αὐτὸ φαγεῖν' καὶ τὰ λοιπά. Τοῦτό ἐστι τὸ κακὸν θέλημα· κόψον αὐτὸ καὶ σώζῃ· εἰ δὲ ἡττᾶσαι, κατάμεμψαι σεαυτὸν καὶ δικαίωσον τὸν πλησίον.

Ἀδελφὲ ὀκνηρέ, πληροφορήθητι ἐν Κυρίῳ, ὅτι ἐτάκη ὡς ἀράχνη ἡ ψυχή μου. Κόπος ἐστὶ τὸ σωθῆναι· καὶ πῶς πλανᾶταί τις, νομίζων κατὰ πάντα ἀναπαυόμενος σωθῆναι; Ἐὰν συγκοπιάσῃς μικρόν, δέομαι τοῦ Θεοῦ τοῦ δοῦναί σοι τὴν αἴτησίν σου, καὶ ὅταν μνημονεύῃς αὐτοῦ καὶ τῶν ἁγίων αὐτοῦ, ἀφίσταται ἀπὸ σοῦ ὁ Διάβολος καὶ ἡ ταραχὴ αὐτοῦ. Ἐὰν εἴπω ὅτι οὐκ εὔχομαι, ἵνα ἐνισχύσῃ ὑμᾶς ὁ Κύριος καὶ ἐνδυναμώσῃ εἰς πᾶν ἔργον ἀγαθόν, ψεύδομαι. Ἀλλὰ βιαστῶν ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ· ἐὰν μὴ βιασώμεθα ἡμᾶς αὐτοὺς μικρόν, πῶς ἔχομεν σωθῆναι; ἢ πῶς δύναται ἡ δέησις τῶν ἁγίων πολλὰ ἰσχύειν, ἐὰν μὴ ᾖ ἐνεργουμένη;

Εὖξαι ὑπὲρ ἐμοῦ.

ΡΛΓ'

Ἀπόκρισις τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν καὶ τοὺς συνοικοῦντας αὐτῷ.

στρώματα, ὅπως ὁ ἅγιος Ἀρσένιος καὶ ἄλλοι πολλοί, καὶ ὅτι ἄλλοι ἔβαλαν ἀγκάθια πάνω στὸ κεφάλι τους, ἐπειδὴ διάλεξαν τὴ θλίψη.

Βρίσκω κοντὰ τὰ νερά; τὰ μαγειρεῖα ποὺ παρέχουν ἀνάπαυση; Σὰν ἐργάτης ὀφείλω νὰ διαλέξω τὰ μακρύτερα, γιὰ νὰ προκαλέσω στὸ σῶμα μου μικρὴ θλίψη. Βρίσκω νὰ φάγω καλὰ καὶ καθαρὸ ψωμί; Ὀφείλω νὰ διαλέξω τὸ δεύτερο, γιὰ νὰ θλιβῶ λίγο, ἐνθυμούμενος αὐτοὺς ποὺ δὲ γεύθηκαν καθόλου τὰ ψωμιά, καὶ πρὸ πάντων τὸν Δεσπότη μας Ἰησοῦ, ποὺ γιὰ χάρη μου γεύθηκε χολὴ καὶ ξύδι. Αὐτὸ εἶναι τὸ κατὰ Θεὸν θέλημα. Ἐνῶ τὸ σαρκικὸ θέλημα ἔχει κάθε ἀνάπαυση σὲ ὅλα τὰ ἀντίθετα ἀπὸ αὐτά. Δὲν γνωρίζεις τί λέμε; 'κλεῖσε γρήγορα τὴ θύρα, γιὰ νὰ μὴ κρυώσω ἢ βραχῶ'· 'εἶδες, ἀδελφέ, μαύρισες τὸ φαγητὸ καὶ δὲν μπορῶ νὰ τὸ φάγω', καὶ τὰ ὑπόλοιπα. Αὐτὸ εἶναι τὸ κακὸ θέλημα· κόψε το καὶ θὰ σωθεῖς· καὶ ἐὰν νικιέσαι, κατάκρινε τὸν ἑαυτό σου καὶ δικαίωσε τὸν πλησίον σου.

Ὀκνηρὲ ἀδελφέ, μάθε ἐν Κυρίῳ, ὅτι ἡ ψυχή μου ἔλειωσε σὰν ἀράχνη. Χρειάζεται κόπος γιὰ νὰ σωθεῖ κανείς· πῶς λοιπὸν πλανιέται, ὥστε νὰ νομίζει ὅτι, ἂν ἀναπαύεται σὲ ὅλα, θὰ σωθεῖ; Ἐὰν συγκοπιάσεις λίγο, παρακαλῶ τὸ Θεὸ νὰ σοῦ δώσει τὴν αἴτησή σου, καὶ ὅταν μνημονεύεις αὐτὸν καὶ τοὺς ἁγίους του, απομακρύνεται ὁ Διάβολος καὶ ἡ ταραχή του ἀπὸ σένα. Ἐὰν πῶ ὅτι δὲν εὔχομαι νὰ σᾶς ἐνισχύσει ὁ Κύριος καὶ νὰ σᾶς δυναμώσει σὲ κάθε ἀγαθὸ ἔργο, λέγω ψέματα. Ἀλλὰ ἡ βασιλεία τοῦ Θεοῦ εἶναι τῶν βιαστῶν· ἐὰν δὲν βασανίσουμε λίγο τοὺς ἑαυτούς μας, πῶς μποροῦμε νὰ σωθοῦμε; ἢ πῶς ἡ δέηση τῶν ἁγίων μπορεῖ νὰ ἔχει μεγάλη δύναμη, ἐὰν δὲν ἐνεργεῖται;

Προσευχήσου γιὰ μένα.

133

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο καὶ πρὸς αὐτοὺς ποὺ μένουν μαζί του.

Ο Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν, εὐλογῆσαι ὑμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ, καὶ πάσῃ χάριτι δικαιοσύνης. Αὐτὸς δὲ μαρτυρεῖ, πῶς θέλω τὴν ἀνάπαυσιν παντὸς ἀνθρώπου, μάλιστα ὑμῶν καὶ ὡς ὁμοψύχοις λαλῶ ὑμῖν θέλουσι τὴν ὁδόν, ἣν ἐβαδίσαμεν στερούμενοι, θλιβόμενοι ἑκουσίως, ὁδεῦσαι διὰ τὸ ὄνομα αὐτοῦ.

Ἀδελφοί, οὐ μνημονεύω, ὅτι εὑρόντες τελείαν ἀνάπαυσιν, ἡρπάσαμεν αὐτήν, ἀλλὰ πάντως συμμίσγομεν πάντοθεν μικρὰν στένωσιν καὶ θλῖψιν, φοβούμενοι τὸν λέγοντα· «ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου» καὶ ὅτι «διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ». Καὶ τοῦτο ὅτι πολλὰ χρήματα ἦλθεν εἰς τὰς χεῖρας ἡμῶν· καὶ αὐτὸς οἶδε πῶς μετὰ πτωχείας ἐζήσαμεν, διὰ τὸν πτωχεύσαντα δι᾿ ἡμῶν. Οὐ καλὸν τὸ ἀναπαῆναι ἐν πᾶσιν· ὁ γὰρ θέλων τοῦτο, ἑαυτῷ ζῇ καὶ οὐ τῷ Θεῷ· θέλημα γὰρ οὐ δύναται κόψαι ὁ τοιοῦτος.

Εὔχεσθε ὑπὲρ ἐμοῦ, ἀδελφοί.

ΡΛΔ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα*

Εἰπέ μοι, ἀββᾶ μου, περὶ τὴν πρωίαν ἕως ὥρας περίπου δευτέρας πάσχω ὑπὸ λογισμῶν, καὶ οὐκ οἶδα πόθεν τοῦτο πάσχω. Πάλιν εἰπέ μοι τοῦτο· πῶς δύναται δαίμων τὸ πρόσωπον τῆς γυναικὸς ἢ τινος ἄλλου ζωγραφῆσαι ἐν τῇ διανοίᾳ μου· ἐν αὐτῷ γὰρ τῷ λογισμῷ ἐστι καὶ τὸ πρόσωπον, καὶ οὐ διῃρημένως ὁ λογισμὸς γίνεται καὶ τὸ πρόσωπον· ἀλλ᾿ ἅμα ὁ λογισμός, ἅμα τὸ πρόσωπον· καὶ τί ποιήσω εἰς τὸ ἐλευθερωθῆναι.

Ο Κύριός μας Ἰησοῦς Χριστός, ὁ Θεός μας, εἴθε νὰ σᾶς εὐλογήσει μὲ κάθε πνευματικὴ εὐλογία καὶ κάθε χάρη δικαιοσύνης. Καὶ αὐτὸς μαρτυρεῖ πῶς θέλω τὴν ἀνάπαυση κάθε ἀνθρώπου, καὶ πρὸ πάντων τὴ δική σας, καὶ ὅτι σᾶς μιλῶ σὰν πρὸς ὁμόψυχους, ποὺ θέλουν ν' ἀκολουθήσουν γιὰ τὸ ὄνομά του τὸ δρόμο, τὸν ὁποῖο βαδίσαμε ἑκούσια γεμᾶτοι στερήσεις καὶ θλίψεις.

'Αδελφοί, δὲν λέγω ὅτι, ἀφοῦ βρήκαμε τέλεια ἀνάπαυση, τὴν ἁρπάξαμε, ἀλλ' ὁπωσδήποτε ἀναμιγνύομε ἀπὸ παντοῦ λίγη στενοχώρεια καὶ θλίψη, ἐπειδὴ φοβόμαστε αὐτὸν ποὺ λέγει· «ἀπόλαυσες τὰ ἀγαθά σου στὴ ζωή σου»[34], καὶ ὅτι «μὲ πολλὲς θλίψεις πρέπει νὰ μποῦμε στὴ βασιλεία τοῦ Θεοῦ»[35]. Καὶ ὅλα αὐτὰ τὴ στιγμὴ ποὺ πολλὰ χρήματα ἦρθαν στὰ χέρια μας, ἀλλ' ὁ ἴδιος γνωρίζει πῶς ζήσαμε μὲ φτώχεια γιὰ χάρη αὐτοῦ ποὺ φτώχεψε γιὰ μᾶς. Δὲν εἶναι καλὸ πρᾶγμα ἡ ἀνάπαυση σὲ ὅλα, διότι ἐκεῖνος ποὺ θέλει αὐτό, ζεῖ γιὰ τὸν ἑαυτό του καὶ ὄχι γιὰ τὸ Θεό· διότι ὁ τέλειος ἄνθρωπος δὲ μπορεῖ νὰ κόψει τὸ θέλημα.

Προσεύχεσθε, ἀδελφοί, γιὰ μένα.

134

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Πές μου, 'Αββᾶ μου, τὸ πρωὶ μέχρι τὶς δύο ἡ ὥρα ὑποφέρω ἀπὸ λογισμοὺς καὶ δὲν γνωρίζω ἀπὸ ποῦ τὸ παθαίνω. Ἐπίσης πές μου κι αὐτό· πῶς ὁ δαίμονας μπορεῖ νὰ ζωγραφίσει στὸ μυαλό μου τὸ πρόσωπο τῆς γυναίκας ἢ κάποιου ἄλλου· διότι καὶ τὸ πρόσωπο βρίσκεται μέσα στὸ λογισμὸ καὶ δὲ χωρίζονται ὁ λογισμὸς καὶ τὸ πρόσωπο· ἀλλὰ συγχρόνως ὑπάρχει καὶ ὁ λογισμός, καὶ τὸ πρόσωπο· καὶ τί πρέπει νὰ κάνω γιὰ νὰ ἐλευθερωθῶ.

---

34. Λουκᾶ 16,25.
35. Πράξ. 14,22.

ΡΛΕ'

Ἀπόκρισις

Ἀδελφέ, ὅταν ἀργῇ τις, σχολάζει τοῖς ἐρχομένοις πρὸς αὐτὸν λογισμοῖς· ὅταν δὲ ἐργάζηται, οὐ σχολάζει τοῦ δέξασθαι αὐτούς. Ὄρθρισον οὖν καὶ κράτει τὸ μυλάριον, καὶ ἄλήθει τὸ σιτάριόν σου ἄρτους τροφῆς· ἐὰν δὲ ὁ ἀντίδικός σου προλάβῃ, ζιζάνια ἀντὶ σίτου ἀλήθεις ἐν αὐτῷ.

Περὶ δὲ τοῦ ἄλλου, ἀδελφέ, ἐν τοῖς ζωγράφοις τὰ ζωγραφούμενα πρόσωπα, σὺν τοῖς βάμμασιν ἐγγίνονται· ἐὰν δὲ προγραφῇ τὸ σανίδιον, οὐκ ἔτι βάμματα οὐδὲ πρόσωπα δέχεται τὰ ἐπιτελούμενα εἰς ἕν. Τὸ δὲ ἐλευθερωθῆναί ἐστι, τὸ προγράψαι σου τὴν σανίδα. Πυκτεύσωμεν τοῦ ποιῆσαι τὴν δύναμιν ἡμῶν καὶ συναντιλαμβάνεται ἡμῖν ὁ Θεός· αὐτῷ ἡ δόξα. Ἀμήν.

Εὖξαι ὑπὲρ ἐμοῦ καὶ συγχώρησόν μοι διὰ τὸν Κύριον.

ΡΛS'

***Δέησις** καὶ ἱκεσία τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα περὶ τῶν ἁρμοζόντων τῇ ψυχῇ ἀγαθῶν.*

Ἀπόκρισις

Χαίρω ἐν Κυρίῳ, καὶ χαίρει ἐν ἐμοὶ ὁ Κύριος, ὅταν αἰτῶμαι ὑπὸ τῶν τέκνων μου αἰτήσεις ἀγαθάς· τουτέστι περὶ σωτηρίας ψυχῆς καὶ ζωῆς αἰωνίου. Ἀγαλλιάσθω οὖν καὶ τὸ πνεῦμά σου, ἀδελφέ, καὶ γὰρ ἐστράτευσά σε ὑπεροχῆς στρατείαν, τοῦ εἶναί σε ἀδιαλείπτως ἐν τῷ ταμείῳ τῶν ἀνεκλαλήτων ἀγαθῶν· καὶ εἶ ἐν ταύτῃ. Λοιπὸν βλέπε τοῦ κτήσασθαι λαμπρὰ ἱμάτια κατὰ τὸ ἀξίωμα τῆς στρατείας, ἵνα μὴ ἐκπέσῃς ἀπ' αὐτῆς, καὶ σοφὴν καρδίαν τεταπεινωμένην καὶ πρό-

135

Ἀπόκριση

Ἀδελφέ, ὅταν ἀπρακτεῖ κάποιος, ἀσχολεῖται μὲ τοὺς λογισμοὺς ποὺ τοῦ ἔρχονται· ὅταν ὅμως ἐργάζεται, δὲν τοῦ μένει χρόνος γιὰ νὰ τοὺς δεχθεῖ. Ξύπνα λοιπὸν ἐνωρὶς καὶ κράτα τὸ μύλο καὶ ἄλεθε τὸ σιτάρι σου γι' ἄρτους τροφῆς· ἂν ὅμως προλάβει ὁ ἀντίδικός σου θὰ ἀλέθεις σ' αὐτὸν ζιζάνια ἀντὶ γιὰ σιτάρι.

Ὡς πρὸς τὸ ἄλλο θέμα, ἀδελφέ, στοὺς ζωγράφους τὰ ζωγραφούμενα πρόσωπα γίνονται μὲ τὰ χρώματα· ἐὰν ὅμως τὸ σανίδι γραφεῖ ἀπὸ πρὶν δὲ δέχεται τότε οὔτε χρώματα οὔτε πρόσωπα, ποὺ πρέπει νὰ ἐκτελοῦνται μαζί. Ἡ ἐλευθερία εἶναι νὰ ζωγραφίσεις ἀπὸ πρὶν τὴ σανίδα σου. Ἂς ἀγωνισθοῦμε νὰ κάνουμε τὰ δυνατὰ καὶ ὁ Θεὸς θὰ μᾶς βοηθήσει. Σ' αὐτὸν ἀνήκει ἡ δόξα. Γένοιτο.

Προσευχήσου γιὰ μένα καὶ συγχώρεσέ με γιὰ τὸν Κύριο.

136

Δέηση καὶ ἱκεσία τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα γιὰ τὰ ἀγαθὰ ποὺ ἁρμόζουν στὴν ψυχή.

Ἀπόκριση

Χαίρομαι ἐν Κυρίῳ καὶ ὁ Κύριος χαίρεται μ' ἐμένα, ὅταν τὰ τέκνα μου μοῦ ζητοῦν ἀγαθὲς αἰτήσεις· δηλαδὴ γιὰ τὴ σωτηρία τῆς ψυχῆς καὶ τὴν αἰώνια ζωή. Ἂς ἀγαλλιασθεῖ λοιπὸν καὶ τὸ πνεῦμα σου, ἀδελφέ, διότι σὲ στρατολόγησα σὲ ἐξαίρετη ὑπηρεσία, ὥστε νὰ εἶσαι ἀδιάλειπτα στὸ ταμεῖο τῶν ἀνεκλάλητων ἀγαθῶν· καὶ εἶσαι σ' αὐτήν. Πρόσεχε λοιπόν, ὥστε ν' ἀποκτήσεις λαμπρὰ ἱμάτια σύμφωνα μὲ τὸ ἀξίωμα τῆς ὑπηρεσίας, γιὰ νὰ μὴ ἐκπέσεις ἀπὸ αὐτὴν καὶ νὰ ἔχεις σοφὴ καρδιὰ καὶ ταπεινωμένη, εὐκατάστατο πρόσωπο, ποὺ νὰ βρίσκεται

σωπον εὐκατάστατον, ἀπεχόμενον πάσης κινήσεως ὀργῆς καὶ ταραχῆς· τοιούτων γὰρ χρῄζει ὁ τόπος ὑπηρετῶν, ἀπεχομένων τῶν παθῶν καὶ ἐνδεδυμένων ἐνδύματα γάμου, ἵνα μὴ ἐκβληθῶσιν ἔξω μετ' αἰσχύνης μεγάλης.

Ἰδοὺ οὖν ἐστρατεύθης, μὴ ἀποβάλῃς αὐτήν, ἐκ σοῦ γάρ ἐστιν· εἰσήνεγκά σε, μὴ ἐξέλθῃς· ἀφώρισά σε ἀπὸ τῶν ἀριστερῶν, μὴ συναναμίγνυσο αὐτοῖς· εὐλόγησα, μὴ ζητήσῃς τὴν κατάραν. Ἐζήτησα δὲ στρατεῦσαί σε καὶ ἐν ἄλλοις ἀνεκλαλήτοις ἀχράντοις καὶ καθαροῖς ταμείοις τοῦ Πνεύματος· καὶ εἶπε μὴ εἶναι τέως καιρόν. Ἀλλ' ὅταν σπουδάσῃ ποιῆσαι ὡς τὴν δεξιὰν τὴν ἀριστεράν, καὶ τὸν παλαιόν, καινὸν ἄνθρωπον πρὸς ὑποδοχὴν τοῦ ἁγίου καὶ προσκυνητοῦ Πνεύματος, τότε λαμβάνει τὸ Πνεῦμα καὶ διδάσκει αὐτὸν πάντα, καὶ ὁδηγεῖ καὶ εἰσφέρει αὐτὸν εἰς τὰς τοιαύτας σκηνάς, εἰς ἃς ὀλίγοι εἰσέρχονται, διὰ τὴν ταπείνωσιν αὐτῶν καὶ ὑπακοήν, πρᾳότητά τε καὶ ὑπομονήν.

Μὴ οὖν ἀργήσῃς, ἀλλ' ἔργασαι, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν.

Ἐν ᾧ ἔρρωσο διὰ παντός, εὐλογημένε.

ΡΛΖ'

Ὁ αὐτὸς παρεκάλεσε τὸν αὐτὸν μέγαν Γέροντα,

εὔξασθαι ὑπὲρ αὐτοῦ, καὶ δηλωθῆναι αὐτῷ, πῶς τις ἀξιοῦται καθαρᾶς καὶ πνευματικῆς ζωῆς.

Ἀπόκρισις

Ἀδελφὲ ἀγαπητέ, ἐν Κυρίῳ· ἔδωκεν ἡμῖν ὁ Θεὸς βαδίσαι εὐκόλως εἰς τὴν ὁδὸν τῶν θελημάτων αὐτοῦ, τὴν ἀπάγουσαν εἰς ζωὴν αἰώνιον. Καὶ λέγω τί ἐστι καὶ πῶς δυνάμεθα καταλαβεῖν αὐτήν, ἵνα οὕτως ἐπιτύχωμεν ὅλων τῶν αἰωνίων ἀγαθῶν. Ἐπειδὴ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἶπεν, «αἰτεῖτε καὶ δοθήσεται, ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ

μακριὰ ἀπὸ κάθε κίνηση ὀργῆς καὶ ταραχῆς· διότι ὁ τόπος χρειάζεται τέτοιους ὑπηρέτες, ποὺ νὰ ἀπέχουν ἀπὸ τὰ πάθη καὶ νὰ ντύνονται ἐνδύματα γάμου, γιὰ νὰ μὴ διωχθοῦν ἔξω μὲ μεγάλη ἐντροπή.

Νὰ λοιπόν, στρατεύθηκες, μὴ ἀπορρίψεις αὐτήν, διότι ἀπὸ σένα ἐξαρτᾶται· σὲ ἔφερα μέσα, μὴ βγεῖς· σὲ ἀπομάκρυνα ἀπὸ τοὺς ἀριστερούς, νὰ μὴ σχετίζεσαι μ' αὐτούς· σὲ εὐλόγησα, μὴ ζητήσεις τὴν κατάρα. Ζήτησα νὰ σὲ στρατολογήσουν καὶ σὲ ἄλλα ἀνεκλάλητα ἄχραντα καὶ καθαρὰ ταμεῖα τοῦ Πνεύματος. Καὶ μοῦ εἶπε· δὲν εἶναι ἀκόμα καιρός. Ἀλλὰ ὅταν φροντίσει νὰ κάνει τὴν ἀριστερὰ ὅπως τὴ δεξιὰ καὶ τὸν παλαιὸ ἄνθρωπο καινούργιο γιὰ τὴν ὑποδοχὴ τοῦ ἁγίου καὶ προσκυνητοῦ Πνεύματος, τότε θὰ λάβει τὸ Πνεῦμα, ποὺ θὰ τὸν διδάξει ὅλα, θὰ τὸν ὁδηγήσει καὶ θὰ τὸν ὁδηγήσει μέσα σὲ τέτοιες σκηνές, ὅπου λίγοι μπαίνουν, ἐξαιτίας τῆς ταπεινώσεώς τους καὶ τῆς ὑπακοῆς, τῆς πραότητας καὶ τῆς ὑπομονῆς.

Νὰ μὴ ἀπρακτεῖς λοιπόν, ἀλλὰ ἐργάσου, ὄχι τὴν τροφὴ ποὺ καταστρέφεται, ἀλλὰ ἐκείνην ποὺ μένει στὴν αἰώνια ζωή, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας.

Νὰ εἶσαι γιὰ πάντα δυνατὸς μέσα σ' αὐτόν, εὐλογημένε.

137

Ὁ ἴδιος παρακάλεσε τὸν ἴδιο μεγάλο Γέροντα,

> νὰ προσευχηθεῖ γι' αὐτὸν καὶ νὰ τοῦ δηλώσει πῶς ἀξιώνεται κανεὶς καθαρὴ καὶ πνευματικὴ ζωή.

Ἀπόκριση

Ἀγαπητὲ ἐν Κυρίῳ, ἀδελφέ· ὁ Θεὸς μᾶς ἔδωσε νὰ βαδίσουμε εὔκολα στὴν ὁδὸ τῶν θελημάτων του, ποὺ ὁδηγεῖ στὴν αἰώνια ζωή. Καὶ λέγω τί εἶναι καὶ πῶς μποροῦμε νὰ φθάσουμε σ' αὐτήν, γιὰ νὰ ἐπιτύχουμε ἔτσι ὅλα τὰ αἰώνια ἀγαθά. Ἐπειδὴ ὁ Κύριός μας Ἰησοῦς Χριστὸς εἶπε «ζητεῖτε καὶ θὰ σᾶς δοθεῖ, ἀναζητεῖτε καὶ θὰ βρεῖτε, χτυπᾶτε καὶ θὰ σᾶς ἀνοι-

ἀνοιγήσεται ὑμῖν», δεήθητι αὐτοῦ τοῦ ἀγαθοῦ Θεοῦ, ἵνα πέμψῃ ὑμῖν τὸ Πνεῦμα τὸ ἅγιον τὸ Παράκλητον, καὶ ἐλθὸν διδάσκει ὑμᾶς περὶ πάντων καὶ τὰ μυστήρια ὅλα ἀποκαλύπτει ὑμῖν· ὑπὸ τούτου ζήτησον ὁδηγηθῆναι. Οὐκ ἀφῇ πλάνην ἢ ρεμβασμὸν ἐν τῇ καρδίᾳ, οὐκ ἀφῇ ἀκηδίαν οὐδὲ νυσταγμὸν ἐν τῇ διανοίᾳ. Φωτίζει ὀφθαλμούς, στηρίζει καρδίαν, ὑψοῖ τὸν νοῦν. Τούτῳ κολλήθητι, τούτῳ πίστευσον, τοῦτον ἀγάπησον. Σοφίζει γὰρ τοὺς ἄφρονας, γλυκαίνει διάνοιαν, δύναμιν παρέχει, σεμνότητα καὶ χαρὰν καὶ δικαιοσύνην, μακροθυμίαν τε καὶ πρᾳότητα, ἀγάπην καὶ εἰρήνην διδάσκει καὶ χαρίζεται.

Ἔχεις οὖν τὴν στερεὰν πέτραν, μὴ ὀλιγωρήσῃς· οἱ ἄνεμοι γὰρ καὶ οἱ ὄμβροι καὶ ποταμοὶ οὐκ ἰσχύσουσι καταβαλεῖν τὴν ἐπ' αὐτῆς οἰκοδομηθεῖσαν οἰκοδομήν. Ἔχεις τὸν μέγαν κυβερνήτην, τὸν ἐπιτιμῶντα τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ καὶ ἡσυχάζουσι καὶ φυλάττεται μὴ ναυαγοῦσα ἡ ναῦς· ἔχεις τὸν διδάσκαλον τὸν ἀγαθόν, νομοθετοῦντα ἐπιλαθέσθαι τῶν εἰς τὰ ὀπίσω καὶ ἐπεκτείνεσθαι εἰς τὰ ἔμπροσθεν. Ἰδοὺ θησαυρὸς ἄσυλος, ἰδοὺ ἀκατάβλητος πύργος· τί οὖν ψηφίζεις με; καὶ οὐ δύναμαι ἐλθεῖν εἰς ταῦτα, ἐὰν μὴ νικήσω τὴν ὀργὴν καὶ πνίξω τὸν θυμὸν καὶ κτήσωμαι κατάστασιν γαληνότητος, ἐν ᾗ ἀναπαύεται τὸ θεῖον.

Ἀφήσωμεν οὖν τὴν πανουργίαν, καὶ ἀναλάβωμεν ἀκεραιότητα· βαθουργήσωμεν καὶ φυτεύσωμεν ἐν τῷ ἀγρῷ ἡμῶν ἄμπελον καρποφόρον, ἵνα τρυγήσωμεν καὶ ποιήσωμεν εὐφροσύνης οἶνον, ἵνα μεθυσθέντες ἐπιλαθώμεθα τῶν θλίψεων καὶ ὀδυνῶν τῶν κατεχουσῶν ἡμᾶς εἰς ἀπώλειαν ψυχῆς. Ἀδελφέ, θέλημά ἐστι τοῦ Δεσπότου ἡμῶν ἵνα σωθῶμεν· διατί ἡμεῖς οὐ θέλομεν; Εὖξαι οὖν πάντοτε ἐκτενῶς, ἵνα ἔλθῃ ἡμῖν ἡ χάρις τοῦ Πνεύματος· ἐμπλησθέντες γὰρ οἱ πατέρες, ἐκολλήθησαν αὐτῷ ἐν τελείᾳ ἀγάπῃ κράζοντες· «τίς ἡμᾶς χωρήσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;»· καὶ εἶπον, 'οὐδέν'.

χθεῖ»[36], παρακαλέστε τὸν ἴδιο τὸν ἀγαθὸ Θεὸ γιὰ νὰ σᾶς στείλει τὸ ἅγιο Πνεῦμα, τὸν Παράκλητο, καὶ ἀφοῦ ἔρθει θὰ σᾶς διδάξει γιὰ ὅλα καὶ θὰ σᾶς ἀποκαλύψει ὅλα τὰ μυστήρια· ἀπὸ αὐτὸν ζήτησε νὰ ὁδηγηθεῖς. Δὲν θ' ἀφήσει πλάνη ἢ ρεμβασμὸ μέσα στὴν καρδιά, δὲν θὰ ἀφήσει ἀκηδία οὔτε νυσταγμὸ μέσα στὴ διάνοια. Φωτίζει τὰ μάτια, στηρίζει τὴν καρδιά, ὑψώνει τὸν νοῦ. Σ' αὐτὸν προσκολλήσου, σ' αὐτὸν πίστεψε, αὐτὸν ἀγάπησε. Διότι σοφίζει τοὺς ἄφρονες, γλυκαίνει τὴ διάνοια, δίνει δύναμη καὶ διδάσκει καὶ χαρίζει σεμνότητα καὶ χαρὰ καὶ δικαιοσύνη καὶ μακροθυμία καὶ πραότητα καὶ ἀγάπη καὶ εἰρήνη.

Ἔχεις λοιπὸν τὴ στερὴ πέτρα· μὴ ἀδιαφορήσεις· διότι οἱ ἄνεμοι καὶ οἱ βροχὲς καὶ οἱ ποταμοὶ δὲν ἔχουν δύναμη νὰ γκρεμίσουν τὴν οἰκοδομὴ ποὺ κτίσθηκε πάνω σ' αὐτήν. Ἔχεις τὸν μεγάλο κυβερνήτη, ποὺ ἐπιτιμᾶ τοὺς ἀνέμους καὶ τὴ θάλασσα καὶ ἡσυχάζουν καὶ τὸ καράβι φυλάγεται νὰ μὴ καταποντιστεῖ· ἔχεις τὸν ἀγαθὸ διδάσκαλο ποὺ νομοθετεῖ νὰ ξεχάσεις τὰ πίσω καὶ νὰ προχωρήσεις στὰ μπροστινά. Νὰ θησαυρὸς ἀσύλητος, νὰ ἀκατάβλητος πύργος. Γιατί λοιπὸν ὑπολογίζεις ἐμένα; Δὲ μπορῶ νὰ ἔλθω σ' αὐτά, ἐὰν δὲ νικήσω τὴν ὀργὴ καὶ ἐὰν δὲν πνίξω τὸ θυμὸ καὶ δὲν ἀποκτήσω τὴν κατάσταση τῆς γαλήνης, μέσα στὴν ὁποία ἀναπαύεται τὸ θεῖο.

Ἂς ἀφήσουμε λοιπὸν τὴν πανουργία καὶ ἂς ἀποκτήσουμε τὴν ἀκεραιότητα· ἂς σκάψουμε καὶ ἂς φυτέψουμε στὸν ἀγρό μας καρποφόρο ἀμπέλι γιὰ νὰ τρυγήσουμε καὶ νὰ κάνουμε κρασὶ εὐφροσύνης, γιὰ νὰ ξεχάσουμε, ἀφοῦ μεθύσουμε, τὶς θλίψεις καὶ τοὺς πόνους ποὺ μᾶς κατέχουν καὶ ὁδηγοῦν στὴν ἀπώλεια τῆς ψυχῆς. Ἀδελφέ, εἶναι θέλημα τοῦ Δεσπότη μας νὰ σωθοῦμε· γιατί ἐμεῖς δὲ θέλουμε; Νὰ προσεύχεσαι λοιπὸν πάντοτε ἐκτενῶς γιὰ νὰ ἔρθει σὲ μᾶς ἡ χάρη τοῦ Πνεύματος· διότι, ἀφοῦ γέμισαν ἀπὸ τὴ χάρη αὐτὴ οἱ Πατέρες, προσκολλήθηκαν σ' αὐτὸ μὲ τέλεια ἀγάπη φωνάζοντας· «ποιός θὰ μᾶς χωρίσει ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ;»[37]· καὶ εἶπαν, 'τίποτε'.

36. Ματθ. 7,7.

37. Ρωμ. 8,35.

Ἀγαπήσωμεν οὖν, ἵν᾽ ἀγαπηθῶμεν· προσέλθωμεν ἐν ὅλῃ καρδίᾳ, ἵνα προσδεχθῶμεν· λίαν ταπεινωθῶμεν, ἵνα ὑψώσῃ ἡμᾶς· κλαύσωμεν, ἵνα γελάσωμεν· λυπηθῶμεν, ἵνα χαρῶμεν· πενθήσωμεν, ἵνα παρακληθῶμεν· παρακαλέσωμεν ἐλθεῖν ἡμῖν τὸ Πνεῦμα, ἵνα ὁδηγήσῃ ἡμᾶς ἐν ἀληθείᾳ ὅλῃ. Οὐ ψεύδεται γὰρ ὁ λέγων· «αἰτεῖτε καὶ λαμβάνετε»· ὁ Κύριος συνέλθῃ ἡμῖν ἐν πᾶσι κατὰ τὸ ἔλεος αὐτοῦ, εἰς τὸ μαθεῖν ἡμᾶς τίνες ἐσμέν, καὶ τί χρήζομεν ἢ τί θέλομεν.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΛΗ´

Ὁ αὐτὸς κόψας τὴν τῶν πολλῶν συντυχίαν, ἐζήτησε συντυχεῖν τινι, καὶ ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα.

Ἐπειδὴ ἔχω σχέσιν ἀγάπης μετά τινος ἀδελφοῦ καὶ θέλει μοι συντυχεῖν, συντύχω αὐτῷ ἢ οὔ;

Ἀπόκρισις

Εἰ ὅλως ἔχεις σχέσιν ἀγάπης πρός τινα, τί ἔχεις τὸν λογισμὸν περὶ τῶν ἄλλων; ὅτι μέσον οὐ συντυγχάνεις αὐτοῖς; ἢ τί; μάθε ποῦ εἶ τέως. Καὶ ἐὰν θέλῃς, μεμφόμενος σεαυτόν, σύντυχε.

Εὖξαι ὑπὲρ ἐμοῦ.

ΡΛΘ´

Τίς ποτε τῶν πατέρων πρεσβύτερος, πολλὰ καμὼν ἐν ταῖς ἐρήμοις, εἶτα ἐλθὼν ἡσυχάσαι ἐν τῷ κοινοβίῳ, ἠρώτησε τὸν ἄλλον γέροντα, πῶς δεῖ ἄρξασθαι τῆς ἡσυχίας.

Ἂς ἀγαπήσουμε λοιπόν, γιὰ νὰ ἀγαπηθοῦμε· ἂς προσέλθουμε σ' αὐτὸν μὲ ὅλη τὴν καρδιά, γιὰ νὰ γίνουμε δεκτοί· ἂς ταπεινωθοῦμε πολύ, γιὰ νὰ μᾶς ὑψώσει· ἂς κλάψουμε, γιὰ νὰ γελάσουμε· ἂς λυπηθοῦμε, γιὰ νὰ χαροῦμε· ἂς πενθήσουμε γιὰ νὰ παρηγορηθοῦμε· ἂς παρακαλέσουμε νὰ ἔλθει σὲ μᾶς τὸ Πνεῦμα, γιὰ νὰ μᾶς ὁδηγήσει στὴν ἀλήθεια. Δὲν ψεύδεται αὐτὸς ποὺ λέγει· «ζητεῖτε καὶ λαμβάνετε»[38]· ὁ Κύριος θὰ ἔλθει σὲ μᾶς σὲ ὅλα, σύμφωνα μὲ τὸ ἔλεός του, γιὰ νὰ μάθουμε ποιοί εἶμαστε καὶ τί χρειαζόμαστε ἢ τί θέλουμε.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

138

Ὁ ἴδιος, ἀφοῦ ἔκοψε τὶς συναντήσεις τῶν πολλῶν, ζήτησε νὰ συναντήσει κάποιον, καὶ ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα.

Ἐπειδὴ ἔχω σχέση ἀγάπης μὲ κάποιον ἀδελφὸ καὶ θέλει νὰ μὲ συναντήσει, νὰ τὸν συναντήσω ἢ ὄχι;

Ἀπόκριση

Ἐὰν γενικὰ ἔχεις σχέση ἀγάπης πρὸς κάποιον, γιατί ἔχεις τὸν λογισμὸ γιὰ τοὺς ἄλλους; ἐπειδὴ δὲν τοὺς συναντᾶς κι' αὐτοὺς στὸ μεταξύ; ἢ τί ἄλλο; Μάθε ποῦ βρίσκεσαι τώρα. Καὶ ἐὰν θέλεις, κατακρίνοντας τὸν ἑαυτό σου, συνάντησέ τον.

Προσευχήσου γιὰ μένα.

139

Κάποτε ἕνας ἀπὸ τοὺς πατέρες, πρεσβύτερος, ἀφοῦ κουράστηκε πολὺ μέσα στὶς ἐρήμους κι ἔπειτα ἦλθε νὰ ἡσυχάσει μέσα στὸ κοινόβιο, ρώτησε τὸν ἄλλο γέροντα πῶς πρέπει νὰ ἀρχίσει τὴν ἡσυχία.

---

38. Ἰω. 16,24.

Ἀπόκρισις Ἰωάννου

Ὁ Ἰωάννης ὁ Βαπτιστὴς εἶπε τῷ Δεσπότῃ ἡμῶν Χριστῷ τῷ Θεῷ· «ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;». Ὅμως καλῶς ἐποίησεν ἡ ἀγάπη σου, διὰ ταπεινώσεως παιδεύουσα ἡμᾶς, ἵνα κἂν οὕτως αἰσχυνθῶμεν καὶ εἴπωμεν ἡμῶν τὰ πάθη· «χωρὶς γὰρ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται». Σὺ οὖν ὀφείλεις με θεραπεῦσαι. Σὺ γὰρ καὶ πρεσβύτερος εἶ, ἱερεὺς τοῦ Θεοῦ πνευματικός, ὅστις, καλούμενος ἐλαίῳ ἀλεῖψαι τοὺς κακουμένους καὶ θεραπεύων αὐτοὺς ἀπὸ τῆς σωματικῆς ἀσθενείας, συμμίσγεις τῇ ἀλείψει καὶ ἄφεσιν ἁμαρτιῶν.

Ἐγὼ οὖν ὁ μὴ ψηφισθεὶς εἰς κλῆρον διὰ τὴν ἀναξιότητά μου καὶ ὅτι τὸ ἄνθος τῶν τριχῶν μου τῶν λευκῶν οὐκ ἐκώλυσε τὰ νεωτερικά μου ἐνθυμήματα, πῶς δύναμαι τῷ μείζονί μου συμβουλεῦσαι; Εἰ γὰρ ἦν κατ' ἐμὲ ὁ ἐρωτῶν με ἄνθρωπος, οὐκ ἤφιέ με ἡ φλυαρία μου ἡσυχάσαι τοῦ μὴ ἀποκρίνασθαι αὐτῷ· ἀκατάσχετον γὰρ ἔχω τὴν γλῶτταν. Καὶ εἶχον εἰπεῖν αὐτῷ, ὅτι 'παῖς ἀπὸ τῶν μικρῶν μαθημάτων προκόπτει ἐπὶ τὰ μείζονα'. Μὴ οὐκ εἶχεν εἰπεῖν πάντως, 'ναί'; Καὶ ἐπειδὴ εἴ τι λογίζομαι εἶχον εἰπεῖν αὐτῷ, ἔλεγον αὐτῷ· 'οὐκοῦν καὶ σὺ ἡσύχασον τὰς πέντε ἡμέρας καὶ συντύγχανε τὰς δύο· καὶ ἐὰν ᾖ κατὰ Θεὸν τὸ κάθισμά σου, τουτέστιν ἐὰν γινώσκῃς τί ἐστιν ὃ θέλεις καθήμενος, οὐκ ἐμπίπτεις εἰς τὰς χεῖρας τοῦ δαίμονος τῆς κενοδοξίας· ὁ γινώσκων γὰρ τί εἰσῆλθε ποιῆσαι εἰς τὴν πόλιν, αὐτὸ θέλει καὶ οὐκ ἐκκλίνει τὴν καρδίαν αὐτοῦ'.

Ἐπεὶ ἐκπίπτει τοῦ ζητουμένου πράγματος, συγχώρησόν μοι ἀββᾶ, ὅτι πρὸς σὲ οὐκ ἔχω ἄλλο τι εἰπεῖν, ἀλλ' εὖξαι ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον· οὔτε γὰρ ἔργον ἔχω οὔτε λόγον.

Ἀπόκριση

Ο Ἰωάννης ὁ Βαπτιστὴς εἶπε στὸν Δεσπότη μας Χριστὸ τὸ Θεό· «ἐγὼ ἔχω ἀνάγκη νὰ βαπτισθῶ ἀπὸ σένα, καὶ σὺ ἔρχεσαι σὲ μένα;»[39]. Ὅμως καλὰ ἔκανε ἡ ἀγάπη σου ποὺ μᾶς παιδεύει μὲ τὴν ταπείνωση, ὥστε ἔστω καὶ ἔτσι νὰ ντραποῦμε καὶ νὰ ποῦμε τὰ πάθη μας· «διότι χωρὶς καμμία ἀντιλογία τὸ κατώτερο εὐλογεῖται ἀπὸ τὸ καλύτερο»[40]. Ἐσὺ λοιπὸν πρέπει νὰ μὲ θεραπεύσεις. Διότι ἐσὺ εἶσαι καὶ πρεσβύτερος, πνευματικὸς ἱερέας τοῦ Θεοῦ, ὁ ὁποῖος καλούμενος ν' ἀλείψεις μὲ ἔλαιο τοὺς ταλαιπωρημένους καὶ νὰ τοὺς θεραπεύσεις ἀπὸ τὴ σωματικὴ ἀρρώστια, ἀναμιγνύεις μαζὶ μὲ τὴν ἄλειψη καὶ τὴ συγχώρηση τῶν ἁμαρτιῶν.

Ἐγὼ λοιπὸν ποὺ δὲν ἀνήκω στὸν κλῆρο ἐξαιτίας τῆς ἀναξιότητάς μου καὶ ἐπειδὴ οἱ ἄσπρες μου τρίχες δὲν ἐμπόδισαν τὶς νεανικές μου ἐπιθυμίες, πῶς μπορῶ νὰ συμβουλέψω τὸν ἀνώτερό μου; Διότι, ἐὰν ὁ ἄνθρωπος ποὺ μὲ ἐρωτᾶ ἦταν κοντά μου, ἡ φλυαρία μου δὲ θὰ μὲ ἄφηνε νὰ ἡσυχάσω, ὥστε νὰ μὴ τοῦ ἀπαντήσω· διότι ἔχω τὴ γλώσσα ἀσταμάτητη. Καὶ θὰ μποροῦσα νὰ τοῦ πῶ, ὅτι τὸ παιδὶ ἀπὸ τὰ μικρὰ μαθήματα προκόβει στὰ μεγαλύτερα. Μήπως δὲ θὰ ἔπρεπε νὰ μοῦ πεῖ ὁπωσδήποτε, 'ναί'; Καὶ ἀφοῦ τοῦ ἔλεγα ὅ,τι νομίζω ὅτι εἶχα νὰ πῶ, καὶ τοῦ ἔλεγα· λοιπὸν καὶ σὺ ἡσύχασε τὶς πέντε ἡμέρες καὶ κάνε τὶς συναντήσεις τὶς δύο· καὶ ἐὰν τὸ κάθισμά σου εἶναι σύμφωνο μὲ τὸ Θεό, δηλαδὴ ἐὰν γνωρίζεις τί εἶναι αὐτὸ ποὺ θέλες καθήμενος ἐκεῖ, δὲ πέφτεις στὰ χέρια τοῦ δαίμονα τῆς κενοδοξίας· διότι αὐτὸς ποὺ γνωρίζει τί ἦλθε νὰ κάνει στὴν πόλη, αὐτὸ θέλει καὶ δὲν ἀφήνει τὴν καρδιά του νὰ ἐκτραπεῖ.

Ἐπειδὴ βρίσκεται ἔξω ἀπὸ τὸ ζητούμενο πρᾶγμα, συγχώρησέ με, Ἀββᾶ μου, διότι δὲν ἔχω νὰ σοῦ πῶ τίποτε ἄλλο, ἀλλὰ προσευχήσου γιὰ μένα στὸ ὄνομα τοῦ Κυρίου· διότι δὲν ἔχω οὔτε ἔργο οὔτε λόγο.

---

39. Ματθ. 3,14.
40. Ἑβρ. 7,7.

ΡΜ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἐπειδὴ δίδοντός μου τῷ σώματι καὶ ὑπὲρ τὴν χρείαν οὐχ ὑπουργεῖ εἰς τὴν λειτουργίαν, καὶ πάλιν ἔλαττον δοῦναι φοβοῦμαι μὴ ταχέως καταπέσῃ, τί ὀφείλω περὶ τούτου ποιῆσαι; Καὶ περὶ τῆς ἁγίας Κοινωνίας, ἐπειδὴ καθ' ἡμέραν θέλω κοινωνεῖν, εἰς βάρος μοί ἐστι τὸ ἀνέρχεσθαι πρός με τὸν ἁμαρτωλὸν τὴν ἁγίαν Κοινωνίαν, ἢ ὀφείλω κατέρχεσθαι καὶ κοινωνεῖν; Καὶ πῶς πάλιν σώζεται τὰ τῆς ἡσυχίας;

Ἀπόκρισις

Προεῖπον τῇ ἀγάπῃ σου, ἀββᾶ, τοὺς λόγους Ἰωάννου πρὸς τὸν Σωτῆρα· καὶ πάλιν προσέθηκας τοῦ γράψαι μοι τῷ ἄφρονι καὶ ἰδιώτῃ; Εἰ οὖν Ἰωάννης ὕστερον οὐκ ἀντέλεξεν, ἐγὼ τίς εἰμι ὁ ἐξουδενωμένος ἀντιλέγειν; Λέγω σοι οὖν τὴν ἀλήθειαν, ὅτι οὐδέν εἰμι καὶ οὐδὲν οἶδα· ἀλλὰ διὰ τὴν ὑπακοήν, εἴ τι ἔχω ἐν τῇ καρδίᾳ μου λέγω· οὐ λέγω δὲ ὅτι πάντως οὕτως ἐστίν, ἀλλ' ὡς ἔχω λέγω.

Οὐκ ἀπαιτεῖ ὁ Θεὸς παρὰ τοῦ ἀσθενοῦντος λειτουργίαν σωματικήν, ἀλλὰ πνευματικήν, τοῦτ' ἔστι τὴν εὐχήν· φησὶ γὰρ «ἀδιαλείπτως προσεύχεσθε».

Περὶ δὲ τῆς διαίτης τοῦ σώματος, εἰ ὅταν λάβῃ τὴν ἱκανὴν τροφὴν οὐ δύναται λειτουργῆσαι, ἐὰν δὲ μὴ λάβῃ φοβούμεθα τὴν ἀσθένειαν, κράτει τὴν μεσότητα· μήτε ἄνω ἄνω, μήτε κάτω κάτω· καὶ πληροῦται ἡ γραφὴ ἡ λέγουσα· «μὴ ἐκκλίνῃς εἰς τὰ δεξιά, ἢ εἰς τὰ ἀριστερά»· ἀλλὰ δὸς τῷ σώματι τὴν χρείαν αὐ-

---

41. Στοὺς ἡσυχαστὲς μετέφεραν τὴ θεία κοινωνία στὸ κελλί τους.

42. Στὴν παραπάνω ἐπιστολή.

140

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐπειδή, ὅταν δίνω στὸ σῶμα μου παραπάνω ἀπὸ τὴν ἀνάγκη, δὲν ἀνταπεξέρχεται στὴ λειτουργία, καὶ πάλι ἂν τοῦ δώσω λιγότερο φοβᾶμαι μήπως ἐξασθενήσει γρήγορα, τί πρέπει νὰ κάνω γι' αὐτό; Καὶ γιὰ τὴν ἁγία Κοινωνία, ἐπειδὴ θέλω νὰ κοινωνῶ κάθε ἡμέρα, εἶναι σὲ βάρος μου ἡ μεταφορὰ τῆς ἁγίας Κοινωνίας σ' ἐμένα τὸν ἁμαρτωλό[41], ἢ ὀφείλω νὰ κατεβαίνω καὶ νὰ κοινωνῶ; Καὶ πῶς πάλι σώζονται τὰ τῆς ἡσυχίας;

Ἀπόκριση

Αββᾶ, εἶπα πρωτύτερα στὴν ἀγάπη σου τὰ λόγια τοῦ Ἰωάννη στὸ Σωτήρα[42]· πάλι λοιπὸν συνέχισες νὰ γράφεις σὲ μένα τὸν ἄφρονα καὶ ἀμαθῆ; Ἐὰν λοιπὸν ὁ Ἰωάννης δὲν ἔφερε ὕστερα ἀντίρρηση, ποιός εἶμαι ἐγὼ ὁ τιποτένιος ποὺ θὰ φέρω ἀντίρρηση; Σοῦ λέγω λοιπὸν τὴν ἀλήθεια, ὅτι δὲν εἶμαι τίποτε καὶ δὲ γνωρίζω τίποτε, ἀλλὰ χάριν ὑπακοῆς, ὅ,τι ἔχω μέσα στὴν καρδιά μου σοῦ τὸ λέγω· καὶ δὲν λέγω ὅτι ὁπωσδήποτε ἔτσι εἶναι, ἀλλὰ τὸ λέγω ὅπως μπορῶ.

Ὁ Θεὸς δὲν ἀπαιτεῖ ἀπὸ τὸν ἀσθενῆ σωματικὴ ἐργασία, ἀλλὰ πνευματική, δηλαδὴ τὴν προσευχή· διότι λέγει, «νὰ προσεύχεσθε ἀδιάλειπτα»[43].

Ὅσο γιὰ τὴ δίαιτα τοῦ σώματος, ἐὰν ὅταν πάρει τὴν ἀρκετὴ τροφὴ δὲ μπορεῖ νὰ ἐργασθεῖ, καὶ ἂν δὲν πάρει φοβόμαστε τὴν ἀρρώστια, γι αὐτὸ κράτα τὴ μεσότητα· οὔτε πολὺ ψηλά, οὔτε πολὺ χαμηλά· καὶ ἐκπληρώνεται ἡ γραφή ποὺ λέγει· «νὰ μὴ κλίνεις πρὸς τὰ δεξιὰ ἢ τ' ἀριστερά»[44]· ἀλλὰ δῶσε στὸ σῶμα τὰ ανα-

---

43. Α΄ Θεσ. 5,17.
44. Παρ. 4,27.

τοῦ παραμικρόν· αὕτη γὰρ ἡ ὁδός ἐστι τῶν Πατέρων, τὸ μήτε σπαταλᾶν, μήτε βαρηθῆναι ἐν τῇ πολιτείᾳ.

Περὶ δὲ τοῦ ἔρχεσθαι τὴν ἁγίαν Κοινωνίαν, ὁπότε κατὰ καταφρόνησιν οὐ γίνεται, ἀλλὰ κατὰ ἀσθένειαν, οὐκ ἔστι κατάκρισις· καὶ γὰρ ὁ ἀρχίατρος πρὸς τοὺς πάνυ κάμνοντας καὶ κακῶς ἔχοντας δι' ἑαυτοῦ ὑπάγει, ὡς ἤδη πρὸς ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ κακῶς ἔχοντας ἀφ' ἑαυτοῦ ἦλθεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

Συγχώρησον, πάτερ, ὅτι ὑποτασσόμενος ἐλάλησα ὁ ἀνάξιος.

ΡΜΑ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἐπειδὴ χήρα ἀδικουμένη ἀπέστειλε παρακαλοῦσα, ἵνα γράψω τῷ δομεστίκῳ βοηθῆσαι αὐτῇ, ἔχω περὶ τούτου δύο λογισμούς· ὁ εἷς λέγει, ὅτι εἰς νέκρωσιν ἦλθον ὧδε καὶ ἂν γράψω αὐτῇ παραβαίνω τὴν σύνταξιν τῆς νεκρώσεως· ἐὰν δὲ μὴ γράψω, παραβαίνω τὴν ἐντολὴν τὴν λέγουσαν, βοηθῆσαι τοῖς δεομένοις. Ποίησον ἀγάπην, πάτερ, καὶ εἰπέ μοι τί ποιήσω.

Ἀπόκρισις

Εἰ ἦς νεκρὸς καὶ ἦλθε χήρα ἀδικουμένη, ἠδύνου αὐτῇ βοηθῆσαι; Ἐὰν δὲ ταύτῃ βοηθήσῃς καὶ ἄλλη ἔλθῃ, παριδεῖν ἔχεις αὐτὴν καὶ παραβῆναι τότε τὴν ἐντολήν; Ὁ νεκρὸς οὐ φροντίζει τινὸς τοιούτου· κἂν γογγύσωσι κατὰ σοῦ, οὐδέν σε τοῦτο ἀδικεῖ.

ΡΜΒ'

Ἀδελφὸς οἰκῶν ἐν κοινοβίῳ ἠρώτησε τὸν μέγαν Γέροντα περὶ τῶν ἰδίων λογισμῶν.

γκαῖα σ' αὐτὸ παρὰ λίγο[45]. Διότι αὐτὴ εἶναι ἡ ὁδὸς τῶν Πατέρων, δηλαδὴ οὔτε νὰ σπαταλᾶ κανείς, οὔτε νὰ πιέζεσαι μέσα στὴ ζωή.

Ὡς πρὸς τὴ μεταφορὰ τῆς ἁγίας Κοινωνίας, ὅποτε δὲ γίνεται ἀπὸ καταφρόνηση, ἀλλὰ ἀπὸ ἀδυναμία, δὲν εἶναι κατάκριση· διότι καὶ ὁ ἀρχίατρος πηγαίνει ὁ ἴδιος πρὸς ἐκείνους ποὺ εἶναι πολὺ ἀσθενεῖς, ὅπως ἤδη ἦλθε πρὸς ἐμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀσθενεῖς ὁ Κύριός μας Ἰησοῦς Χριστός.

Συγχώρεσέ με, πάτερ, διότι ὑποτασσόμενος μίλησα ὁ ἀνάξιος.

141

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐπειδὴ μία ἀδικημένη χήρα μοῦ ἔστειλε γράμμα παρακαλώντας νὰ γράψω στὸν δομέστικο νὰ τὴ βοηθήσει, ἔχω γι' αὐτὸ δύο λογισμούς· ὁ ἕνας λέγει, ὅτι ἦρθα ἐδῶ γιὰ νέκρωση καί, ἂν τῆς γράψω, παραβαίνω τὴ σύνταξη τῆς νεκρώσεως· ἐὰν δὲν γράψω, παραβαίνω τὴν ἐντολὴ ποὺ λέγει νὰ βοηθήσω ἐκείνους ποὺ ἔχουν ἀνάγκη. Δεῖξε ἀγάπη, Πάτερ, καὶ πές μου τί νὰ κάνω.

Ἀπόκριση

Εάν ἤσουν νεκρὸς καὶ ἐρχόταν ἀδικημένη χήρα, θὰ μποροῦσες νὰ τὴ βοηθήσεις; Καὶ ἂν βοηθήσεις αὐτὴ καὶ ἔλθει ἄλλη, μπορεῖς νὰ τὴν περιφρονήσεις καὶ νὰ παραβεῖς τότε τὴν ἐντολή; Ὁ νεκρὸς δὲν φροντίζει γιὰ κάτι τέτοιο· καὶ ἂν γογγύσουν ἐναντίον σου, αὐτὸ δὲν σὲ ἀδικεῖ καθόλου.

142

Ἀδελφὸς ποὺ κατοικοῦσε στὸ κοινόβιο ἐρώτησε τὸν μεγάλο Γέροντα γιὰ τοὺς λογισμούς του.

---

45. Δηλαδὴ νὰ τρῶς ὅσο εἶναι ἀνάγκη, παρὰ κάτι λειψό.

Ἀπόκρισις

Ἀνόητος εἶ, διὰ τοῦτο κυριεύουσί σου οἱ λογισμοί, μάλιστα δὲ τὸ δικαίωμα. Ὁ Κύριος θέλει, ἵνα ἔχῃς πάντα ἄνθρωπον διαφέροντά σου. Λοιπὸν δεῖξον αὐτῷ ὑπακοὴν ἐν πᾶσι· καὶ ποίησον εἴτι λέγει σοι, εἴτε περὶ τοῦ φαγεῖν καὶ πιεῖν καὶ οἱουδήποτε πράγματος, ὑποτάγηθι αὐτῷ· ἐὰν δὲ ᾖ πρᾶγμα βαρύ, γενοῦ γνώμης τοῦ ἀββᾶ. Καὶ εἴ τι λέγει σοι, ποίησον.

Καὶ περὶ ψαλμῳδίας καὶ ἀγρυπνίας εἴ τι λέγει σοι ποίησον καὶ ὅλα γίνεταί σοι εἰς σωτηρίαν ψυχῆς. Καὶ ἐὰν συκοφαντήσῃ σε, χαῖρε, συμφέρει γάρ σοι πάνυ· καὶ ἐὰν θλίψῃ σε, ὑπόμεινον, «ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται». Ἐπὶ πᾶσι δὲ εὐχαρίστησον τῷ Θεῷ· ἡ γὰρ εὐχαριστία πρεσβεύει ὑπὲρ τῆς ἀδυναμίας πρὸς τὸν Θεόν. Ἐν πᾶσι δὲ ἀεὶ κατάκρινε σεαυτὸν ἁμαρτάνοντα καὶ σφαλλόμενον καὶ οὐ κατακρίνει σε ὁ Θεός. Ταπεινώθητι ἐν πᾶσι καὶ εὑρίσκεις τὴν παρὰ Θεοῦ χάριν.

Ἐὰν μάθῃς ταῦτα, βοηθεῖ σοι ὁ Θεὸς εὑρεῖν δύναμιν· τοῦτο γὰρ θέλημα αὐτοῦ ἐστιν, «ἵνα πᾶς ἄνθρωπος σωθῇ, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἔλθῃ».

ΡΜΓ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν.*

Ἀδελφέ, μὴ βάλῃς σεαυτὸν διακρῖναι τοὺς ἐρχομένους σοι λογισμούς, καὶ γὰρ οὐκ ἔστι τοῦ μέτρου σου, καὶ ταράσσουσί σε ὡς θέλουσι τὸν μὴ γινώσκοντα τὴν μεθοδείαν αὐτῶν· ἀλλ' ἐὰν ταράσσωσί σε, εἰπὲ αὐτοῖς, 'ἐγὼ οὐκ οἶδα τίνες ἐστέ, ὁ γινώσκων Θεός, μὴ ἐάσῃ ὑμᾶς πλανῆσαί με'. Καὶ ῥίψον ἐνώπιον Θεοῦ τὴν ἀδυναμίαν σου, λέγων· 'Κύριε, ἐν ταῖς χερσί

Ἀπόκριση

Εἶσαι ἀνόητος, γι' αὐτὸ σὲ κυριεύουν οἱ λογισμοὶ καὶ μάλιστα ὁ λογισμὸς τῶν δικαιωμάτων. Ὁ Κύριος θέλει νὰ θεωρεῖς κάθε ἄνθρωπο ἀνώτερό σου. Δεῖξε λοιπὸν ὑπακοὴ σ' αὐτὸν σὲ ὅλα, καὶ νὰ κάνεις ὅ,τι σοῦ λέγει· εἴτε πρόκειται γιὰ τὸ φαγητὸ καὶ τὸ ποτὸ εἴτε γιὰ ὁποιοδήποτε ἄλλο πρᾶγμα, νὰ ὑποτάσσεσαι σ' αὐτόν. Καὶ ἐὰν εἶναι βαρὺ πρᾶγμα, νὰ συμφωνεῖς μὲ τὴ γνώμη τοῦ Ἀββᾶ, καὶ ὅ,τι σοῦ λέγει, νὰ τὸ κάνεις.

Καὶ γιὰ ψαλμωδία καὶ ἀγρυπνία ὅ,τι σοῦ λέγει, νὰ τὸ κάνεις, διότι ὅλα γίνονται γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου. Καὶ ἐὰν σὲ συκοφαντήσει, νὰ χαίρεσαι, διότι αὐτὸ σὲ συμφέρει πολύ· καὶ ἂν σὲ στενοχωρήσει, δεῖξε ὑπομονή, «διότι αὐτὸς ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[46]. Καὶ γιὰ ὅλα νὰ εὐχαριστεῖς τὸ Θεό· διότι ἡ εὐχαριστία πρεσβεύει στὸ Θεὸ γιὰ τὴν ἀδυναμία. Καὶ σὲ ὅλα πάντοτε νὰ κατακρίνεις τὸν ἑαυτό σου, ὅταν ἁμαρτάνει καὶ σφάλλει, καὶ ὁ Θεὸς δὲ θὰ σὲ κατακρίνει. Δεῖξε ταπείνωση σὲ ὅλα, καὶ θὰ βρεῖς τὴ χάρη ἀπὸ τὸ Θεό.

Ἐὰν μάθεις αὐτά, ὁ Θεὸς θὰ σὲ βοηθήσει νὰ βρεῖς δύναμη· διότι αὐτὸ εἶναι τὸ θέλημά του, γιὰ νὰ σωθεῖ κάθε ἄνθρωπος καὶ νὰ γνωρίσει τὴν ἀλήθεια.

143

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο.

Ἀδελφέ, μὴ ἐπιχειρήσεις ἐσὺ ὁ ἴδιος νὰ διακρίνεις τοὺς λογισμοὺς ποὺ σοῦ ἔρχονται, διότι δὲν εἶναι τοῦ μέτρου σου. Ὅπως θέλουν σὲ ταράσσουν, διότι δὲν γνωρίζεις τὶς μεθοδεύσεις τους· ἀλλὰ ἐὰν σὲ ταράσσουν, πές τους· 'ἐγὼ δὲν γνωρίζω ποιοί εἶσθε, ὁ Θεὸς ποὺ γνωρίζει, νὰ μὴ σᾶς ἀφήσει νὰ μὲ πλανήσετε'. Καὶ ρίξε τὴν ἀδυναμία σου μπρο-

46. Ματθ. 10,22.

σού εἰμι, βοήθησόν μοι καὶ ἐξελοῦ με ἐκ τῶν χειρῶν αὐτῶν'. Τὸν δὲ βραδύνοντα λογισμὸν καὶ πολεμοῦντά σε, εἰπὲ τῷ ἀββᾷ σου, καὶ διὰ τοῦ Θεοῦ θεραπεύει σε.

Καὶ περὶ ἐργοχείρου, εἴ τι ἀκούεις ποίησον καὶ σώζῃ ἐν ὀνόματι τοῦ Θεοῦ.

Περὶ τῶν Ψαλμῶν, μὴ ἀφῇς τὸ μάθημα, ἐνέργεια γάρ ἐστι καὶ πύκτευσον τοῦ ἀποστηθίζειν· ὠφελεῖσαι γὰρ πάνυ.

Περὶ δὲ τοῦ ἀκοῦσαι τὰ ὑπὲρ τὴν δύναμίν σου, μὴ ζητήσῃς· ἔχεις γὰρ μαθήματα τέως κατὰ τὰ μέτρα σου τὰ ὠφελοῦντά σε.

ΡΜΔ'

Τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν.

Ἀπόκρισις

Μὴ χλευασθῇς ἀφελῆ, οὐκ ἔνι πιστεῦσαι τοῖς ἐχθροῖς σου· ἐὰν γὰρ ἀμεριμνήσῃς καὶ ἀμελήσῃς ἔρχονται πάλιν· ὁ στρατιώτης γὰρ ἐν καιρῷ εἰρήνης μελετᾶ τὰ τοῦ πολέμου. Βλέπε ὅτι ὁ Κύριος εἶπε τῷ ὄφει, «αὐτός σου τηρήσει κεφαλὴν καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν»· ἕως οὖν ἐσχάτης ἀναπνοῆς οὐκ ὀφείλει ἀμεριμνῆσαι ἄνθρωπος.

Πρόσεχε οὖν σεαυτῷ, ἀδελφέ, ἀπὸ τῆς ὀργῆς καὶ τῆς κενοδοξίας καὶ τοῦ ὕπνου καὶ τῶν λοιπῶν παθῶν, εἰδὼς ὅτι ὁ ἐχθρὸς οὐ κοιμᾶται οὐδ' ἀμελεῖ.

Ἀδελφέ, εἰ θέλεις σωθῆναι, κτῆσαι ταπείνωσιν, ὑπακοὴν καὶ ὑποταγὴν ἑκούσιον· καὶ ὅταν ἀκούῃς τίποτε παρὰ τοῦ γέροντος, εἴτε ἂν ᾖ, εἰπὲ αὐτῷ μετὰ ταπεινώσεως· 'εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ, ὅπως δώῃ μοι ὁ Θεὸς σύνεσιν καὶ γρήγορσιν, ἵνα μὴ θλίψω σε'. Ταῦτα φύλαξον καὶ σώζῃ.

στὰ στὸ Θεὸ λέγοντας· 'Κύριε, εἶμαι στὰ χέρια σου, βοήθησέ με καὶ βγάλε με ἀπὸ τὰ χέρια τους'. Τὸν ἐπίμονο ὅμως καὶ πολεμικὸ λογισμὸ νὰ τὸν πεῖς στὸν 'Αββᾶ σου, καὶ αὐτὸς μὲ τὴν βοήθεια τοῦ Θεοῦ θὰ σὲ θεραπεύσει.

Καὶ γιὰ τὸ ἐργόχειρο, ὅ,τι ἀκοῦς νὰ τὸ κάνεις καὶ θὰ σωθεῖς στὸ ὄνομα τοῦ Θεοῦ.

Γιὰ τοὺς ψαλμούς, μὴν ἀφήνεις τὸ μάθημα, διότι εἶναι ἐνέργεια, καὶ ἀγωνίσου νὰ τοὺς ἀποστηθίζεις· διότι ὠφελεῖσαι πολύ.

Ὅσο γιὰ ἐκεῖνα ποὺ ξεπερνοῦν τὴ δύναμή σου μὴ ζητήσεις νὰ τ' ἀκούσεις· διότι ἔχεις πρὸς τὸ παρὸν μαθήματα σύμφωνα μὲ τὰ μέτρα σου ποὺ σὲ ὠφελοῦν.

144

Τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο.

'Απόκριση

Νὰ μὴ χλευασθεῖς ἀνοήτως, διότι δὲν εἶναι δυνατὸ νὰ πιστέψεις στοὺς ἐχθρούς σου· ἐὰν ἀμεριμνήσεις καὶ ἀμελήσεις, ἔρχονται πάλι· διότι ὁ στρατιώτης σὲ καιρὸ εἰρήνης μελετᾶ τὰ σχετικὰ μὲ τὸν πόλεμο. Πρόσεχε ὅτι ὁ Κύριος εἶπε στὸ φίδι, «αὐτὸς θὰ συντρίψει τὸ κεφάλι σου καὶ ἐσὺ θὰ κεντήσεις τὴν πτέρνα του». Μέχρι λοιπὸν τὴν τελευταία ἀναπνοὴ ὁ ἄνθρωπος δὲν πρέπει νὰ ἀμεριμνᾶ.

Πρόσεχε λοιπόν, ἀδελφέ, τὸν ἑαυτό σου ἀπὸ τὴν ὀργὴ καὶ τὴν κενοδοξία καὶ τὸν ὕπνο καὶ τὰ ὑπόλοιπα πάθη, γνωρίζοντας ὅτι ὁ ἐχθρὸς δὲν κοιμᾶται οὔτε ἀμελεῖ.

'Αδελφέ, ἐὰν θέλεις νὰ σωθεῖς, ἀπόκτησε ταπείνωση, ὑπακοὴ καὶ ἑκούσια ὑποταγή· καὶ ὅταν ἀκοῦς κάτι ἀπὸ τὸν γέροντα, ὅ,τι κι' ἂν εἶναι, πές του μὲ ταπείνωση· 'προσευχήσου, πάτερ, γιὰ μένα, γιὰ νὰ μοῦ δώσει σύνεση καὶ ἐγρήγορση ὁ Θεός, γιὰ νὰ μὴ σὲ στενοχωρῶ'. Τήρησε αὐτά, καὶ θὰ σωθεῖς.

ΡΜΕ'

Ὁ αὐτὸς ἀδελφὸς ἀσθενείᾳ περιπεσὼν καὶ ὑποπτεύων ἀποθανεῖν, ᾔτησε μετὰ ταπεινώσεως πολλῆς τὸν αὐτὸν μέγαν Γέροντα περὶ ἀφέσεως ἁμαρτιῶν, καὶ περὶ ὑπομονῆς τῆς ἐν τῇ νόσῳ ἕως τέλους. Καὶ ἀπεκρίνατο αὐτῷ οὕτως.

Μὴ λυπηθῇς, ἀδελφέ· ὁ γὰρ ἐκτὸς ἁμαρτιῶν θάνατος, οὐκ ἔστι θάνατος, ἀλλὰ μετάβασις ἀπὸ θλίψεως εἰς ἀνάπαυσιν· ἀπὸ σκότους εἰς τὸ ἀνεκλάλητον φῶς καὶ εἰς τὴν ζωὴν τὴν αἰώνιον. Καὶ λέγει δέ σοι ὁ Θεὸς ὁ μέγας βασιλεύς, ἀφέωνταί σοι πᾶσαι αἱ ἁμαρτίαι σου, προηγουμένως διὰ τῶν εὐχῶν καὶ δεήσεων τῶν ἁγίων, καὶ διὰ τὴν σὴν εἰς αὐτὸν πίστιν, δώῃ σοι τὴν ὑπομονὴν ἕως τέλους.

ΡΜS'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Δέσποτά μου πάτερ, ἐν ταῖς χερσίν εἰμι τοῦ Θεοῦ καὶ ταῖς σαῖς· ποίησον οὖν τὸ ἔλεός σου ἕως τέλους μετ' ἐμοῦ καὶ τάχυνον τοῦ ἀπολῦσαι με παρατιθέμενός με τῷ Δεσπότῃ μου Χριστῷ, καὶ ὁδηγῶν ταῖς ἁγίαις σου εὐχαῖς καὶ παραπέμπων τὸν ἀέρα καὶ τὴν ὁδὸν ταύτην ἣν οὐ γινώσκω.

Ἀπόκρισις

Θεῷ τῷ καταξιώσαντι ὑπεραποθανεῖν ἡμῶν, τῷ Δεσπότῃ τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ πάσης πνοῆς, παρατίθημί σε, ἀδελφέ, τοῦ καταπραῦναι ἔμπροσθέν σου τὸν φόβον τοῦ θανάτου καὶ τοῦ ἀνεμπόδιστον ποιῆσαι τὴν ἀνάβασιν τῆς ψυχῆς σου καὶ μετὰ παρρησίας προσκυνῆσαι τὴν ἁγίαν Τριάδα, τοῦτ' ἔστιν ἠλευθερωμένον, φοβούμενον δὲ καὶ τρέμοντα κατὰ τοὺς ἀγγέλους, καὶ τοῦ ἀναπαῦσαί σε μετὰ τῶν ἁγίων αὐτοῦ.

145

Ὁ ἴδιος ἀδελφός, ἐπειδὴ ἀρρώστησε καὶ ὑποπτευόταν ὅτι θὰ πεθάνει, ζήτησε μὲ πολλὴ ταπείνωση ἀπὸ τὸν ἴδιο μεγάλο Γέροντα νὰ μεσιτεύσει γιὰ συγχώρηση ἁμαρτιῶν· καὶ γιὰ τὴν ὑπομονὴ κατὰ τὴν ἀρρώστια μέχρι τὸ τέλος. Καὶ τοῦ ἀποκρίθηκε ὡς ἑξῆς.

Ἀδελφέ, μὴ λυπηθεῖς· διότι ὁ θάνατος χωρὶς ἁμαρτίες, δὲν εἶναι θάνατος, ἀλλὰ μετάβαση ἀπὸ θλίψη σὲ ἀνάπαυση· ἀπὸ τὸ σκοτάδι στὸ ἀνεκδιήγητο φῶς καὶ στὴν αἰώνια ζωή. Καὶ σοῦ λέγει ὁ Θεὸς ὁ μεγάλος βασιλιάς, σοῦ συγχωροῦνται ὅλες οἱ ἁμαρτίες σου, προηγουμένως ὅμως μὲ τὶς προσευχὲς καὶ τὶς δεήσεις τῶν ἁγίων. Καὶ ἐξαιτίας τῆς πίστεώς σου σ' αὐτὸν εἴθε νὰ σοῦ δώσει ὑπομονὴ μέχρι τὸ τέλος.

146

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Δέσποτα μου πάτερ, εἶμαι στὰ χέρια τοῦ Θεοῦ καὶ στὰ δικά σου· δεῖξε λοιπὸν ἔλεος σὲ μένα μέχρι τὸ τέλος καὶ ἐπιτάχυνε νὰ μὲ ἀπολύσεις, παραδίδοντάς με στὸ Δεσπότη μου Χριστό, ὁδηγώντας με μὲ τὶς ἅγιες εὐχές σου καὶ στέλνοντάς τες στὸν ἀέρα καὶ στὸν δρόμο αὐτὸ ποὺ δὲν γνωρίζω.

Ἀπόκριση

Σὲ παραδίδω, ἀδελφέ, στὸ Θεὸ ποὺ καταξίωσε νὰ πεθάνει γιὰ μᾶς, στὸν Δεσπότη τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ κάθε πνοῆς, ὥστε νὰ καταπραΰνει μπροστά σου τὸν φόβο τοῦ θανάτου καὶ νὰ κάνει ἀνεμπόδιστη τὴν ἀνάβαση τῆς ψυχῆς σου, ὥστε νὰ προσκυνήσεις μὲ παρρησία τὴν ἁγία Τριάδα, δηλαδὴ ἀπελευθερωμένος, ἀλλὰ φοβούμενος καὶ τρέμοντας, κατ' ἀναλογία μὲ τοὺς ἀγγέλους, καὶ νὰ σὲ ἀναπαύσει μαζὶ μὲ τοὺς ἁγίους του.

ΡΜΖ'

Ἄλλος ἀδελφὸς ἀσθενήσας, φθίσει περιπεσών, καὶ πάνυ κινδυνεύων, παρεκάλεσε τὸν αὐτὸν μέγαν Γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ καὶ αἰτῆσαι αὐτῷ ἄφεσιν ἁμαρτιῶν.

Ἀπόκρισις

Μὴ φοβηθῇς, ἀδελφέ, ἀλλὰ μᾶλλον χαρῇ ἡ ψυχή σου καὶ εὐφρανθῇ ἐν Κυρίῳ. Καὶ πίστευσόν μοι μετὰ ἀληθείας, ὅτι ἰδοὺ συνεχώρησεν ὁ Θεὸς ὅλας σου τὰς ἁμαρτίας κατὰ τὴν αἴτησίν σου, ἀπὸ παιδὸς μέχρι τοῦ δεῦρο. Εὐλογητὸς ὁ θελήσας Θεός, ὅτι συνεχώρησέ σοι ὅλας.

Μὴ οὖν λυπηθῇς· οὐδὲν κακὸν ἔχεις. Πόνος ἐστὶ καὶ παύεται.

ΡΜΗ'

Πάλιν αὐτοῦ βαρηθέντος ἐπὶ πλεῖον, παρεκάλεσάν τινες ἀδελφοὶ τὸν ἄλλον γέροντα ἑρμηνεῦσαι αὐτοῖς τὴν πρὸ ταύτης ἀπόκρισιν· ἢ περὶ ζωῆς εἶπεν ὁ γέρων ἢ περὶ θανάτου.

Ἀπόκρισις

Περὶ θανάτου ἐστί· δύναται δὲ αἰτῆσαι αὐτῷ ζωὴν ἐὰν πληροφορηθῇ ὑπὸ Θεοῦ.

ΡΜΘ'

Ταῦτα ἀκούσαντες παρεκάλεσαν τὸν μέγαν Γέροντα αἰτῆσαι αὐτῷ ζωήν.

147

῎Αλλος ἀδελφός, ἀφοῦ ἀρρώστησε καὶ προσβλήθηκε ἀπὸ φυματίωση καὶ κινδύνευε πολύ, παρακάλεσε τὸν ἴδιο μεγάλο Γέροντα νὰ προσεύχεται γι' αὐτὸν καὶ τοῦ ζήτησε συγχώρηση τῶν ἁμαρτιῶν.

᾿Απόκριση

Μὴ φοβηθεῖς, ἀδελφέ, ἀλλὰ περισσότερο νὰ χαρεῖ ἡ ψυχή σου καὶ νὰ εὐφρανθεῖ ἐν Κυρίῳ. Καὶ πίστεψέ με εἰλικρινά, ὅτι νά, ὁ Θεὸς σοῦ συγχώρησε ὅλες τὶς ἁμαρτίες σου σύμφωνα μὲ τὴν αἴτησή σου, ἀπὸ τὴν παιδικὴ ἡλικία μέχρι τώρα. Εὐλογημένος ὁ Θεὸς ποὺ τὸ θέλησε, διότι σοῦ τὶς συγχώρησε ὅλες.

Μὴ λυπηθεῖς λοιπόν, δὲν ἔχεις κανένα κακό. Πόνος εἶναι καὶ σταματᾶ.

148

᾿Επειδὴ αὐτὸς δυσανασχετοῦσε πάλι περισσότερο, μερικοὶ ἀδελφοὶ παρακάλεσαν τὸν ἄλλο γέροντα νὰ τοὺς ἑρμηνεύσει τὴν προηγούμενη ἀπάντηση, ἂν ὁ Γέροντας τὸ εἶπε γιὰ ζωὴ ἢ γιὰ θάνατο.

᾿Απόκριση

Γιὰ τὸν θάνατο τὸ εἶπε· μπορεῖ ὅμως νὰ ζητήσει ζωὴ γι' αὐτόν, ἐὰν πληροφορηθεῖ ἀπὸ τὸ Θεό.

149

῞Οταν ἄκουσαν αὐτά, παρακάλεσαν τὸν μεγάλο Γέροντα νὰ τοῦ ζητήσει ζωή.

Ἀπόκρισις

Ὁ Θεός μου ὁ ἀγαθὸς καὶ εὔσπλαγχνος, ἔτι καὶ ἔτι ἐμπλήσοι ὑμᾶς τῆς χαρᾶς τοῦ ἁγίου Πνεύματος. Ἀμήν. Περὶ δὲ τοῦ ἀδελφοῦ ἀρκεῖ αὐτῷ εἴ τι κατηξιώθη λαβεῖν, ὅτι ἄφνω πλούσιος ἐγένετο, καὶ ἐκ δούλου ἐλεύθερος. Ἀλλ᾽ εὐλογητὸς ὁ εὐδοκήσας καὶ προσδεξάμενος τὴν παράκλησιν Θεός.

Μηδὲν οὖν εἴπητε τῷ ἀδελφῷ, ἵνα μὴ λυπηθῇ. Ἀλλ᾽ ὑμεῖς φυλάξατε τὸ μυστήριον· οὐ γάρ ἐστιν αὐτῷ θάνατος, ἀλλὰ μετάβασις ἀπὸ θανάτου εἰς ζωὴν τὴν αἰώνιον, καὶ ἐκ θλίψεως εἰς ἀνάπαυσιν.

ΡΝ'

Πάλιν τοῦ ἀδελφοῦ βαρηθέντος καὶ πάνυ κάμνοντος, παρεκάλεσαν αὐτὸν τὸν μέγαν Γέροντα ποιῆσαι τὸν Θεὸν αἰτηθέντα ὑπ᾽ αὐτοῦ μετὰ τοῦ ἀδελφοῦ τάχιον τὸ ἔλεος.

***Ἀπόκρισις** τοῦ μεγάλου Γέροντος.*

Διὰ τοῦτο ἔμεινεν ἐν τῷ κόπῳ, ἵνα μὴ μείνῃ καθ᾽ ἑαυτὴν ἡ γενομένη περὶ αὐτοῦ δέησις· καὶ ὁ Θεὸς τὸ συμφέρον αὐτῷ καὶ ἐποίησε καὶ ποιεῖ, εὐχαῖς ἁγίων. Ἀμήν. Καὶ μετὰ τὴν ἀπόκρισιν ταύτην ἐτελειώθη ἐν εἰρήνῃ ὁ ἀδελφός.

ΡΝΑ'

Γέρων τις ἀββᾶς Εὐθύμιος ἡσυχάζων ἔπεμψε τὴν εὐχὴν ταύτην πρὸς τὸν αὐτὸν μέγαν Γέροντα, ἵνα δι᾽ αὐτοῦ ὁ Θεὸς ποιήσηται τὴν πρὸς αὐτὸν ἀπόκρισιν πρὸς τὰς ἐρωτήσεις τὰς ἐν τῇ εὐχῇ.

'Απόκριση

Ο ἀγαθὸς καὶ εὔσπλαγχνος Θεός μου εἴθε νὰ σᾶς γεμίσει μὲ τὴ χαρὰ τοῦ ἁγίου Πνεύματος. Γένοιτο. Ὅσο γιὰ τὸν ἀδελφὸ ἀρκεῖ σ' αὐτόν ἐκεῖνο ποὺ καταξιώθηκε νὰ πάρει, διότι ξαφνικὰ ἔγινε πλούσιος καὶ ἀπὸ δοῦλος ἐλεύθερος. 'Αλλὰ εὐλογητὸς ὁ Θεὸς ποὺ εὐδόκησε καὶ δέχθηκε τὴν παράκληση.

Μὴ πεῖτε λοιπὸν τίποτε στὸν ἀδελφό, γιὰ νὰ μὴ λυπηθεῖ. 'Αλλὰ ἐσεῖς νὰ φυλάξετε τὸ μυστικό· διότι δὲν εἶναι θάνατος γι' αὐτόν, ἀλλὰ μετάβαση ἀπὸ τὸ θάνατο στὴν αἰώνια ζωὴ καὶ ἀπὸ τὴ θλίψη στὴν ἀνάπαυση.

150

Ἐπειδὴ ὁ ἀδελφὸς δυσφοροῦσε πάλι καὶ ὑπέφερε πολύ, παρακάλεσαν τὸν ἴδιο μεγάλο Γέροντα νὰ ζητήσει ἀπὸ τὸ Θεὸ νὰ κάμει γρήγορα τὸ ἔλεός του.

'Απόκριση τοῦ μεγάλου Γέροντα.

Γι' αὐτὸ ἔμεινε στὸν κόπο, γιὰ νὰ μὴ μείνει μόνη της ἡ δέηση ποὺ ἔγινε γι' αὐτόν· καὶ ὁ Θεὸς ἔκανε καὶ κάνει αὐτὸ ποὺ τοῦ συμφέρει μὲ τὶς εὐχὲς τῶν ἁγίων. Γένοιτο. Καὶ μετὰ ἀπὸ αὐτὴ τὴν ἀπάντηση ὁ ἀδελφὸς τελείωσε τὴ ζωή του είρηνικα.

151

Κάποιος γέροντας 'Αββᾶς, μὲ τὸ ὄνομα Εὐθύμιος, ποὺ ἡσύχαζε, ἔστειλε αὐτὴν τὴν προσευχὴ στὸν ἴδιο μεγάλο Γέροντα, γιὰ νὰ τοῦ ἀπαντήσει ὁ Θεὸς μέσω αὐτοῦ, στὶς ἐρωτήσεις ποὺ εἶναι μέσα στὴν προσευχή.

Ἀπόκρισις

Ζωοδότα, ἡ ὁδὸς τῶν ἐν σκότει, φώτισον καὶ ἡμᾶς τοὺς ἐν τῇ ὁμίχλῃ· αὐτὸς γὰρ εἶπας, ἅγιε, «αἰτεῖτε καὶ λήψεσθε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν». Καὶ ἐπειδὴ θέλεις καὶ εἰς ἡμᾶς θύραν ἀνοῖξαι σωτηρίας, τάχυνον· ἐνήρξω γάρ. Εἰ μὴ γὰρ ἤθελες ἡμᾶς σῶσαι, οὐκ ἂν ἡμῖν ἐδήλωσας, τὰ παρ' ἡμῖν μὲν ἀδύνατα, παρὰ σοὶ δὲ τῷ Θεῷ δυνατά.

Ἐδήλωσας ἡμῖν, ἅγιε, καθάρισον σεαυτόν, ἐὰν θέλῃς ἵνα ἔρχωμαι· κἀγὼ εἶπον, ἅγιε, 'ὁ πηλὸς καθαρίσαι ἑαυτὸν οὐ δύναται'. Καὶ πάλιν εἶπας ἡμῖν, Δέσποτα, 'ὁ θέλων μου καταξιωθῆναι τῶν δωρεῶν, κατανοησάτω τὰ ἴχνη μου ἐν πᾶσι'· καὶ πῶς δύναται κατανοῆσαι ὁ ἀπὸ γενέσεως τυφλὸς γεγενημένος, ἐὰν μὴ ἀνοιχθῶσιν αὐτοῦ οἱ ὀφθαλμοί; Ὁ τυφλὸς ζητεῖ χειραγωγόν, ἵνα πως εὕρῃ τὴν μικρὰν διακονίαν αὐτοῦ· καὶ γὰρ Τιμαῖος ὁ Βαρτιμαίου υἱός, ἐκάθητο παρὰ τὴν ὁδόν, αἰτῶν ἐλεημοσύνην, καὶ ὅτε ἤκουσεν, ὅτι τὸ φῶς τῆς δικαιοσύνης διὰ τῆς ὁδοῦ ἐκείνης διέρχεται, ἀνέκραξε λέγων· «υἱὲ Δαβίδ, ἐλέησόν με»· καὶ ὅτε ἐσπλαγχνίσθη ἡ ἀγαθότης σου καὶ προσεκαλέσω αὐτὸν καὶ εἶπας, «τί θέλεις ποιήσω σοι;», ὁ δὲ εἶπε· «ραββουνί, ἵνα ἀναβλέψω». Εὐθέως ἡ ἀγαθότης σου εἶπεν, «ἀνάβλεψον», καὶ ἀνέβλεψε, καὶ εἶδε τὰ ἴχνη σου καὶ ἠκολούθησέ σοι.

Κἀγὼ θέλω ἀνακράξαι καὶ ἐπιτιμᾷ μοι ὁ ἀεὶ θέλων σκοτίσαι τοὺς ὀφθαλμοὺς τῶν βλεπόντων. Εἰ θέλει ἡ ἀγαθότης σου προσκαλέσασθαι καὶ ἐμὲ καὶ εἰπεῖν, «τί θέλεις ποιήσω σοι;», κράξω κἀγὼ κατ' αὐτόν, «Κύριε, ἵνα ἀνοιγῶσι μου οἱ ὀφθαλμοί»· καὶ γὰρ ὁ λεπρός, εἰ ἠδύνατο ἑαυτὸν καθαρίσαι, οὐκ ἂν

---

47. Ἰω. 16,24 καὶ Ματθ. 7,7.
48. Λουκᾶ 18,27.
49. Ἰω. 9,1.

Ἀπόκριση

Ζωοδότη, ἡ ὁδὸς αὐτῶν ποὺ βρίσκονται στὸ σκοτάδι, φώτισε καὶ μᾶς ποὺ εἴμαστε μέσα στὴν ὁμίχλη, διότι ἐσὺ ὁ ἴδιος, ἅγιε, εἶπες «ζητεῖτε καὶ θὰ λάβετε, χτυπᾶτε καὶ θὰ σᾶς ἀνοιχθεῖ»[47]. Καὶ ἐπειδὴ θέλεις καὶ σὲ μᾶς ν' ἀνοίξεις θύρα σωτηρίας, βιάσου· διότι ἄρχισες. Διότι, ἐὰν δὲν ἤθελες νὰ μᾶς σώσεις, δὲ θὰ μᾶς ἔλεγες, ὅτι αὐτὰ ποὺ εἶναι ἀδύνατα σὲ μᾶς, εἶναι δυνατὰ σὲ σένα τὸ Θεό[48].

Μᾶς εἶπες, ἅγιε, 'καθάρισε τὸν ἑαυτό σου ἐὰν θέλεις νὰ ἔρθω'· καὶ ἐγώ, ἅγιε, εἶπα, 'ὁ πηλὸς δὲν μπορεῖ νὰ καθαρίσει τὸν ἑαυτό του'. Καὶ πάλι, Δέσποτα, μᾶς εἶπες, 'αὐτὸς ποὺ θέλει νὰ ἀξιωθεῖ τὶς δωρεές μου, νὰ ἀναγνωρίσει τὰ ἴχνη μου σὲ ὅλα'· πῶς μπορεῖ νὰ τὰ κατανοήσει ἐκεῖνος ποὺ εἶναι ἀπὸ τὴ γένεσή του τυφλός[49], ἐὰν δὲν ἀνοιχθοῦν τὰ μάτια του; Ὁ τυφλὸς ζητεῖ χειραγωγό, γιὰ νὰ βρεῖ κάπως τὴ μικρὴ διακονία του· διότι καὶ ὁ Τιμαῖος, ὁ υἱὸς τοῦ Βαρτιμαίου, καθόταν κοντὰ στὸ δρόμο, ζητώντας ἐλεημοσύνη, καὶ ὅταν ἄκουσε ὅτι τὸ φῶς τῆς δικαιοσύνης περνᾶ ἀπὸ ἐκεῖνο τὸ δρόμο, φώναξε λέγοντας· «υἱὲ τοῦ Δαβίδ, ἐλέησέ με»[50]· καὶ ὅταν εὐσπλαγχνίσθηκε ἡ ἀγαθότητά σου καὶ τὸν προσκάλεσες καὶ εἶπες, «τί θέλεις νὰ σοῦ κάνω;» καὶ αὐτὸς εἶπε, «διδάσκαλε, θέλω νὰ ἀναβλέψω», ἀμέσως ἡ ἀγαθότητά σου εἶπε, «ἀνάβλεψε», καὶ ἀνάβλεψε, καὶ εἶδε τὰ ἴχνη σου καὶ σὲ ἀκολούθησε[51].

Καὶ ἐγὼ θέλω νὰ φωνάξω καὶ μὲ ἐπιτιμᾶ αὐτὸς ποὺ θέλει πάντα νὰ σκοτίσει τὰ μάτια ἐκείνων ποὺ βλέπουν· ἐὰν θέλει ἡ ἀγαθότητά σου νὰ μὲ προσκαλέσει καὶ μένα καὶ νὰ πεῖ, «τί θέλεις νὰ σοῦ κάνω;», θὰ φωνάξω καὶ ἐγὼ ὅπως ἐκεῖνος, 'Κύριε, ν' ἀνοίξουν τὰ μάτια μου'[52], διότι καὶ ὁ λεπρός, ἂν μποροῦσε νὰ

---

50. Μαρκ. 10,47.
51. Μαρκ. 10,46–52.
52. Ματθ. 20,33.

ἔκραξε, «Κύριε, ἐὰν θέλῃς δύνασαί με καθαρίσαι», ἀλλ' ἐκαθάριζεν ἑαυτόν. Κἀγὼ κατ' αὐτὸν κράζω· 'δὸς κἀμοὶ τὴν αὐτὴν ἁγίαν φωνήν', «θέλω, καθαρίσθητι», καὶ εὐθέως ἀπέρχεται ἀπ' ἐμοῦ ἡ λέπρα. Καὶ ἀναβλέψας καὶ καθαρισθείς, τότε κατανοήσω τὰ ἴχνη σου, τοῦ βαδίσαι κατ' ὄπισθέν σου· ὅτι σὺ εἶ ἡ ὁδὸς τῶν πεπλανημένων.

Καὶ τὸν πατέρα παρακαλῶ. Ναί, πάτερ, δεήθητι τοῦ Δεσπότου ἡμῶν Χριστοῦ, ἵνα ἀνοίξῃ μου τοὺς ὀφθαλμούς, ὅτι σὲ ἔχω τὸν χειραγωγὸν τὸν προσάγοντά με τῷ Δεσπότῃ Ἰησοῦ, ὅτι αὐτῷ ἐστιν ἡ δόξα σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας Ἀμήν.

ΡΝΒ'

Ἀπόκρισις

Καὶ νῦν καιρός ἐστιν εὐπρόσδεκτος τοῦ μελωδῆσαι τὸν τοῦ Εὐαγγελίου λόγον· ὅτι «οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες». Εἰ οὖν ὁ κακῶς ἔχων προσέλθῃ τῷ ἰατρῷ, χρὴ αὐτὸν φυλάξαι τὰ ὑπὸ τοῦ ἰατροῦ προστασσόμενα κατὰ τὸν εἰπόντα, «πιστεύειν δεῖ τὸν προσερχόμενον Θεῷ, ὅτι ἐστὶ καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται· πιστὸς γάρ ἐστιν ὁ εἰπών, ὅτι δώσω αὐτοῖς ἐν τῷ νῦν αἰῶνι ἑκατονταπλασίονα, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον». Οἱ τοίνυν προσερχόμενοι τῷ μεγάλῳ ἡμῶν ἰατρῷ, φωτίζονται ὑπ' αὐτοῦ, καὶ ἰατρεύει αὐτῶν ὅλα τὰ νοητὰ πάθη.

Μὴ καυχησώμεθα οὖν λέγοντες, ὅτι 'πιστοί ἐσμεν', ἐπεὶ

---

53. Ματθ. 8,2.
54. Ματθ. 8,3.
55. Β' Κορ. 6,2.

καθαρίσει τὸν ἑαυτό του δὲ θὰ φώναζε, «Κύριε, ἐὰν θέλεις μπορεῖς νὰ μὲ καθαρίσεις»[53], ἀλλὰ θὰ καθάριζε τὸν ἑαυτό του. Καὶ ἐγὼ φωνάζω ὅπως αὐτός· 'Δῶσε μου κι ἐμένα τὴν ἴδια ἁγία φωνή, «θέλω νὰ καθαρισθεῖς»[54]' καὶ ἀμέσως φεύγει ἀπὸ πάνω μου ἡ λέπρα. Καὶ ἀφοῦ ἀναβλέψω καὶ καθαρισθῶ, τότε θὰ γνωρίσω τὰ ἴχνη σου, ὥστε νὰ βαδίσω πίσω σου· διότι ἐσὺ εἶσαι ἡ ὁδὸς ἐκείνων ποὺ πλανῶνται.

Καὶ τὸν πατέρα παρακαλῶ· 'Ναί, πάτερ, παρακάλεσε τὸν Δεσπότη μας Χριστὸ νὰ ἀνοίξει τὰ μάτια μου, ἐπειδὴ ἐσένα ἔχω ὁδηγὸ ποὺ μὲ ὁδηγεῖ στὸν Δεσπότη Ἰησοῦ· διότι σ' αὐτὸν ἀνήκει ἡ δόξα μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες. Γένοιτο.

152

Ἀπόκριση

Καὶ τώρα εἶναι εὐπρόσδεκτος[55] ὁ καιρός, ὥστε νὰ μελωδήσουμε τὸν λόγο τοῦ Εὐαγγελίου, ὅτι «δὲν ἔχουν ἀνάγκη ἰατροῦ οἱ ὑγιεῖς, ἀλλὰ οἱ ἀσθενεῖς»[56]. Ἐὰν λοιπὸν ὁ ἀσθενὴς προσέλθει στὸ γιατρὸ πρέπει νὰ τηρήσει ἐκεῖνα ποὺ τοῦ παρήγγειλε ὁ γιατρός, σύμφωνα μ' αὐτὸν ποὺ εἶπε, «ἐκεῖνος ποὺ ἔρχεται κοντὰ στὸ Θεὸ πρέπει νὰ πιστεύει, ὅτι ὑπάρχει καὶ ἀνταμείβει[57] ἐκείνους ποὺ τὸν ἐπιζητοῦν, διότι εἶναι ἀξιόπιστος ἐκεῖνος ποὺ εἶπε, «θὰ τοὺς δώσω ἑκατονταπλάσια στὸν παρόντα αἰώνα καὶ στὸν μέλλοντα αἰώνια ζωή»[58]. Αὐτοὶ λοιπὸν ποὺ ἔρχονται κοντὰ στὸ μεγάλο μας ἰατρό, φωτίζονται ἀπὸ αὐτὸν καὶ τοὺς ἰατρεύει ὅλα τὰ νοητὰ πάθη.

Ἂς μὴ καυχηθοῦμε λοιπὸν λέγοντας, 'εἴμαστε πιστοί', διό-

56. Λουκᾶ 5,31.
57. Ἑβρ. 11,6.
58. Μαρκ. 10,30.

κρινώμεθα ὡς ὑποκριταὶ καὶ ἄπιστοι ἄνθρωποι· ἐκ γὰρ τῶν φαινομένων φανεροῦται ἡ μὴ φανερουμένη πίστις, ἡ ἐν ἀποκρύφοις οἰκοῦσα τῆς καρδίας. Εἰ πιστεύομεν τῷ Σωτῆρι Χριστῷ λέγοντι, ὅτι «κατὰ τὴν πίστιν σου γενηθήτω σοι», εἰπάτω καὶ νῦν πρὸς τὴν ἐνοικοῦσαν ἐν τῷ σώματι ἡμῶν ψυχήν, ὅτι «θάρσει, θύγατερ· ἡ πίστις σου σέσωκέ σε». Ὥστε οὖν οὐ τὸ εἰπεῖν καὶ ἀπαγγέλλειν ἐν τῷ στόματι, αὕτη ἐστὶν ἡμῶν ἡ πίστις, ἀλλὰ ἡ τελεία ἡμῶν πίστις ἀπὸ τῆς ἰατρείας φανεροῦται.

Εἰ οὖν ἐπίστευσας καὶ ἐθεραπεύθης, βάδιζε καὶ μὴ προσκόψῃς· ἐθεραπεύθης, μὴ χωλαίνῃς· ἐθεραπεύθης, δεῖξον ὅτι συνεστάλη σου ἡ ῥύσις τοῦ αἵματος. Κἂν ἔχῃς ταῦτα, ἄνθρωπε, ἐγγὺς εἶ τοῦ ἀκοῦσαι τοῦ Σωτῆρος λέγοντος πρὸς τὴν καθαρωτάτην σου ψυχὴν καὶ ὡραιοτάτην· «ὅλη καλὴ ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί». Καὶ πάλιν τοῦ Ἀποστόλου λέγοντος· «μὴ ἔχουσα σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων».

Ἤνοικται οὖν ἡμῖν ἡ θύρα καὶ ἥπλωται ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν· καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν καὶ καρτερήσωμεν ἐν τῷ πρακτικῷ τοῦ κόπου ἡμῶν. Ἀληθῶς γὰρ οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Καὶ οὐκ ἔστιν ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοιούτων κόπων, ἐὰν ἕως τέλους κρατήσωμεν ὑπακοήν. Φησὶ γάρ· «ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται», ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

ΡΝΓ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα*

---

59. Ματθ. 9,29.
60. Ματθ. 9,22.
61. Ἆσμα Ἀσμάτων 4,7.
62. Ἐφ. 5,27.

τι θὰ κατακριθοῦμε ὡς ὑποκριτὲς καὶ ἄπιστοι ἄνθρωποι· διότι ἀπὸ τὰ φαινόμενα φανερώνεται ἡ μὴ φανερὴ πίστη ποὺ κατοικεῖ στὰ ἀπόκρυφα τῆς καρδιᾶς. Ἐὰν πιστεύουμε στὸν Σωτῆρα Χριστὸ ποὺ λέγει, «ἂς γίνει σύμφωνα μὲ τὴν πίστη σου»[59], ἂς πεῖ καὶ τώρα στὴν ψυχὴ ποὺ κατοικεῖ μέσα στὸ σῶμα μας, «ἔχε θάρρος, θηγατέρα, ἡ πίστη σου σὲ ἔσωσε»[60]. Ὥστε λοιπὸν ἡ πίστη μας δὲν εἶναι τὸ νὰ λέμε καὶ νὰ ἀπαγγέλλουμε μὲ τὸ στόμα, ἀλλὰ ἡ τέλεια πίστη μας φανερώνεται ἀπὸ τὴ θεραπεία.

Ἐὰν λοιπὸν πίστεψες καὶ θεραπεύτηκες, νὰ βαδίζεις καὶ νὰ μὴ σκοντάψεις· θεραπεύτηκες, μὴ κουτσαίνεις· θεραπεύτηκες, δεῖξε ὅτι σταμάτησε ἡ ροὴ τοῦ αἵματος. Καὶ ἐὰν ἔχεις αὐτά, ἄνθρωπε, εἶσαι κοντὰ στὸ νὰ ἀκούσεις τὸ Σωτῆρα νὰ λέγει στὴν καθαρώτατη καὶ ὡραιότατη ψυχή σου· «αὐτὴ ποὺ εἶναι κοντά μου εἶναι ὅλη καλὴ καὶ δὲν ὑπάρχει μομφὴ σὲ σένα»[61]. Καὶ πάλι ὁ Ἀπόστολος λέγει· «χωρὶς νὰ ἔχει σπίλο ἢ ρυτίδα ἢ κάτι ἀπὸ αὐτά»[62].

Ἔχει ἀνοιχτεῖ λοιπὸν σὲ μᾶς ἡ θύρα καὶ εἶναι ἁπλωμένη ἡ ὁδὸς ποὺ ὁδηγεῖ στὴ ζωή[63]· καὶ ὅτι πρέπει νὰ μποῦμε στὴ βασιλεία τῶν οὐρανῶν μὲ πολλὲς θλίψεις[64] καὶ νὰ δείξουμε ὑπομονὴ στὴν ἐκτέλεση τοῦ κόπου μας. Διότι πραγματικὰ δὲν εἶναι ἀντάξια τὰ παθήματα τοῦ τωρινοῦ καιροῦ μπροστὰ στὴ δόξα ποὺ πρόκειται νὰ φανερωθεῖ σὲ μᾶς[65]. Καὶ δὲν εἶναι ἄδικος ὁ Θεός, ὥστε νὰ ξεχάσει[66] τέτοιους κόπους, ἐὰν κρατήσουμε τὴν ὑπακοὴ μέχρι τὸ τέλος. Διότι λέγει· «ἐκεῖνος ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[67], μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ. Γένοιτο.

153

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα,

---

63. Ματθ. 7,14.
64. Πράξ. 14,22.
65. Ρωμ. 8,18.
66. Ἑβρ. 6,10.
67. Ματθ. 10,22.

ὡς ἐν προσευχῇ περὶ τῶν ρυπαρῶν λογισμῶν καὶ τῆς ἀναστάσεως.

Ἀπόκρισις

Η ζωὴ καὶ ἡ ἀνάστασις ἐπίσκεψαι ἡμᾶς, ὅτι σὸν πλάσμα ἐσμέν, καὶ καθάρισον ἡμᾶς ἀπὸ τοῦ λεγεῶνος τοῦ κακοῦ, ἅγιε, ὅτι ἐσπλαγχνίσθης εἰς τὸ πλάσμα σου καὶ ἐξέβαλες τὸν λεγεῶνα καὶ ἐζήτησαν οἱ δαίμονες εἰσελθεῖν εἰς τοὺς χοίρους. Ἆρά γε εἰς τοὺς ἀλόγους χοίρους, ἢ εἰς ἐμὲ τὸν λογικόν; ὅτι ὑπεδεξάμην αὐτούς, καὶ ἦλθον κατὰ τῶν κρημνῶν εἰς τὴν θάλασσαν· καὶ τύπτουσί με τὰ κύματα καὶ οὐ γινώσκω.

Νῦν δὲ νύσσει μέ τις ἔσωθεν διεγεῖραι τὸν κυβερνήτην, ὅπως ἐπιδώσῃ μοι χεῖρα καὶ ἀνασπάσῃ με τοῦ βυθοῦ, ὡς ἐποίησε τῷ Πέτρῳ, καὶ εἴπῃ πρὸς ἐμέ, «εἰς τί ἐδίστασας, ὀλιγόπιστε;». Καὶ ἐπειδὴ ἐπηγγείλω μοι διὰ τοῦ θεράποντός σου Βαρσανουφίου εἰς τὰς ἀποκρίσεις αὐτοῦ θεῖναι ἡμᾶς εἰς μίαν θήκην, ἆρα ὁμοῦ ἀνιστάμεθα; Φοβοῦμαι γὰρ τὸν εἰπόντα, «δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παραλαμβάνεται καὶ ὁ εἷς ἀφίεται· δύο ἔσονται ἐν τῷ μύλωνι, μία παραλαμβάνεται καὶ μία ἀφίεται». Καὶ ἐπειδὴ ἀπὸ κτίσεως κόσμου κοιμῶνται οἱ ἄνθρωποι ποὺ εὑρίσκονται πολλάκις τὰ σώματα τῶν ἁγίων καὶ τῶν ἁμαρτωλῶν ὁμοῦ εἰς ἓν μνῆμα, ἆράγε καὶ ἐν τῇ ἀναστάσει ὁμοῦ ἀναστήσονται; Ὅτε ἔρχονται οἱ ἐκλεκτοί σου ἄγγελοι ἀναστῆσαι τοὺς δικαίους, πάντας ἢ οὔ; ἀλλὰ μόνοι οἱ ἐκλεκτοί; Καὶ διὰ τοῦτο φοβούμενος ἐγὼ παρακαλῶ διὰ τοῦ θεράποντός σου, ἵνα, ὡς ἔδειξας ὅτι εἰς μίαν θήκην κοιμώμεθα, οὕτω δείξεις ὅτι καὶ ὁμοῦ ἀναστήσεις ἡμᾶς.

---

68. Ἰω. 11,25.
69. Μαρκ. 5,9–13.

σὰν εἶδος προσευχῆς γιὰ τοὺς ἀκάθαρτους λογισμοὺς κατὰ τὴν προσευχή, καὶ γιὰ τὴν ἀνάσταση.

Ἀπόκριση

Εσὺ ἡ ζωὴ καὶ ἡ ἀνάσταση[68], ἐπισκέψου μας, διότι εἴμαστε πλάσματά σου, καὶ καθάρισέ μας, ἅγιε, ἀπὸ τὸν λεγεώνα τοῦ κακοῦ, διότι εὐσπλαγχνίσθηκες τὸ πλάσμα σου καὶ ἔδιωξες τὸν λεγεώνα καὶ οἱ δαίμονες ζήτησαν νὰ μποῦν στοὺς χοίρους. Ἄραγε στοὺς ἄλογους χοίρους, ἢ σὲ μένα τὸν λογικό; διότι ἐγὼ τοὺς ὑποδέχθηκα καὶ ἦλθα πρὸς τοὺς γκρεμοὺς τῆς θάλασσας[69]· καὶ μὲ χτυποῦν τὰ κύματα καὶ δὲν ξέρω τί νὰ κάμω.

Τώρα ὅμως μὲ κεντρίζει κάποιος ἀπὸ μέσα νὰ ξυπνήσω τὸν κυβερνήτη[70], γιὰ νὰ μοῦ δώσει τὸ χέρι καὶ νὰ μὲ σηκώσει ἀπὸ τὸν βυθό, ὅπως ἔκανε στὸν Πέτρο, καὶ νὰ μοῦ πεῖ, «γιατί δίστασες, ὀλιγόπιστε;»[71]. Καὶ ἐπειδὴ μοῦ ὑποσχέθηκες μὲ τὸν ὑπηρέτη σου Βαρσανούφιο στὶς ἀπαντήσεις του νὰ μᾶς τοποθετήσεις σὲ μία θήκη, ἄραγε θ' ἀναστηθοῦμε μαζί; Διότι φοβᾶμαι αὐτὸν ποὺ εἶπε, «δύο ἄνδρες θὰ εἶναι στὸν ἀγρό, ὁ ἕνας θὰ παραλαμβάνεται καὶ ὁ ἕνας θὰ ἀφήνεται· δύο γυναῖκες θὰ εἶναι μέσα στὸ μύλο, ἡ μία παραλαμβάνεται καὶ ἡ μία ἀφήνεται»[72]. Καὶ ἐπειδὴ οἱ ἄνθρωποι κοιμοῦνται ἀπὸ κτίσεως κόσμου καὶ πολλὲς φορὲς τὰ σώματα τῶν ἁγίων βρίσκονται μαζὶ μὲ τῶν ἁμαρτωλῶν σὲ ἕνα μνῆμα, ἄραγε καὶ στὴν ἀνάσταση θὰ ἀναστηθοῦν μαζί; Ὅταν ἔρχονται οἱ ἐκλεκτοί σου ἄγγελοι νὰ ἀναστήσουν τοὺς δικαίους, θὰ τοὺς ἀναστήσουν ὅλους ἢ ὄχι; θὰ ἀναστηθοῦν μόνο οἱ ἐκλεκτοί; Καὶ γι' αὐτό, φοβούμενος ἐγώ, παρακαλῶ μὲ τὸν ὑπηρέτη σου, ὅπως ἔδειξες ὅτι κοιμούμαστε σὲ μία θήκη, ἔτσι νὰ δείξεις, ὅτι καὶ θὰ μᾶς ἀναστήσεις μαζί.

---

70. Μαρκ. 4,38.
71. Ματθ. 14,31.
72. Ματθ. 24,40.

Καὶ τὸν πατέρα μου Βαρσανούφιον παρακαλῶ, ὅτι ἐλάβομεν ἀρούρας θερίσαι ἐγὼ καὶ αὐτός, καὶ ἐγὼ ἠσθένησα καὶ οὐ δύναμαι θερίσαι, ἵνα ἀγωνίσηται αὐτὸς ὡς δυνατὸς τοῦ προσενεγκεῖν σοι τῷ Δεσπότῃ καὶ ὑπὲρ ἐμοῦ δράγματα δικαιοσύνης. Καὶ γὰρ εἰς τοὺς ἀρχαίους πατέρας εἴδομεν τοιοῦτον ὑπόδειγμα, ὅτι ἐξῆλθον τρεῖς θερίσαι, καὶ ὁ εἷς κατ' ἐμὲ ἠσθένησε καὶ ὑπέστρεψεν εἰς τὴν κέλλαν αὐτοῦ καὶ αὐτοὶ ἠνδρίσαντο καὶ ἔλαβον τὸ θέρος. Ὅτε δὲ ἐπλήρωσαν τὸ θέρος καὶ ἦλθον εἰς τοὺς οἴκους αὐτῶν, ἐβιάσαντο αὐτὸν λαβεῖν τὸν μισθόν, ὁ δὲ ἀντέλεγε· 'μισθὸν ποῖον, ὃν οὐκ ἐκοπίασα; ἀλλ' ὑμεῖς ἐκοπιάσατε'. Καὶ ἐπειδὴ ἐδικάσαντο μετ' αὐτοῦ, ἵνα λάβῃ τὸν μισθόν, προετίμησαν αὐτὸν οἱ πατέρες ἵνα λάβῃ· καὶ ἐμακαρίσθη αὐτῶν ἡ δίκη.

Σὺ οὖν, Δέσποτα Χριστὲ ὁ Θεός, κύρωσόν μου τὴν δέησιν ταύτην. Ὅτι σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΝΔ'

Ἀπόκρισις

Ὡς ἄνθρωπος οἰκοδεσπότης προΐστησιν ἑαυτοῦ πιστοὺς οἰκονόμους, δοὺς αὐτοῖς καὶ τὰ κλεῖθρα καὶ τὰ ὑπάρχοντα αὐτοῦ καὶ τὴν οἰκετείαν, καὶ ἐκ τοῦ πιστοῦ οἰκονόμου ἐστὶ τὸ πῶς κοιμηθῆναι, καὶ τὸ πῶς τραφῆναι, καὶ τὸ πῶς τιμηθῆναι ἐκ τοῦ ἰδίου δεσπότου, καὶ μετὰ τίνος διάγειν, ἢ μετὰ μεθυόντων ἢ μετὰ σεμνῶς βιούντων, καὶ ᾧ μὲν κεῖται ταλανισμός, ᾧ δὲ μακαρισμός. Οὕτω καὶ ὁ Θεὸς ἡμῶν προέστησεν ἑαυτῷ πιστοὺς ἀνθρώπους οἰκονόμους, καὶ τὰ κλεῖθρα αὐτοῦ ἔδωκεν αὐτοῖς τοῦ κλεῖσαι καὶ ἀνοῖξαι, τοῦτ' ἔστι τὸ αὐτεξούσιον.

Τὸ δὲ εἶναι πιστούς, διότι βαπτίζονται πάντες οἱ χριστιανοί· τὸ δὲ καλῶς οἰκονομεῖν τὰ πιστευθέντα αὐτοῖς, δηλονότι τὰ ἔργα τοῦ βαπτίσματος, διὰ τὴν αὐτῶν σωτηρίαν. Ἐὰν οὖν μετα-

Καὶ παρακαλῶ καὶ τὸν πατέρα μου Βαρσανούφιο, ἐπειδὴ πήραμε χωράφια νὰ ἀλωνίσουμε ἐγὼ καὶ αὐτός, ἀλλὰ ἐγὼ ἀρρώστησα καὶ δὲ μπορῶ νὰ θερίσω, νὰ ἀγωνισθεῖ αὐτός, ἐπειδὴ εἶναι δυνατός, νὰ προσφέρει σὲ σένα τὸν Δεσπότη καὶ γιὰ μένα καρποὺς δικαιοσύνης. Πράγματι καὶ στοὺς ἀρχαίους Πατέρες εἴδαμε τέτοιο παράδειγμα, ὅτι βγῆκαν τρεῖς νὰ θερίσουν καὶ ὁ ἕνας, ὅπως ἐγώ, ἀρρώστησε καὶ ἐπέστρεψε στὸ κελλί του καὶ οἱ ἄλλοι ἔγιναν δυνατοὶ καὶ θέρισαν. Ὅταν τελείωσαν τὸ θερισμὸ καὶ γύρισαν στὰ σπίτια τους, τὸν πίεσαν νὰ πάρει τὸν μισθό, ἀλλ' αὐτὸς ἔφερνε ἀντίρρηση· 'ποιό μισθό, αὐτὸν γιὰ τὸν ὁποῖο δὲν κοπίασα; ἐσεῖς κοπιάσατε'. Καὶ ὅταν ἔγινε δίκη μαζί του, γιὰ νὰ πάρει τὸ μισθό, προτίμησαν οἱ πατέρες νὰ τὸν πάρει· καὶ ἡ ἀπόφασή τους μακαρίσθηκε.

Ἐσὺ λοιπόν, Δέσποτα Χριστὲ ὁ Θεός, πραγματοποίησε αὐτὴ τὴ δέησή μου. Διότι ἡ δόξα εἶναι δική σου στοὺς αἰῶνες. Γένοιτο.

154

Ἀπόκριση

Ὁ οἰκοδεσπότης τοποθετεῖ ὡς ἀντιπροσώπους του πιστοὺς οἰκονόμους, δίνοντάς τους καὶ τὰ κλειδιὰ καὶ τὴν περιουσία του καὶ τὴν ὑπηρεσία, καὶ ἐξαρτᾶται ἀπὸ τὸν πιστὸ οἰκονόμο τὸ πῶς θὰ κοιμηθεῖ, τὸ πῶς θὰ τραφεῖ καὶ τὸ πῶς θὰ τιμηθεῖ ἀπὸ τὸν ἴδιο τὸ Δεσπότη, καὶ μὲ ποιούς νὰ ζεῖ, μὲ μεθυσμένους ἢ μὲ σώφρονες ἀνθρώπους. Καὶ ὁ ἕνας ὁδηγεῖται σὲ θρῆνο, ἐνῶ ὁ ἄλλος δέχεται μακαρισμό. Ἔτσι καὶ ὁ Θεός μας τοποθέτησε τοὺς δικούς του πιστοὺς οἰκονόμους, καὶ τοὺς ἔδωσε τὰ κλειδιὰ νὰ κλείσουν καὶ νὰ ἀνοίξουν, δηλαδὴ τὸ αὐτεξούσιο.

Τὸ ὅτι εἶναι πιστοί, ὀφείλεται στὸ ὅτι ὅλοι οἱ Χριστιανοὶ βαπτίζονται· τὸ νὰ διαχειρίζονται ὅμως καλὰ αὐτὰ ποὺ τοὺς ἔχουν ἐμπιστευθεῖ, δηλαδὴ τὰ ἔργα τοῦ βαπτίσματος, γίνεται

τραπῇ τις αὐτῶν ταύτης τῆς εὐθείας ὁδοῦ, γίνεται μετὰ τῶν μεθυόντων τὸ μέρος αὐτοῦ, τῶν μεθυσκομένων τῷ οἴνῳ τῆς ἀνομίας. Ὁ τοιοῦτος χοῖρός ἐστι λογικός, καὶ οἴδατε τί παθαίνει ἐρχομένου τοῦ δεσπότου. Ἐὰν δὲ καλῶς οἰκονομήσῃ τὰ παραδοθέντα αὐτῷ, τὸν παρὰ τοῦ δεσπότου μακαρισμὸν ἴσασι πάντες· φησὶ γάρ, «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν».

Περὶ δὲ τῆς ἀναστάσεως, ἄλλος ἐστὶν ὁ αἰὼν οὗτος, καὶ ὁμοῦ τὰ ζιζάνια μετὰ τοῦ σίτου εἰσίν. Ἀναστάσεως οὖν γενομένης, ἡ εὐαγγελικὴ φωνὴ διδάσκει ἡμᾶς, ὅτι μεμιγμένοι ἐγείρονται· τῷ εἰπεῖν, καὶ ἀφορίζει αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων. Τὰ δὲ περὶ τῶν δύο γυναικῶν καὶ δύο ἀνδρῶν, περὶ συντελείας εἶπε· περὶ πίστεως καὶ ἀπιστίας· ὅτι ὕστερον μία ἀναλαμβάνεται, καὶ εἰς μίαν στήκει ὁ ἄνθρωπος.

Τὸ δὲ περὶ τοῦ θερισμοῦ τῶν ἀδελφῶν, ἐξ ἀμφοτέρων συνέστη τὸ ἀγαθόν· αὐτὸς μὲν ὁ ἀσθενήσας εἶχε τὴν προαίρεσιν τοῦ ἐργάσασθαι, ἀλλ' ἐκώλυσεν αὐτὸν ἡ ἀσθένεια· αὐτοὶ δὲ εἶχον, ὅτι διὰ τῶν εὐχῶν τοῦ ἀδελφοῦ τοῦ ἀσθενοῦντος ἐνεδυνάμωσεν αὐτοὺς ὁ Κύριος καὶ τοὺς ἀμφοτέρους κατέλαβεν ἡ τοῦ ἁγίου Πνεύματος χάρις. Καθὼς οὖν ὁ Κύριος εἶπε πρὸς τοὺς Ἀποστόλους, «μὴ χαίρετε, ὅτι ὑποτάσσεται ὑμῖν τὰ δαιμόνια, ἀλλὰ χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς»· οὕτω καὶ ἡμεῖς, μὴ ζητῶμεν ἂν πάντες ἐγειρώμεθα, ἀλλὰ ἀκοῦσαι, «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου», καὶ τὸ εἶναι ὁμοῦ σὺν τῷ Ἰησοῦ ὡς ἔφησε τῷ Πατρί.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

73. Ψαλμ. 18,4.
74. Ματθ. 13,15-30.

γιὰ τὴ σωτηρία τους. Ἐὰν λοιπὸν κάποιος ἀπὸ αὐτοὺς παρεκκλίνει ἀπὸ αὐτὸν τὸν εὐθὺ δρόμο, τοποθετεῖται στὴ μερίδα τῶν μεθυσμένων, αὐτῶν ποὺ μεθοῦν μὲ τὸ κρασὶ τῆς ἀνομίας. Αὐτὸς ὁ ἄνθρωπος εἶναι χοῖρος λογικός, καὶ γνωρίζετε τί παθαίνει ὅταν ἔρχεται ὁ δεσπότης. Ἐὰν ὅμως διαχειρισθεῖ καλὰ ἐκεῖνα ποὺ τοῦ παραδόθηκαν, ὅλοι γνωρίζουν τὸν μακαρισμὸ ἀπὸ τὸ δεσπότη· διότι λέγει, «ὁ φθόγγος τους διαδόθηκε σὲ ὅλη τὴ γῆ, καὶ τὰ λόγια τους στὰ πέρατα τῆς οἰκουμένης»[73].

Ὡς πρὸς τὴν ἀνάσταση τώρα, ἄλλος εἶναι αὐτὸς ὁ αἰώνας, ὅπου τὰ ζιζάνια εἶναι μαζὶ μὲ τὸ σιτάρι[74]. Ὅταν λοιπὸν γίνει ἀνάσταση, ἡ εὐαγγελικὴ φωνὴ μᾶς διδάσκει ὅτι ἀναστένονται ἀναμιγμένοι καὶ χωρίζει τοὺς μὲν ἀπὸ τοὺς δέ, ὅπως ὁ ποιμένας χωρίζει τὰ πρόβατα ἀπὸ τὰ ἐρίφια[75]. Τὰ σχετικὰ μὲ τὶς δύο γυναῖκες καὶ τοὺς δύο ἄνδρες, τὰ εἶπε γιὰ τὴ συντέλεια, γιὰ τὴν πίστη καὶ τὴν ἀπιστία, ὅτι δηλαδὴ ὕστερα ἡ μία παραλαμβάνεται καὶ στὴ μία παραμένει ὁ ἄνθρωπος.

Τὸ σχετικὸ μὲ τὸν θερισμὸ τῶν ἀδελφῶν, τὸ καλὸ πραγματοποιήθηκε καὶ ἀπὸ τοὺς δύο· ὁ ἴδιος αὐτὸς ποὺ ἀρρώστησε εἶχε τὴν προαίρεση τῆς ἐργασίας, ἀλλὰ τὸν ἐμπόδισε ἡ ἀρρώστια· καὶ αὐτοὶ εἶχαν τὸ ὅτι μὲ τὶς προσευχὲς τοῦ ἀρρώστου ἀδελφοῦ, ὁ Κύριος τοὺς ἔδωσε δύναμη καὶ τοῦ κατέλαβε καὶ τοὺς δύο ἡ χάρη τοῦ ἁγίου Πνεύματος. Ὅπως λοιπὸν ὁ Κύριος εἶπε στοὺς Ἀποστόλους, «μὴ χαίρεσθε, ἐπειδὴ τὰ δαιμόνια ὑποτάσσονται σὲ σᾶς, ἀλλὰ νὰ χαίρεσθε, ἐπειδὴ τὰ ὀνόματά σας γράφηκαν στοὺς οὐρανούς»[76], ἔτσι καὶ ἐμεῖς νὰ μὴ ζητᾶμε ὅλοι νὰ ἀναστηθοῦμε, ἀλλὰ νὰ ἀκούσουμε τό, «ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατέρα μου, κληρονομῆστε τὴ βασιλεία ποὺ ἔχει ἑτοιμασθεῖ γιὰ σᾶς ἀπὸ καταβολῆς κόσμου»[77], καὶ τὸ νὰ εἴμαστε μαζὶ μὲ τὸν Ἰησοῦ, ὅπως εἶπε στὸν Πατέρα[77α].

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

75. Ματθ. 25,32.
76. Λουκᾶ 10,20.
77. Ματθ. 25,34.
77α. Ἰω. 17,24.

ΡΝΕ'

Τοῦ αὐτοῦ ὁμοίως.

Κύριε Ἰησοῦ Χριστέ, ὁ ἰατρὸς τῶν τετραυματισμένων ψυχῶν, εὐχάς σοι προσφέρομεν ἐκ τῶν ἁγίων σου λόγων, ἃς πρόσδεξαι διὰ τοῦ θεράποντός σου· αὐτὸς γὰρ εἶπας, Ἅγιε· «οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες»· ἐμνημόνευσε δὲ περὶ τούτου καὶ ὁ θεράπων σου Παῦλος· «ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον». Εἶπας, Ἅγιε, εἰς μίαν ἀπόκρισιν τούτων, 'εἰ ὑγίαινας, διὰ τί χωλαίνεις;' ὁ ὑγιάνας οὐ χωλαίνει, ἀλλ' ὀρθῶς περιπατεῖ· ἐγὼ ἐπειδὴ χωλός εἰμι καὶ τετραυματισμένος, διὰ τοῦτο βοῶ, ἵνα ἐπισκέψῃ κἀμὲ ὡς ἐπισκέψω καὶ τὸν κατερχόμενον εἰς Ἰεριχὼ καὶ ἐμπεσόντα εἰς τοὺς λῃστὰς (καὶ γὰρ ἐγὼ τοῖς αὐτοῖς λῃσταῖς περιέπεσον καὶ ἐτραυματίσθην), ἵνα καταδήσῃς καὶ τὰ ἐμὲ τραύματα καὶ ἐπιβιβάσῃς ἐπὶ τὸ ἅγιόν σου κτῆνος, τοῦτ' ἔστι τὴν πίστιν τὴν ἀγαθήν, καὶ εἰσβιβάσῃς με ἐπὶ τὸ ἅγιόν σου πανδοχεῖον· καὶ ἐπιμελήσῃ μου ὅπου ἐπιμελῇ πάντων τῶν καταπονουμένων.

Δέσποτα, ἡ αἱμορροοῦσα γυνὴ ὄπισθέν σου προσῆλθε καὶ ἀψαμένη τῶν ἱματίων σου ἐσώθη· ἐγὼ δὲ καθ' ἑκάστην ἐκ τῶν ἁγίων σου μελῶν λαμβάνω τὴν ἰατρείαν, τουτέστι τοῦ ἁγίου σώματος καὶ αἵματος καὶ τὸ ὕδωρ τὸ ἐξελθὸν ἐκ τῆς ἁγίας πλευρᾶς σου, καὶ ἀκμὴν τὸ πάθος μου βρύει.

Ἐπειδὴ εἶπας, Ἅγιε, ὁ προσερχόμενος τῷ ἰατρῷ καὶ θέλων θεραπευθῆναι, τὰ προσταχθέντα παρὰ τοῦ ἰατροῦ ποιήσει, ἀπόστειλόν μοι, Δέσποτα, ὅσα θέλεις φάρμακα, καυτῆρας, μαλάγματα, μόνον παῦσόν μου τὴν ὄζουσαν ρεῦσιν, τοῦτ' ἔστι τὸν ἀκάθαρον λογισμόν. Καὶ ἐπειδὴ εἶπας, Κύριε, ὅτι ἡ θύρα ἠνέω-

---

78. Λουκᾶ 5,31.
79. Ἑβρ. 12,13.

155

Τοῦ ἰδίου ὁμοίως.

Κύριε Ἰησοῦ Χριστέ, ἰατρὲ τῶν τραυματισμένων ψυχῶν, σοῦ προσφέρουμε προσευχὲς ἀπὸ τὰ ἅγιά σου λόγια, τὶς ὁποῖες δέξου μὲ τὸν ὑπηρέτη σου· διότι ὁ ἴδιος, Ἅγιε, εἶπες· «δὲν χρειάζονται γιατρὸ οἱ ὑγιεῖς ἀλλὰ οἱ ἀσθενεῖς»[78]· μίλησε γι' αὐτὸ καὶ ὁ ὑπηρέτης σου Παῦλος· «γιὰ νὰ μὴ καταστραφεῖ τὸ χωλό, ἀλλὰ μᾶλλον νὰ γιατρευτεῖ»[79]. Ἅγιε, εἶπες σὲ μία ἀπὸ αὐτὲς τὶς ἀπαντήσεις, 'ἐὰν ἔγινες καλά, γιατί κουτσαίνεις;' Ὁ ὑγιὴς δὲν κουτσαίνει, ἀλλὰ περπατεῖ σωστά· ἐγώ, ἐπειδὴ εἶμαι χωλὸς καὶ τραυματισμένος, γι' αὐτὸ φωνάζω, γιὰ νὰ ἐπισκεφθεῖς καὶ μένα, ὅπως ἐπισκέφθηκες καὶ ἐκεῖνον ποὺ ἐρχόταν στὴν Ἱεριχὼ καὶ ἔπεσε στοὺς ληστὲς (διότι καὶ ἐγὼ ἔπεσα στοὺς ἴδιους ληστὲς καὶ τραυματίστηκα), γιὰ νὰ δέσεις σφιχτὰ καὶ τὰ δικά μου τραύματα καὶ νὰ μ' ἀνεβάσεις πάνω στὸ ἅγιό σου κτῆνος, δηλαδὴ στὴν ἀγαθὴ πίστη, καὶ νὰ μὲ βάλεις μέσα στὸ ἅγιό σου πανδοχεῖο[80]· καὶ θὰ μὲ φροντίσεις ὅπως φροντίζεις ὅλους τοὺς καταπονουμένους.

Δέσποτα, ἡ αἱμορραγοῦσα γυναίκα προσῆλθε πίσω σου, καὶ μόλις ἀκούμπησε τὰ ἱμάτιά σου, σώθηκε[81]· καὶ ἐγὼ κάθε μέρα παίρνω τὴ γιατρειὰ ἀπὸ τὰ ἅγια μέλη σου, δηλαδὴ ἀπὸ τὸ ἅγιο σῶμα καὶ αἷμα καὶ τὸ νερὸ ποὺ βγῆκε ἀπὸ τὴν ἁγία πλευρά σου[82] καὶ ἀναβλύζει τὸ πάθος μου.

Ἐπειδή, Ἅγιε, εἶπες, 'αὐτὸς ποὺ ἔρχεται στὸ γιατρὸ καὶ θέλει νὰ θεραπευθεῖ, θὰ κάνει αὐτὰ ποὺ τοῦ διέταξε ὁ γιατρός', στεῖλε μου, Δέσποτα, ὅσα φάρμακα θέλεις, καυτῆρες, μαλάγματα, μόνο σταμάτησέ μου τὴν βρωμερὴ ροή, δηλαδὴ τὸν ἀκάθαρτο λογισμό. Καὶ ἐπειδή, Κύριε, εἶπες ὅτι ἡ θύρα ἔχει ἀνοιχθεῖ,

80. Λουκᾶ 10,30–34.
81. Ματθ. 9,20–22 καὶ Μάρκ. 5,25–34.

κται, ἀλλ' οἱ κύνες πάντοθεν τηροῦσι καὶ οὐκ ἐῶσι προσεγγίσαι τῇ θύρᾳ, ὁ ἀγαθὸς οἰκοδεσπότης βλέπων μήκοθεν τὸν πτωχὸν ἐρχόμενον καὶ ὀχλούμενον ὑπὸ τῶν κυνῶν, πέμπει τὸν θυρωρόν, ἵνα ἀποδιώξῃ τοὺς κύνας καὶ προσεγγίσῃ ὁ πτωχὸς καὶ λάβῃ τὴν ἐλεημοσύνην παρὰ τῆς ἀγαθότητος.

Πάτερ, ὃ ἔγραψας ἡμῖν, ἐτῶν ἑβδομάδα μίαν ὁ ζήσας, ἰδεῖν ἔχει ἃ οὐκ ἐγένετο ἀπὸ καταβολῆς κόσμου. Καὶ τί ποιοῦμεν ἡμεῖς οἱ νεώτεροι; πῶς ἔχομεν σωθῆναι; δεήθητι τοῦ Κυρίου, ἵνα δείξῃ ἡμῖν τὰ ὄρη ἐκεῖνα τὰ ἅγια, ὅπου εἶπε φυγεῖν καὶ σωθῆναι, ποῖά εἰσι· νοητά εἰσιν, ἢ τὰ φαινόμενα ταῦτα ὄρη, ἵνα γνῶμεν καὶ ἡμεῖς, καὶ ὅταν ἔλθῃ ἡ ὥρα, φύγωμεν ἐκεῖ καὶ σωθῶμεν, ἐν ὀνόματι Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΝϚ'

***Ἀπόκρισις** τοῦ μεγάλου Γέροντος*

Αδελφέ, κατανοήσωμεν τί λέγομεν, καὶ βλέπομεν ὅτι ἀπὸ τῶν λόγων ἡμῶν τὸν ἔλεγχον ἔχομεν· ὁ γὰρ προσερχόμενος τῷ ἰατρῷ, ἐὰν μὴ εὐτακτήσῃ, κατὰ τὴν ἐπιταγὴν τοῦ ἰατροῦ, ἀπαλλαγῆναι τοῦ πάθους οὐ δύναται. Καὶ ἐπειδὴ εἶπας περὶ τοῦ δέξασθαι καὶ ἄλλα ἰάματα καὶ φάρμακα, θαυμάζω σου τὴν ἀγάπην, πῶς οὐ κατανοεῖς τὴν πάντεχνον σοφίαν τοῦ μεγάλου ἡμῶν ἰατροῦ, πῶς ἔκοψε παντὸς ἀνθρώπου ζητοῦντος ἀφορμήν. Καὶ γὰρ ἐξαπλώσας τὰς ἰατρικὰς αὐτοῦ βίβλους παντὶ ἀνθρώπῳ θέλοντι ἐγκύψαι τοῦ σωθῆναι, ἀναπολογήτους ἀνέδειξεν. Ὅπου γὰρ καὶ γυναῖκες μελῳδοῦσι πάντοτε τό, «ἐγώ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος· ὄνειδος ἀνθρώπων,

---

82. Ἰω. 19,34.

ἀλλὰ τὰ σκυλιὰ βλέπουν ἀπὸ παντοῦ καὶ δὲν ἀφήνουν νὰ πλησιάσει κανεὶς τὴ θύρα, ὁ ἀγαθὸς οἰκοδεσπότης ὅταν βλέπει ἀπὸ μακριὰ τὸν φτωχὸ νὰ ἔρχεται καὶ νὰ ἐνοχλεῖται ἀπὸ τὰ σκυλιά, στέλνει τὸν θυρωρὸ νὰ διώξει τὰ σκυλιὰ καὶ νὰ πλησιάσει ὁ φτωχὸς καὶ νὰ πάρει τὴν ἐλεημοσύνη ἀπὸ τὴν ἀγαθότητα.

Πάτερ, μᾶς ἔγραψες, ὅτι ὅποιος ἔζησε μία βδομάδα ἐτῶν, μπορεῖ νὰ δεῖ αὐτὰ ποὺ δὲν ἔγιναν ἀπὸ καταβολῆς κόσμου. Καὶ ἐμεῖς οἱ νεώτεροι τί κάνουμε; πῶς μποροῦμε νὰ σωθοῦμε; Παρακάλεσε τὸν Κύριο νὰ μᾶς δείξει ποιά εἶναι τὰ ἅγια ἐκεῖνα βουνά, ὅπου εἶπε νὰ καταφύγουμε καὶ νὰ σωθοῦμε[83]· εἶναι τὰ νοητὰ ἢ τὰ φαινόμενα αὐτὰ βουνά, γιὰ νὰ γνωρίσουμε καὶ ἐμεῖς, καὶ ὅταν ἔλθει ἡ ὥρα, νὰ καταφύγουμε ἐκεῖ καὶ νὰ σωθοῦμε. Στὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος στοὺς αἰῶνες. Γένοιτο.

156

Ἀπόκριση τοῦ μεγάλου Γέροντα.

Ἀδελφέ, ἂς κατανοήσουμε τί λέμε, καὶ θὰ δοῦμε ὅτι ἀπὸ τὰ λόγια μας ἔχουμε τὸν ἔλεγχο· διότι ὅποιος ἔρχεται στὸ γιατρό, ἐὰν δὲν εὐτακτήσει, σύμφωνα μὲ τὴν ἐπιταγὴ τοῦ γιατροῦ, δὲ μπορεῖ ν' ἀπαλλαγεῖ ἀπὸ τὸ πάθος. Καὶ ἐπειδὴ εἶπες νὰ δεχθεῖς καὶ ἄλλα φάρμακα, θαυμάζω τὴν ἀγάπη σου, πῶς δὲν καταλαβαίνεις τὴν πάντεχνη σοφία τοῦ μεγάλου μας γιατροῦ, πῶς ἔκοψε κάθε ἀνθρώπου τὴν ἀφορμὴ ποὺ ζητοῦσε. Διότι, ἀφοῦ ἅπλωσε τὰ ἰατρικά του βιβλία σὲ κάθε ἄνθρωπο ποὺ θέλει νὰ μελετήσει γιὰ νὰ σωθεῖ, τοὺς ἀνέδειξε ὅλους ἀναπολόγητους. Διότι τὴ στιγμὴ ποὺ καὶ οἱ γυναῖκες ψάλλουν πάντα τό, «ἐγὼ εἶμαι σκουλήκι καὶ ὄχι ἄνθρωπος· ὄνειδος τῶν ἀνθρώπων καὶ ἐξουθένωμα τῶν λαῶν»[84], τί θὰ ἔπρεπε νὰ κάνουν οἱ ἄνδρες;

---

83. Ματθ. 24,16. Μαρκ. 13,14. Λουκᾶ 21,21.
84. Ψαλμ. 21,6.

καὶ ἐξουθένημα λαοῦ», τί ἂν ποιήσειαν οἱ ἄνδρες; Οὐχ ὡς βδελυσσόμενος τὰς γυναῖκας λέγω· μὴ γένοιτο! οὐ γὰρ προσετάγημεν τοῦτο, ἀλλ' ὅτι ἀπ' ἀρχῆς αὗται τῆς παραβάσεως ἐγένοντο αἴτιαι, καὶ οὐκ ἐξέωσεν αὐτὰς τῆς θείας διδασκαλίας ὁ Θεός.

Εἰ οὖν ἀρέσκει ἡμῖν τοῦτο τὸ φάρμακον, διατί ἀποβάλλομεν αὐτό; κἂν χλευαζόμενοι, νομίζωμεν ὅτι οὐκ ἀποβάλλομεν αὐτό, ἀλλ' ὅτι ἔχομεν· οὐκοῦν σχήματι λέγομεν καὶ οὐ πράττομεν· καὶ γὰρ ἀληθές ἐστιν. Ἐὰν γὰρ ψηλαφήσωμεν ἡμῶν τὸν ἔσω ἄνθρωπον, ἀληθῶς εὑρίσκομεν, ὅτι οὔτε ἔλεγχον, οὔτε ὕβριν, οὔτε ἐξουδένωσιν καὶ ὄνειδος βαστάζομεν· καὶ ἐξ οὗ ἔχεις σήμερον λογισμοῦ, ἐν ᾧ ἐπείρασέ σε ποτέ, ἔστι τὸ μαθεῖν σε (καὶ γὰρ μετὰ τὸ πρᾶγμα μετενόεις ὅτι οὐκ ἔμαθες), ὅτι δοκιμάσαι θέλων τὴν σὴν ἀγάπην, ἐκεῖνα ἃ οἶδας ἐποίησα· καὶ εὗρον ἔσω οἰκοῦντα ἀκμὴν τὸν παλαιὸν ἄνθρωπον, ἀλλὰ νομίζω ὅτι οὐ μικρῶς ὠφελήθη σου ἡ ἀγάπη ἀπὸ τούτου. Ὁ Κύριος ἡμῶν τέλειός ἐστι, καὶ τοὺς αὐτοῦ πάντας θέλει τελείους εἶναι· φησὶ γάρ· «γίνεσθε τέλειοι ὑμεῖς ὡς ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος τέλειός ἐστιν».

Ὁ βαστάζων οὖν τοὺς καυτῆρας τούτους σώζεται· ὁ γὰρ ἔχων εἰς τοὺς μυκτῆρας τὴν ἰδίαν δυσωδίαν, οὐκ ὀσφραίνεται ἄλλης, ἐὰν σταθῇ ἐπάνω τῶν θνησιμαίων ὅλων, καὶ ὁ ἀπὸ τῶν ληστῶν συληθεὶς μεταδοῦναί τι ἄλλοις οὐκ ἔχει.

Βλέπε δέ, ἀγαπητέ, ὅτι ὅσοι ἂν ἀργίᾳ κρατοίμεθα, παντελῶς ἀμεριμνῆσαι οὐ θέλομεν, τοῦ ἔχειν ἑαυτοὺς ὥς ἐσμεν, γῆν καὶ κονίαν· καὶ ἐγηράσαμεν τρέφοντες παρ' ἡμῖν τὴν κενοδοξίαν. Τὸ γὰρ ἔχειν ἡμᾶς, ὅτι τὸ ἔργον ἡμῶν ἀρέσκει Θεῷ καὶ οἰκοδομεῖ τὸ κάθισμα ἡμῶν πάντας, καὶ ἀπηλλάγημεν τοῦ κρίναι καὶ κατακρίναι, ἐσχάτη κενοδοξία ἐστὶ καὶ οὐδὲν ἄλλο. Εἰ οὖν τὰς ἰάσεις καὶ τὰ μαλάγματα ἔδωκεν ἡμῖν ὁ μέγας ἡμῶν καὶ οὐ-

Δὲν τὰ λέγω αὐτὰ ἐπειδὴ ἀποστρέφομαι τὶς γυναῖκες· μὴ γένοιτο! διότι δὲν ἔχουμε προσταχθεῖ αὐτό. Ἀλλὰ τὰ λέγω ἐπειδὴ αὐτὲς ἀπὸ τὴν ἀρχὴ ἔγιναν αἴτιες τῆς παραβάσεως, καὶ ὁ Θεὸς δὲν τὶς ἔδιωξε ἀπὸ τὴ θεία διδασκαλία.

Ἐὰν λοιπὸν μᾶς ἀρέσει αὐτὸ τὸ φάρμακο, γιατί τὸ πετᾶμε; Καὶ ἂν ἀκόμη χλευαζόμαστε, πρέπει νὰ πιστεύουμε ὅτι δὲν ἀποβάλλουμε αὐτό, ἀλλὰ ὅτι τὸ ἔχουμε. Λοιπὸν φαινομενικὰ τὸ λέμε, ἀλλὰ δὲν πράττουμε· αὐτὴ εἶναι ἡ ἀλήθεια. Διότι, ἐὰν ψηλαφήσουμε τὸν ἐσωτερικό μας ἄνθρωπο, πραγματικὰ θὰ βροῦμε ὅτι δὲν βαστάζουμε οὔτε ἔλεγχο, οὔτε ὕβρη, οὔτε ἐξουθένωση καὶ ὄνειδος. Καὶ μπορεῖς νὰ τὸ μάθεις καὶ ἀπὸ τὸν λογισμὸ ποὺ ἔχεις σήμερα μὲ τὸν ὁποῖο σὲ ἐπείραξε κάποτε (διότι μετὰ τὴν πράξη μετανοοῦσες ποὺ δὲν ἔμαθες), ὅτι ἔκανα ἐκεῖνα ποὺ γνωρίζεις γιὰ νὰ δοκιμάσω τὴν ἀγάπη σου· καὶ βρῆκα τὸν παλαιὸ ἄνθρωπο νὰ κατοικεῖ ἀκόμα μέσα σου, ἀλλὰ νομίζω ὅτι ἡ ἀγάπη σου ὠφελήθηκε πολὺ ἀπὸ αὐτό. Ὁ Κύριός μας εἶναι τέλειος καὶ θέλει ὅλοι νὰ εἶναι τέλειοι· διότι λέγει, «νὰ γίνετε τέλειοι ὅπως ὁ οὐράνιος Πατέρας μας εἶναι τέλειος»[85].

Αὐτὸς λοιπὸν ποὺ βαστάζει αὐτοὺς τοὺς καυτῆρες, σώζεται· διότι ἐκεῖνος ποὺ ἔχει στὴ μύτη του τὴν δική του δυσωδία, δὲ μυρίζει ἄλλη, ἀκόμη καὶ ἐὰν σταθεῖ πάνω ἀπὸ ὅλα τὰ θνησιμαῖα, καὶ ἐκεῖνος ποὺ συλήθηκε ἀπὸ τοὺς ληστὲς δὲ μπορεῖ νὰ δώσει κάτι σὲ ἄλους.

Πρόσεχε, ἀγαπητέ, ὅτι ὅσοι ἐξουσιαζόμαστε ἀπὸ τὴν ἀργία, δὲ θέλουμε νὰ ἀμεριμνήσουμε ἐντελῶς, γιὰ νὰ ἔχουμε τοὺς ἑαυτούς μας ὅπως εἴμαστε, γῆ καὶ σκόνη· καὶ γεράσαμε, τρέφοντας μέσα μας τὴν κενοδοξία. Διότι τὸ νὰ νομίζουμε ὅτι τὸ ἔργο μας ἀρέσει στὸ Θεὸ καὶ τὸ κάθισμά μας οἰκοδομεῖ ὅλους καὶ ὅτι ἀπαλλαχθήκαμε ἀπὸ τὴν κρίση καὶ κατάκριση, εἶναι ἔσχατη κενοδοξία καὶ τίποτε ἄλλο. Ἐὰν λοιπὸν ὁ μεγάλος καὶ οὐράνιος γιατρός μας, μᾶς ἔδωσε τὰ φάρμακα καὶ τὰ μαλακτικά, ἀπὸ ποῦ

85. Ματθ. 5,48.

ράνιος ἰατρός, παρὰ τίνος εὑρίσκεται ἡ αἰτία τῆς ἡμῶν ἀπωλείας, εἰ μὴ ἀπὸ τῆς ἀσθενείας τῆς ἡμῶν προαιρέσεως;

Πρὸ πάντων ἔδωκεν ἡμῖν τὴν ταπείνωσιν, ἐξορίζουσαν πᾶσαν ὑπερηφανίαν καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τῆς δόξης τοῦ Υἱοῦ τοῦ Θεοῦ· ὑπακοήν, σβεννύουσαν ὅλα τὰ πεπυρωμένα βέλη τοῦ ἐχθροῦ, τὸ κόψαι ἐν πᾶσι τὸ θέλημα τῷ πλησίον, καὶ τοῦτο γεννᾷ τὸ ἀτάραχον ἐν τῇ καρδίᾳ καὶ τὴν φαιδροτέραν καὶ ἱλαροτέραν τῆς ὄψεως κατάστασιν καὶ τὴν τοῦ βλέμματος εὐστάθειαν. Τὸ δὲ μέγα μάλαγμα τὸ σφίγγον πάντα τὰ μέλη καὶ θεραπεῦον πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, ἔδωκεν ἡμῖν τὴν ἀγάπην τὴν κατ' αὐτόν· αὐτὸς γὰρ τύπος ἡμῶν γέγονε. Φησὶ γάρ· «ἐταπείνωσεν ἑαυτόν, ὑπήκοος» οὐ μόνον «γενόμενος», ἀλλὰ «μέχρι θανάτου». Καὶ τιθεὶς ὑπὲρ ἡμῶν τὴν ἑαυτοῦ ψυχήν, ἐδίδαξεν ἡμᾶς λέγων· «ἀγαπήσατε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς· καὶ ἐν τούτῳ γνώσονται πάντες ὅτι μαθηταί μου ἐστέ, ὅταν ἀγάπην ἔχητε μετ' ἀλλήλων».

Εἰ θέλες οὖν μὴ χωλαίνειν, λάβε τὴν ῥάβδον τοῦ σταυροῦ, καὶ στηρίζεις ἐπ' αὐτῆς τὰς χεῖράς σου καὶ ἀποθνήσκεις καὶ οὐκ ἔτι χωλαίνεις· ὁ γὰρ νεκρὸς οὐδέποτε χωλαίνει. Κἂν ἔχῃς τὴν ῥάβδον ταύτην, οὐ χρεία τοῦ θυρωροῦ· τῇ ῥάβδῳ γὰρ ταύτῃ διώκεις οὐ μόνον τὰ κυνάρια, ἀλλὰ καὶ τὸν ἀρχηγὸν τῶν θηρίων, τὸν ὠρυόμενον λέοντα. Καὶ ὁ Ἰακὼβ εἶπεν· ὅτι «ἐν τῇ ῥάβδῳ μου διέβην τὸν ποταμόν»· καὶ πάλιν, ἐπ' ἄκρῳ αὐτῆς προσεκύνησε· καὶ Μωσῆς τῇ ῥάβδῳ ἐποίησε τὰ σημεῖα· καὶ ὁ ταύτην ἡλούμενος, ἀπαλλάττεται πάντως τῆς ῥεούσης ὑγρότητος· ὁ γὰρ ἀποθανὼν ἀποθνήσκει τῇ ἁμαρτίᾳ· καὶ τί ἡ μετὰ ταῦτα προσδοκωμένη ἐλπίς, ἀλλ' ἡ τριήμερος ἀνάστασις; ἀρκεῖ γὰρ τῷ σταυρουμένῳ συνεγερθῆναι τῷ Ἰησοῦ.

---

86. Ἐφ. 6,16.

87. Ματθ. 4,23. 9,35.

ἀλλοῦ προέρχεται ἡ αἰτία τῆς ἀπώλειάς μας, καὶ ὄχι ἀπὸ τὴν ἀδυναμία τῆς δικῆς μας προαιρέσεως;

Πρὸ πάντων μᾶς ἔδωσε τὴν ταπείνωση, ποὺ διώχνει κάθε ὑπερηφάνεια καὶ κάθε ὕψωμα ποὺ ἐπαίρεται κατὰ τῆς γνώσεως τῆς δόξας τοῦ Υἱοῦ τοῦ Θεοῦ. Μᾶς ἔδωσε ὑπακοή, ποὺ σβήνει ὅλα τὰ πυρωμένα βέλη[86] τοῦ ἐχθροῦ, τὸ νὰ κόψουμε σὲ ὅλα τὸ θέλημα πρὸς τὸν πλησίον, πρᾶγμα ποὺ γεννᾶ τὴν ἀταραξία στὴν καρδιὰ καὶ τὴν φαιδρότερη καὶ ἱλαρότερη κατάσταση τῆς ὄψεως καὶ τὴν εὐστάθεια τοῦ βλέμματος. Καὶ τέλος μᾶς ἔδωσε τὸ μεγάλο μαλακτικὸ ποὺ σφίγγει ὅλα τὰ μέλη καὶ θεραπεύει κάθε ἀρρώστια καὶ κάθε ἀδυναμία[87], τὴν πρὸς αὐτὸν ἀγάπη· διότι αὐτὸς ἔγινε τύπος μας. Πράγματι λέγει· «ταπείνωσε τὸν ἑαυτό του, γινόμενος» ὄχι ἁπλῶς «ὑπήκοος», ἀλλὰ καὶ «μέχρι τὸν θάνατο»[88]. Καὶ ἀφοῦ ἔδωσε γιὰ μᾶς καὶ τὴν ψυχή του, μᾶς δίδαξε λέγοντας· «ἀγαπῆστε ὁ ἕνας τὸν ἄλλο, ὅπως σᾶς ἀγάπησα ἐγώ· καὶ ἀπὸ αὐτὸ θὰ καταλάβουν ὅλοι ὅτι εἶσθε μαθητές μου, ἀπὸ τὸ ἂν ἔχετε ἀγάπη μεταξύ σας»[89].

Ἐὰν λοιπὸν θέλεις νὰ μὴ κουτσαίνεις, πάρε τὴ ράβδο τοῦ σταυροῦ καὶ στήριξε πάνω σ' αὐτὴν τὰ χέρια σου καὶ θὰ πεθάνεις καὶ δὲ θὰ κουτσαίνεις πιά, διότι ὁ νεκρὸς δὲν κουτσαίνει ποτέ. Καὶ ἂν ἔχεις αὐτὴ τὴ ράβδο, δὲ χρειάζεσαι θυρωρό· διότι μ' αὐτὴ τὴ ράβδο καταδιώκεις ὄχι μόνο τὰ σκυλάκια, ἀλλὰ καὶ τὸν ἀρχηγὸ τῶν θηρίων, τὸν λέοντα ποὺ οὐρλιάζει. Καὶ ὁ Ἰακὼβ εἶπε· «μὲ τὴ ράβδο μου πέρασα τὸν ποταμό»[90]· καὶ πάλι· «προσκύνησε, στηριζόμενος στὴν ἄκρη της»[91]· καὶ ὁ Μωϋσῆς μὲ τὴ ράβδο ἔκαμε τὰ θαύματα καὶ ὅποιος στηρίζεται σ' αὐτήν, ἀπαλλάσεται ἐντελῶς ἀπὸ τὴ ρέουσα ὑγρότητα· διότι αὐτὸς ποὺ πέθανε, πεθαίνει ὡς πρὸς τὴν ἁμαρτία. Ποιά εἶναι ἡ μετὰ ἀπὸ αὐτὰ προσδοκώμενη ἐλπίδα, παρὰ ἡ τριήμερη ἀνάσταση; διότι ἀρκεῖ στὸν σταυρούμενο ν' ἀναστηθεῖ μαζὶ μὲ τὸν Ἰησοῦ.

88. Φιλ. 2,8.
89. Ἰω. 13,34–35.
90. Γεν. 32,10.
91. Γεν. 47,31.

Περὶ δὲ τῆς ἑβδομάδος διάφοροι θλίψεις καὶ κινήσεις ἔσονται.

Περὶ δὲ ὧν εἶπας ὀρέων, νοήσωμεν τὴν ἁγίαν Μαρίαν τὴν Θεοτόκον καὶ τοὺς καθεξῆς ἁγίους, τοὺς ἐν τοῖς καιροῖς ἐκείνοις εὑρισκομένους, ἔχοντας ἀσφαλῶς τὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ σφραγῖδα· αὐτὸς γὰρ δι' αὐτοὺς πολλοὺς σώζει.

Ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΝΖ'

Τοῦ αὐτοῦ ὁμοίως

Τριὰς ἀχώριστος, μὴ χωρίζου ἡμῶν· «ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον». Πάτερ, καλὸς ἀληθῶς μαθητὴς εἶ τοῦ ἀληθινοῦ ἰατροῦ· ἔδωκας ἡμῖν φάρμακα καὶ ἀντίδοτα· ὁ δὲ πρῶτος καυτὴρ μεγάλως ἔνυξε τὴν καρδίαν μου καὶ οὐ δύναμαι φέρειν τὰς ὀδύνας· ἔγραψας γὰρ ἡμῖν ᾄδειν, «σκώληξ εἰμὶ καὶ οὐκ ἄνθρωπος»· καὶ ἀληθῶς ᾄδω καὶ προσκυνῶ καὶ δοξολογῶ, καὶ ὑπερυψῶ εἰς τοὺς αἰῶνας. Ἀλλ' οὐ θαρρῶ εἰπεῖν, ὅτι «σκώληξ εἰμὶ καὶ οὐκ ἄνθρωπος»· ἄνθρωπος γάρ εἰμι τετρωμένος ὑπὸ τοῦ φθαρτοῦ σκώληκος. Τί δέ ἐστιν ἡ δύναμις τούτου τοῦ σκώληκος τοῦ ἀφθάρτου; Οὗτος ὁ σκώληξ δι' ἐμὲ ἦλθεν, ἵνα ρύσηταί με τούτου τοῦ σκώληκος τοῦ φθαρτοῦ, τοῦ διαφθείραντος τὸ γένος τῶν ἀνθρώπων. Ἐπειδὴ δὲ ὁ φθαρτὸς οὗτος σκώληξ, ὁ φθείρων καὶ φθειρόμενος, καταδύνει εἰς τὰ τραύματα καὶ ἐργάζεται σῆψιν καὶ ὀζομενίαν, ἦλθεν ὁ ἄφθαρτος σκώληξ, περὶ οὗ εἴρηται· «σκώληξ εἰμὶ καὶ οὐκ ἄνθρωπος».

Καὶ ὥσπερ οὗτος ὁ σκώληξ ἐνδύνει εἰς τὰ τραύματα, οὕτω καὶ ὁ ἄφθαρτος σκώληξ καταδύει εἰς τὰ κατώτατα τῆς γῆς, καὶ

---

92. Ματθ. 21,16. Ψαλμ. 8,3.

Σχετικὰ τὴν ἑβδομάδα, θὰ συμβοῦν διάφορες θλίψεις καὶ κινήσεις.

Ὅσο γιὰ τὰ βουνὰ γιὰ τὰ ὁποῖα μίλησες, θὰ ἐννοήσουμε τὴν ἁγία Μαρία τὴν Θεοτόκο καὶ τοὺς ἑπομένους ἁγίους, ποὺ ὑπῆρχαν ἐκείνη τὴν ἐποχή, ἔχοντας ἀσφαλῶς τὴ σφραγίδα τοῦ Υἱοῦ τοῦ Θεοῦ· διότι αὐτὸς σώζει πολλοὺς μέσω αὐτῶν.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

157

Τοῦ ἰδίου ὁμοίως.

Τριάδα ἀχώριστη, μὴ χωρίζεσαι ἀπὸ μᾶς· «ἀπὸ τὸ στόμα τῶν νηπίων καὶ ἐκείνων ποὺ θηλάζουν ἐποίησες ὕμνο τέλειο»[92]. Πάτερ, εἶσαι πραγματικὰ καλὸς μαθητης τοῦ ἀληθινοῦ γιατροῦ· μᾶς ἔδωσες φάρμακα καὶ ἀντίδοτα. Ὁ πρῶτος μάλιστα καυτήρας κέντησε πολὺ τὴν καρδιά μου καὶ δὲν μπορῶ νὰ ὑποφέρω τὶς ὀδύνες· διότι μᾶς ἔγραψες νὰ ψάλλουμε, «εἶμαι σκουλήκι καὶ ὄχι ἄνθρωπος»[93]· καὶ πραγματικὰ ψάλλω καὶ προσκυνῶ καὶ δοξολογῶ καὶ τὸν ὑπερυψώνω στοὺς αἰῶνες. Ἀλλὰ δὲν ἔχω θάρρος νὰ πῶ ὅτι εἶμαι σκουλήκι καὶ ὄχι ἄνθρωπος· διότι εἶμαι ἄνθρωπος πληγωμένος ἀπὸ τὸ φθαρτὸ σκουλήκι. Καὶ ποιά εἶναι ἡ δύναμη αὐτοῦ τοῦ ἄφθαρτου σκουληκιοῦ; Αὐτὸ τὸ σκουλήκι ἦλθε γιὰ μένα, γιὰ νὰ μὲ προστατέψει ἀπὸ αὐτὸ τὸ φθαρτὸ σκουλήκι ποὺ καταστρέφει τὸ γένος τῶν ἀνθρώπων. Καὶ ἐπειδὴ τὸ φθαρτὸ αὐτὸ σκουλήκι, ποὺ φθείρει καὶ φθείρεται, βυθίζεται στὰ τραύματα καὶ προκαλεῖ σήψη καὶ δυσωδία, ἦλθε τὸ ἄφθαρτο σκουλήκι γιὰ τὸ ὁποῖο ἔχει εἰπωθεῖ· «εἶμαι σκουλήκι καὶ ὄχι ἄνθρωπος».

Καὶ ὅπως αὐτὸ τὸ σκουλήκι εἰσδύει στὰ τραύματα, ἔτσι καὶ τὸ ἄφθαρτο σκουλήκι βυθίζεται στὰ κατώτατα τῆς γῆς[94] καὶ ἀπὸ

93. Ψαλμ. 21,6.

94. Ἐφ. 4,9.

ἐκεῖθεν εἴρηκας διαφθείρειν πᾶσαν ἀκαθαρσίαν τοῦ παλαιοῦ σκώληκος· καὶ οὕτω πάντας καθαρίσας ἀνήγαγε, καὶ αὐτὸς ἔμεινεν ἄφθαρτος. Οὗτος ὁ σκώληξ ἐστὶν ὁ τὸν Ἰὼβ καθαρίσας ἀπὸ τοῦ φθαρτοῦ σκώληκος καὶ εἰπὼν αὐτῷ· «ἀνάστα, ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου». Οὗτος ὁ σκώληξ καὶ τὸν δράκοντα εἵλκυσε τῷ ἀγκίστρῳ κρεμάμενος ἐπὶ τοῦ ξύλου. Τούτῳ τῷ σκώληκι τὰ πάντα ὑπετάγη, ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα· «πάντα γὰρ ὑπέταξεν ὑποκάτω τῶν ποδῶν αὐτοῦ».

Ὁ φθαρτὸς σκώληξ τὰ πάντα διαφθείρει. Καὶ οὐκ ἔνι τίποτε ἐπὶ τῆς γῆς, οὔτε ξύλα, οὔτε βρώματα, οὔτε γῆ, οὔτε σάρξ, ὅπερ οὐκ ἀναλίσκει, ἐκτὸς τοῦ ἅλατος καὶ τοῦ ἐλαίου. Τί δέ ἐστι τὸ ἅλας καὶ τὸ ἔλαιον, ἀλλ' ἢ ὁ Πατὴρ ὁ ὑποτάξας αὐτῷ τὰ πάντα, ὁ καὶ τὴν κτίσιν αὐτοῦ ἁλίσας τῷ ἐλέει αὐτοῦ, ὁ καὶ τοῖς Ἀποστόλοις δοὺς ἅλας, ἵνα ἁλίσωσι τὸν κόσμον ἀπὸ τῆς δυσωδίας τῶν εἰδώλων καὶ ἔλθωσιν ἐπὶ τὴν εὐωδίαν τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν; Ἀμήν.

Τί δέ ἐστιν ἡ δύναμις τοῦ σινάπεος, ὅτι αὐτῷ παρείκασε τὴν βασιλείαν τῶν οὐρανῶν καὶ οὐχὶ τῇ ἐλαίᾳ ἢ τῷ φοίνικι, ἤ τινι τῶν μεγάλων δένδρων, ἀλλὰ τῷ εὐτελεῖ; Ἐπειδὴ δριμύτατόν ἐστι καὶ στύφει ἡμῶν τὰς καρδίας. Ναί, πάτερ, δεήθητι τοῦ Κυρίου, ὅπως δείξῃ ἡμῖν τὸ μυστήριον τούτου τοῦ σκώληκος καὶ τοῦ σινάπεος. Ὅπως καὶ ἡμεῖς δοξάσωμεν τὸν Πατέρα καὶ τὸν Υἱόν, σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΝΗ'

Πάτερ, ἐπειδὴ ὑπέμνησάς με τὰ ἀρχαῖα, κἀγὼ οὐκ ἔλαθον, ἀλλὰ μνημονεύω ἐκεῖνα, ἃ οὐκ ἐποίησεν ὁ ἐχθρός, ἀλλ' ὅτι ἐμάνη, ἐπειδὴ εἶδε γενόμενον καρπὸν εἰς τὸν τόπον τοῦ-

ἐκεῖ ἔχεις πεῖ ὅτι καταστρέφει κάθε ἀκαθαρσία τοῦ παλαιοῦ σκουληκιοῦ, καὶ ἔτσι, ἀφοῦ τοὺς καθάρισε ὅλους, τοὺς ἀνέβασε ἐπάνω, καὶ ὁ ἴδιος ἔμεινε ἄφθαρτος. Τὸ σκουλήκι αὐτὸ εἶναι αὐτὸς ποὺ καθάρισε τὸν Ἰὼβ ἀπὸ τὸ φθαρτὸ σκουλήκι καὶ εἶπε σ' αὐτόν· «σήκω καὶ ζῶσε σὰν ἄνδρας τὴ μέση σου»[95]. Αὐτὸ τὸ σκουλήκι κατασπάραξε καὶ τὸν δράκοντα κρεμασμένο μὲ τὸ ἀγκίστρι[96] πάνω στὸ ξύλο. Σ' αὐτὸ τὸ σκουλήκι ὑποτάχθηκαν τὰ πάντα, ἐκτὸς ἀπὸ αὐτὸν ποὺ ὑπέταξε σ' αὐτὸ τὰ πάντα· «διότι ὅλα τὰ ὑπέταξε κάτω ἀπὸ τὰ πόδια του»[97].

Τὸ φθαρτὸ σκουλήκι καταστρέφει τὰ πάντα. Καὶ δὲν ὑπάρχει τίποτα πάνω στὴ γῆ, οὔτε ξύλα, οὔτε τροφές, οὔτε χῶμα, οὔτε σάρκα ποὺ νὰ μὴ τὸ κατατρώγει, ἐκτὸς ἀπὸ τὸ ἀλάτι καὶ τὸ λάδι. Καὶ ποιό εἶναι τὸ ἀλάτι καὶ τὸ λάδι, παρὰ ὁ Πατέρας ποὺ ὑπέταξε σ' αὐτὸν τὰ πάντα, ποὺ ἀλάτισε καὶ τὴν κτίση του μὲ τὸ ἔλεός του, ποὺ ἔδωσε καὶ στοὺς Ἀποστόλους ἀλάτι γιὰ νὰ ἀλατίσουν τὸν κόσμο ἀπὸ τὴ δυσωδία τῶν εἰδώλων καὶ νὰ ἔλθουν στὴν εὐωδία τοῦ ἀληθινοῦ Θεοῦ μας; Γένοιτο.

Ποιά εἶναι ἡ δύναμη τοῦ σιναπιοῦ, ὥστε νὰ παρομοιάσει μ' αὐτὸ τὴ βασιλεία τῶν οὐρανῶν καὶ ὄχι μὲ τὴν ἐλιὰ ἢ τὸν φοίνικα ἢ μὲ κάποιο ἀπὸ τὰ μεγάλα δένδρα, ἀλλὰ μὲ τὸ εὐτελές; Ἐπειδὴ εἶναι πάρα πολὺ καυστικὸ καὶ κατακαίει τὶς καρδιές μας. Ναί, πάτερ, παρακάλεσε τὸν Κύριο νὰ μᾶς φανερώσει τὸ μυστήριο αὐτοῦ τοῦ σκουληκιοῦ καὶ τοῦ σιναπιοῦ, γιὰ νὰ δοξάσουμε καὶ ἐμεῖς τὸν Πατέρα καὶ τὸν Υἱὸ μαζὶ μὲ τὸ ἅγιο Πνεῦμα στοὺς αἰῶνες. Γένοιτο.

158

Πάτερ, ἐπειδὴ μοῦ ὑπενθύμισες τὰ παλαιά, καὶ ἐγὼ δὲν ξέχασα, ἀλλὰ θυμᾶμαι ἐκεῖνα τὰ ὁποῖα δὲν ἔκανε ὁ ἐχθρός, ἀλλὰ ἐξεμάνη, ἐπειδὴ εἶδε νὰ καρπίζει αὐτὸς ὁ τόπος, ἀλλὰ ἡ

95. Ἰὼβ 38,3.
96. Ἰὼβ 40,20.
97. Α' Κορ. 15,27.

τον, ἀλλ' ἡ ὑπομονή σου καὶ ἡ φιλανθρωπία τοῦ Θεοῦ οὐκ ἀφῆκε τὸ θέλημα αὐτοῦ τὸ μιαρὸν γενέσθαι, ἀλλ' ἐσμὲν ἕως τοῦ νῦν δοξάζοντες τὸν Θεόν. Καὶ ἐπειδὴ εἶπάς μοι, ὅτι 'ὕστερον μετανοεῖς μετὰ τὸ πρᾶξαι', εἴθε καὶ ὕστερον· ἵνα μὴ παντελῶς ἐναπομείνω. Καὶ ἐπειδὴ εἶπάς μοι, ὅτι 'ὁ ἐμπεσὼν εἰς τοὺς λῃστὰς καὶ συληθείς, οὐκ ἔχει ἄλλῳ μεταδοῦναι', διὰ τοῦτο δέομαι λιμώττων, ἵνα ἐπιρρίψητέ μοι οἱ ἔχοντες τὰ ψιχία ὑμῶν, ὅπως κἀγὼ λάβω τροφὴν ὡς ὁ κύων ὑπὸ κάτω τῆς τραπέζης ὑμῶν τῶν ἐχόντων. Καὶ ἐπειδὴ εἶπας, 'συνεγήρασέ σοι ἡ ὑπερηφανία καὶ ἡ εἰρωνεία', εὖξαι ὑπὲρ ἐμοῦ, ἵνα ἀπέλθῃ ἀπ' ἐμοῦ.

***Ἀπόκρισις** Βαρσανουφίου*

Προεφώνησεν ὁ Δαβὶδ λέγων, «προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου»· ὥστε οὖν ἡ ἀφροσύνη ἐνθήκη ὅλων τῶν κακῶν ἐστιν. Ἀφροσύνη γὰρ ἐγέννησε παρακοήν, παρακοὴ δὲ τραῦμα, καὶ μετὰ τὸ τραῦμα ἡ αὐτὴ ἀφροσύνη ἔτεκε τὴν ἀμέλειαν, καὶ ἡ ἀμέλεια τὴν σῆψιν καὶ τὴν ὀζομενίαν κατειργάσατο, καὶ ἐσκωληκίασεν ἡ σὰρξ ἡ ταλαίπωρος καὶ διεφθάρη.

Διαφθαρεῖσα οὖν ἐρρίφη εἰς τὴν θάλασσαν καὶ βρῶσις ἐγένετο τῷ μεγάλῳ ἰχθύϊ καὶ ἐνῳκίσθη εἰς τὰ ἔντερα αὐτοῦ, ἕως οὗ ἦλθεν ὁ ἐπουράνιος σκώληξ καὶ ἡλωθεὶς ἐν τῷ ἀγκίστρῳ τοῦ σταυροῦ, ἐχαλάσθη εἰς τὰ ἔντερα τοῦ μεγάλου ἰχθύος, καὶ ἀνήνεγκε διὰ τοῦ στόματος αὐτοῦ, ἣν κατέπιε βρῶσιν σὺν τοῖς ἐγκάτοις. Καὶ λαβὼν τὴν σάρκα ἐνέχρισεν ἐλαίῳ καὶ ἔμιξεν ὕδατι καὶ ὤπτησε πυρί· φησὶ γάρ, «αὐτὸς ἡμῶν βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί». Καὶ ἐψώμισεν ἄρτῳ, καὶ εὔφρανεν οἴνῳ, καὶ ἤρτυσεν ἅλατι, καὶ ἤλλαξε τῆς φθορᾶς· καὶ πρὸς τούτοις προσέ-

98. Ψαλμ. 37, 6.

ὑπομονή σου καὶ ἡ φιλανθρωπία τοῦ Θεοῦ δὲν ἄφησε νὰ γίνει τὸ μιαρὸ θέλημά του, καὶ δοξάζουμε μέχρι τώρα τὸ Θεό. Καὶ ἐπειδὴ μοῦ εἶπες, ὅτι ὕστερα, μετὰ τὴν πράξη, μετανοεῖς, μακάρι καὶ ὕστερα, γιὰ νὰ μὴ ἀπομείνω ἐντελῶς σ' αὐτό. Καὶ ἐπειδὴ μοῦ εἶπες ὅτι 'αὐτὸς ποὺ ἔπεσε σὲ ληστὲς καὶ ληστεύτηκε, δὲν μπορεῖ νὰ δώσει σ' ἄλλον', γι' αὐτὸ κατατρεχόμενος ἀπὸ πείνα παρακαλῶ νὰ μοῦ ρίξετε σεῖς ποὺ ἔχετε τὰ ψίχουλά σας, γιὰ νὰ πάρω καὶ ἐγὼ τροφή, ὅπως ὁ σκύλος κάτω ἀπὸ τὸ τραπέζι, ἀπὸ σᾶς ποὺ ἔχετε. Καὶ ἐπειδὴ εἶπες, 'ἡ ὑπερηφάνεια καὶ ἡ εἰρωνεία γέρασαν μαζί σου', προσευχήσου γιὰ μένα, γιὰ νὰ ἀπομακρυνθεῖ ἀπὸ μένα.

Ἀπόκριση τοῦ Βαρσανουφίου.

Προεφώνησε ὁ Δαβὶδ λέγοντας, «βρώμισαν καὶ σάπισαν οἱ μώλωπές μου ἐξαιτίας τῆς ἀφροσύνης μου»[98]· ὥστε λοιπὸν ἡ ἀφροσύνη εἶναι ἀφορμὴ ὅλων τῶν κακῶν. Διότι ἡ ἀφροσύνη γέννησε τὴν παρακοὴ καὶ ἡ παρακοὴ τὸ τραῦμα, καὶ μετὰ τὸ τραῦμα ἡ ἴδια ἀφροσύνη γέννησε τὴν ἀμέλεια καὶ ἡ ἀμέλεια προξένησε τὴ σήψη καὶ τὴ δυσοσμία, καὶ ἡ ταλαίπωρη σάρκα σκουλήκιασε καὶ καταστράφηκε.

Ἐπειδὴ λοιπὸν καταστράφηκε, ρίχθηκε στὴ θάλασσα καὶ ἔγινε τροφὴ τοῦ μεγάλου ψαριοῦ καὶ κατοίκησε μέσα στὰ ἔντερά του, ἕως ὅτου ἦλθε ὁ ἐπουράνιος σκώληκας καὶ ἀφοῦ σταυρώθηκε στὸ ἀγκίστρι τοῦ σταυροῦ, χαλάρωσε τὰ ἔντερα τοῦ μεγάλου ψαριοῦ καὶ ἔβγαλε ἀπὸ τὸ στόμα του τὴν τροφὴ ποὺ κατάπιε μαζὶ μὲ τὰ ἔντερα[99]. Καὶ ἀφοῦ πῆρε τὴ σάρκα, τὴν ἄλειψε μὲ λάδι καὶ νερὸ καὶ τὴν ἔψησε στὴ φωτιά· διότι λέγει «αὐτὸς θὰ σᾶς βαπτίσει μὲ τὸ ἅγιο Πνεῦμα καὶ τὴ φωτιά»[1]. Καὶ τὴν ἔθρεψε μὲ ψωμί, τὴν εὔφρανε μὲ κρασί, τὴν ἄρτυσε μὲ ἁλάτι καὶ τὴν ἀπάλλαξε ἀπὸ τὴ φθορά· καὶ μαζὶ μ' αὐτὰ πρόσθεσε καὶ τὸ σινά-

99. Ὁ μεγάλος σκώληξ εἶναι ὁ Χριστός, τὸ μεγάλο ψάρι ὁ Ἅδης, ὁ Διάβολος.

1. Ματθ. 3,11.

θηκεν αὐτοῖς σίνηπυ συστέλλον πᾶσαν φθοράν, καὶ στύφον τοὺς τοῦ δράκοντος μυκτῆρας πρὸς τὸ μηδὲ ὀσφραίνεσθαι αὐτῆς δυνηθῆναι· καὶ ταράσσον αὐτοῦ τοὺς ὀφθαλμοὺς πρὸς τὸ μὴ ἐπιβλέψαι πρὸς τὴν τελειότητα τῆς ταπεινώσεως αὐτῆς.

Εἰδότες οὖν ταῦτα πάντα, μὴ παρίδωμεν τὴν νουθεσίαν αὐτοῦ, ἵνα μὴ πληρωθῇ καὶ εἰς ἡμᾶς ὅτι, «εἰ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται;». Καὶ τί ἐστιν ἡ ὑστέρησις τούτων, ἀλλ' ἢ «εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός»; Εἰ οὖν τι τῶν ἀρχαίων οὐκ ἔλαθες, καὶ τὰ ἔσχατα οἶδας, ἄκουσον τοῦ εἰπόντος ὅτι, «ὁ γινώσκων τὸ θέλημα τοῦ Δεσπότου καὶ μὴ ποιῶν, δαρήσεται πολλάς».

Εἰ οὖν γινώσκοντες λέγομεν καὶ ἀμελοῦμεν, οὐ μικρὰν ἡμῶν ἀπέχει τὸ «οὐαὶ» τῶν ἁμαρτανόντων ἐν γνώσει. Ἐὰν δὲ ἔχωμεν ὅτι «γῆ καὶ σποδός ἐσμεν», κατὰ τὸν Ἀβραὰμ καὶ τὸν Ἰώβ, εἰς τὸν αἰῶνα οὐ συλούμεθα, ἀλλ' ἀεὶ ἔχομεν τὸ δοῦναι καὶ ἄλλοις, οὐ χρυσίον, οὐκ ἀργύριον, ἀλλὰ τύπον ταπεινώσεως καὶ ὑπομονῆς καὶ τῆς εἰς Θεὸν ἀγάπης.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΝΘ'

Ὁ αὐτὸς μεταλαμβάνων ἄρτου, ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα περὶ διαίτης.

Ἀπόκρισις

Ἀδελφέ, χαίροις ἐν Κυρίῳ. Παρακάλεσον τὸν Θεὸν δοῦναί μοι ὑπομονὴν τελείαν· ἄρχομαι γὰρ πράγματος καὶ οὐκ ἄγω εἰς τέλος, ἀλλ' εὐθὺς παρασαλεύομαι τῆς διαγωγῆς. Καὶ ἐπιποθῶ ἀρχὴν βαλεῖν καὶ ἐλθεῖν εἰς τέλος, ἀκούων

1a. Ματθ. 5,13.

πι ποὺ σταματᾶ κάθε φθορὰ καὶ στύφει τὰ ρουθούνια τοῦ δράκοντα, ὥστε νὰ μὴ μπορεῖ νὰ τὴν ὀσφραίνεται, καὶ ταράσσει τοὺς ὀφθαλμούς του, ὥστε νὰ μὴ ἐπιβλέπει τὴν τελειότητα αὐτῆς τῆς ταπεινώσεως.

Ἀφοῦ λοιπὸν γνωρίζουμε ὅλα αὐτά, νὰ μὴ παραβλέπουμε τὴ νουθεσία του, γιὰ νὰ μὴ πραγματοποιηθεῖ καὶ σὲ μᾶς τό, «ἐὰν τὸ ἁλάτι χάσει τὴν ἁλμυράδα του μὲ τί θὰ ἁλατισθεῖ;»[1α]. Καὶ ποιά εἶναι ἡ στέρηση αὐτῶν, παρὰ τό, «εἶπε ὁ ἄφρων στὴν καρδιά του, δὲν ὑπάρχει Θεός»[2]; Ἐὰν λοιπὸν δὲν ξέχασες κάτι ἀπὸ τὰ παλαιά, καὶ γνωρίζεις τὰ ἔσχατα, ἄκουσε αὐτὸν ποὺ εἶπε· «αὐτὸς ποὺ γνωρίζει τὸ θέλημα τοῦ δεσπότη του καὶ δὲν τὸ κάνει, θὰ δαρεῖ πολλὲς φορές»[3].

Ἐὰν λοιπόν, λέμε ὅτι γνωρίζουμε, καὶ ἀμελοῦμε, δὲν ἀπέχει πολὺ ἀπὸ μᾶς τὸ 'ἀλλοίμονο γιὰ ἐκείνους ποὺ ἁμαρτάνουν μὲ γνώση'. Ἐὰν ὅμως δεχόμαστε ὅτι εἴμαστε χῶμα καὶ στάχτη, ὅπως ὁ Ἀβραὰμ καὶ ὁ Ἰώβ, δὲ θὰ ληστευθοῦμε στὸν αἰώνα, ἀλλὰ θὰ ἔχουμε πάντοτε θὰ νὰ δίνουμε καὶ σὲ ἄλλους, ὄχι χρυσάφι καὶ ἀσήμι, ἀλλὰ παράδειγμα ταπεινώσεως καὶ ὑπομονῆς καὶ τῆς ἀγάπης πρὸς τὸ Θεό.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

159

Ὁ ἴδιος τρώγοντας ψωμί, ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα γιὰ δίαιτα.

Ἀπόκριση

Ἀδελφέ, χαῖρε ἐν Κυρίῳ. Παρακάλεσε τὸ Θεὸ νὰ μοῦ δώσει τέλεια ὑπομονή· διότι ἀρχίζω κάτι καὶ δὲν τὸ τελειώνω, ἀλλὰ ἀμέσως ξεφεύγω ἀπὸ τὴ διαγωγή. Καὶ ἐπιθυμῶ νὰ βάλω ἀρχὴ καὶ νὰ φθάσω στὸ τέλος, ἀκούγοντας τὸν

2. Ψαλμ. 13,1. 52,1.
3. Λουκᾶ 12,47.

τοῦ Ἀποστόλου λέγοντος περὶ τῆς ἀρχῆς καὶ τοῦ τέλους ὅτι, «ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργου ἀγαθοῦ, αὐτὸς καὶ ἐπιτελέσει, ἕως τῆς ἡμέρας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Κἂν δὲ ἐγὼ ὁ ἐλεεινὸς οὐδὲν ποιῶ ἀρέσκον τῷ Θεῷ, διὰ τὴν σοῦ κέλευσιν παρέχω γνώμην ὡς ἀδελφῷ.

Λάμβανε τέσσαρα λαΐτινα, εἰ δύναται, εἰς τὴν ἑβδομάδα· καὶ κατὰ Κυριακὴν διὰ τὴν τοῦ σώματος ἀσθένειαν ἢ ροφὴν ἢ ἔκζεστα. Καὶ ὡς ὑπολαμβάνω, καλῶς λαμβάνεις αὐτά· εἰ δὲ ἐν ἀφροσύνῃ λαλῶ, οὐκ οἶδα· ὃς γὰρ ἑαυτὸν οὐ κυβερνᾷ, πῶς δύναται κυβερνῆσαι ἄλλους; Συγχώρησόν μοι, ἀδελφέ, ὅτι ἐγὼ ὤφειλον παρακαλέσαι σε διατάξασθαί μοι, ἀλλ' ἀκμὴν οὐκ ἀφῆκέ με ἡ ὑπερηφανία, ἥτις ῥίζα πάντων τῶν κακῶν ἐστιν.

Εὔξαι, ἀδελφέ, ἵνα παρέλθωμεν τὸ προκείμενον ἡμῖν πέραμα· γέμει γὰρ τῶν κλυδώνων καὶ κινδύνων, καὶ ὡς ἀνόητος γελῶ καὶ ἀδιαφορῶ. Ἀλλ' ὅμως οὐ κόπτω τὴν ἐλπίδα· ἐλεήμονα γὰρ Δεσπότην ἔχω καὶ εὔσπλαγχνον. Δός μοι οὖν χεῖρα σὴν διὰ τὴν ἀγάπην, καὶ ἕλκε με πρὸς αὐτόν, καὶ διὰ σοῦ σῴζει με τὸν ἐλεεινόν.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΞ'

Ὁ αὐτὸς μὴ χρησάμενος τῇ ῥηθείσῃ αὐτῷ διαίτῃ παρὰ τοῦ Γέροντος, ἠρώτησεν αὐτὸν ἐκ δευτέρου τὰ αὐτά· ὁ δὲ ἀπεκρίνατο οὕτως.

Ἀπόκρισις

Ἀδελφέ, ἐπειδὴ εὗρες με κελευόμενον ὑπὸ τῆς σῆς ἀγάπης, τάχα διὰ τοῦτο ἀκυροῖς μου τοὺς λόγους, καὶ τοῦτο οὐκ ἀπὸ σοῦ, ἀλλ' ἡ αἰτία ὅλη παρ' ἐμοῦ ἐστιν· ὅτι οἱ λόγοι μου ἄκαρποί εἰσιν. Οὐκ εἰσι γὰρ ἀπὸ πράξεων ἱδρώ-

4. Φιλ. 1,6.

'Απόστολο νὰ λέγει γιὰ τὴν ἀρχὴ καὶ τὸ τέλος ὅτι, «ἐκεῖνος ποὺ ἀρχίζει ἀνάμεσά σας ἀγαθὸ ἔργο, αὐτὸς καὶ θὰ τὸ τελειώσει, μέχρι τὴν ἡμέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[4]. Καὶ ἂν ἐγὼ ὁ ἐλεεινὸς δὲν κάνω τίποτα ποὺ νὰ ἀρέσει στὸ Θεό, ὅμως ἐξαιτίας τῆς παρακλήσεώς σου, σοῦ δίνω τὴ γνώμη μου σὰν πρὸς ἀδελφό.

Παῖρνε ἐὰν μπορεῖς τέσσερα λαΐτινα[5] τὴν ἑβδομάδα, καὶ τὴν Κυριακὴ ἐξαιτίας τῆς ἀσθένειας τοῦ σώματος ἢ ρουφήματα ἢ ζεστά. Καὶ ὅπως νομίζω, σωστὰ τὰ παίρνεις. Δὲν γνωρίζω ὅμως ἐὰν μιλῶ μὲ ἀφροσύνη, διότι ὅποιος δὲν κυβερνᾶ τὸν ἑαυτό του, πῶς μπορεῖ νὰ κυβερνήσει ἄλλους; Συγχώρησέ με, ἀδελφέ, ἐπειδὴ ἐγὼ ὄφειλα νὰ σὲ παρακαλέσω νὰ μὲ διατάξεις, ἀλλὰ δὲν μὲ ἄφησε ἀκόμα ἡ ὑπερηφάνεια ποὺ εἶναι ρίζα ὅλων τῶν κακῶν.

Προσευχήσου, ἀδελφέ, νὰ περάσουμε τὸ πέραμα ποὺ εἶναι μπροστά μας· διότι εἶναι γεμᾶτο θύελλες καὶ κινδύνους, ἐνῶ ἐγὼ γελῶ καὶ ἀδιαφορῶ σὰν ἀνόητος. 'Αλλὰ ὅμως δὲν κόβω τὴν ἐλπίδα, διότι ἔχω ἐλεήμονα καὶ εὔσπλαγχνο Δεσπότη. Δός μου λοιπὸν τὸ χέρι σου ἐξαιτίας τῆς ἀγάπης καὶ τράβα με κοντὰ σ' αὐτόν, καὶ μὲ τὴ βοήθειά σου θὰ σώσει ἐμένα τὸν ἐλεεινό.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

160

Ὁ ἴδιος χωρὶς νὰ ἀκολουθήσει τὴ δίαιτα ποὺ τοῦ εἰπώθηκε ἀπὸ τὸν Γέροντα, τὸν ἐρώτησε γιὰ δεύτερη φορὰ τὰ ἴδια· καὶ αὐτὸς ἀπάντησε ὡς ἑξῆς.

'Αποκριση

Αδελφέ, ἐπειδὴ μὲ βρῆκες νὰ διατάσσομαι ἀπὸ τὴν ἀγάπη σου, γι' αὐτὸ ἴσως ἀκυρώνεις τὰ λόγια μου καὶ αὐτὸ δὲν ὀφείλεται σὲ σένα, ἀλλὰ ὅλη ἡ αἰτία βρίσκεται σὲ μένα· διότι τὰ λόγια μου εἶναι ἄκαρπα. Πράγματι δὲν εἶναι ἀπὸ

5. Ἡ λέξη αὐτὴ εἶναι ἀθησαύριστη. Σημαίνει ἴσως κομμάτια ἄρτου.

των, διὰ τοῦτο οὐδὲ δύναμιν ἔχουσι. Τὸν Θεὸν παροργίζει ὁ ἐρωτῶν καὶ παρακούων· διὰ γὰρ τὴν ἐρώτησιν καὶ ὁ τῶν ἐχθρῶν φθόνος παρακολουθεῖ. Ἕως σήμερον οὐκ ἔγνωμεν τὰς τέχνας τῶν δαιμόνων. Ἀκαταπαύστως κηρύττει ὁ Ἀπόστολος λέγων· «οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν».

Θάρσει, ἀδελφέ μου, εἰ μὴ ὅτι ὁμόψυχόν μου ἔχω σε διὰ τὴν κατὰ Χριστὸν ἀγάπην, δοῦναί σοι ἀπόκρισιν οὐκ εἶχον, καθὼς γὰρ καὶ προεῖπον, τοῦ μέτρου τούτου οὔκ εἰμι. Ἀλλ' ἐπειδὴ ἐκόλλησέ με ὁ Θεὸς τῇ σῇ ἀγάπῃ, πάλιν ἐν ἀφροσύνῃ λαλῶ. Κάτεχε τὰ τέσσαρα λαΐτινα εἰς τὴν ἑβδομάδα, ὡς εἶπόν σοι, καὶ κατὰ Κυριακὴν ἢ ροφὴν ἢ ἔκζεστα διὰ τὴν ἀσθένειαν.

Μὴ ἔχε δὲ ἐν τῇ καρδίᾳ σου, ὅτι ἐντολήν σοι δέδωκα· οὐκ ἔστιν ἐντολὴ ἀλλὰ γνώμη ἀδελφοῦ. Ἤνοικται τὸ στάδιον, δράμωμεν, ἵνα καταλάβωμεν, ἐσμὲν γὰρ φθαρτοὶ ἄνθρωποι καὶ μικροχρόνιοι ἐπὶ τῆς γῆς, ἵνα εὕρωμεν ἔλεος ἐν τῇ ὥρᾳ ἐκείνῃ τῇ φοβερᾷ καὶ φρικτῇ. Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΞΑ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, ἐμφαίνουσα τὴν δύναμιν τῆς ἀποκρίσεως.*

Ἀδελφέ, τί ἔχω εἰπεῖν πρὸς ταῦτα, ὁ μηδὲν παντελῶς ποιήσας; εἰ δὲ καὶ σὺ λέγεις ὅτι 'ἐποίησας καὶ ποιεῖς', ἐγὼ δὲ οὐδέποτε μέμνημαι ἐμαυτόν, εἰ μὴ πάντοτε παροργίζοντα τὸν Θεὸν ἐν τοῖς ἔργοις μου. Δι' ἔργα οὖν τίποτε οὐ προσδοκῶ, διὰ δὲ τὴν φιλανθρωπίαν αὐτοῦ ἐλπίζω ὅτι σῴζομαι· ἀπέθανε γὰρ ἁμαρτωλοὺς σῶσαι. Κάθημαι οὖν ἐπὶ τοῦ ὀνόματος αὐτοῦ, ἕως ἔλθῃ ἀφ' ἑαυτοῦ καὶ εἴπῃ μοι, «τί θέλεις

πράξεις ἱδρώτων, γι' αὐτὸ δὲν ἔχουν δύναμη. Αὐτὸς ποὺ ἐρωτᾶ καὶ παρακούει παροργίζει τὸ Θεό· διότι ἐξαιτίας τῆς ἐρωτήσεως ἀκολουθεῖ καὶ ὁ φθόνος τῶν ἐχθρῶν. Μέχρι σήμερα δὲ γνωρίζουμε τὶς τέχνες τῶν δαιμόνων. Ἀκατάπαυστα κηρύττει ὁ Ἀπόστολος λέγοντας· «διότι δὲν ἀγνοοῦμε τὶς ἐπινοήσεις του»[6].

Ἔχε θάρρος, ἀδελφέ μου, διότι, ἂν δὲν σὲ εἶχα ὁμόψυχό μου ἐξαιτίας τῆς κατὰ Χριστὸν ἀγάπης, δὲ θὰ μποροῦσα νὰ σοῦ δώσω ἀπόκριση, διότι ὅπως προεῖπα, δὲν εἶμαι αὐτοῦ τοῦ μέτρου. Ἀλλὰ ἐπειδὴ ὁ Θεὸς μὲ κόλλησε στὴν ἀγάπη σου, μιλῶ πάλι μὲ ἀφροσύνη· κράτα τὰ τέσσερα λαΐτινα τὴν ἑβδομάδα, ὅπως σοῦ εἶπα, καὶ τὴν Κυριακὴ ἢ ρόφιμα ἢ ζεστὰ ἐξαιτίας τῆς ἀσθένειας.

Νὰ μὴ ἔχεις τὴ γνώμη ὅτι σοῦ ἔχω δώσει ἐντολή· δὲν εἶναι ἐντολή, ἀλλὰ γνώμη ἀδελφοῦ. Ἔχει ἀνοίξει τὸ στάδιο, ἂς τρέξουμε γιὰ νὰ φθάσουμε, διότι εἴμαστε ἄνθρωποι φθαρτοὶ καὶ μικροχρόνιοι πάνω στὴ γῆ, γιὰ νὰ βροῦμε ἔλεος ἐκείνη τὴ φοβερὴ καὶ φρικτὴ ὥρα, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

161

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ποὺ δείχνει τὸ νόημα τῆς προηγούμενης ἀποκρίσεως.

Ἀδελφέ, τί μπορῶ νὰ πῶ σ' αὐτά, ἐγὼ ποὺ δὲν ἔχω κάνει ἐντελῶς τίποτε; καὶ ἐὰν ἐσὺ λέγεις ὅτι ἔκανες καὶ κάνεις, ἐγὼ δὲν ἔχω θυμηθεῖ ποτὲ τὸν ἑαυτό μου, παρὰ πάντοτε νὰ ὀργίζω τὸ Θεὸ μὲ τὰ ἔργα μου. Γιὰ τὰ ἔργα λοιπὸν δὲν περιμένω τίποτα, ἐλπίζω ὅμως νὰ σωθῶ ἐξαιτίας τῆς φιλανθρωπίας του· διότι πέθανε γιὰ νὰ σώσει ἁμαρτωλούς[7]. Στηρίζομαι λοιπὸν στὸ ὄνομά του, ὡς ποὺ νὰ ἔλθει μόνος του καὶ νὰ μοῦ πεῖ,

---

6. Β' Κορ. 2,11.
7. Α' Τιμ. 1,15.

ποιήσω σοι;», ἵνα εἴπω κἀγὼ μετ' ἐκείνου, «Κύριε, ἵνα ἀναβλέψω». Εἶ εἶχον γὰρ καὶ ἔργα, φοβούμενος τὴν κατάκρισιν τοῦ Φαρισαίου, οὐκ ἐτόλμων λαλῆσαι· ἀλλ' ὅμως λέγω σοι, ἀδελφέ, ὅτι ὅλη μου ἡ ζωὴ καὶ ἡ ἐλπὶς εἰς αὐτὸν κρέμαται, καὶ παρακαλῶ νυχθήμερον καθαρισθῆναι ἀπὸ τῶν φανερῶν καὶ κεκρυμμένων παθῶν.

Τί οὖν ἔχω εἰπεῖν περὶ κατορθωμάτων, ἀκούων ὅτι «πᾶν στόμα φραγήσεται», καὶ τὰ λοιπά, καὶ πάλιν, «ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω»; Μακάριος δὲ ὁ καθαρισθεὶς ἀπὸ τῆς ὀργῆς καὶ τῶν λοιπῶν παθῶν, καὶ φυλάξας τὰς ἐντολὰς πάσας καὶ λέγων, ὅτι «ἀχρεῖός εἰμι δοῦλος». Εἰ δὲ ποιοῦμεν ἓν κατόρθωμα καὶ δι' ἄλλο ἀπόλλομεν αὐτό, τί ὠφέλησεν ἡμᾶς τὸ καθ' ἡμέραν οἰκοδομεῖν καὶ καθαιρεῖν; Εἴ τις καταφρονεῖ τῆς δόξης καὶ ἀτιμίας, ὁ τοιοῦτος δύναται σωθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, αὐτῷ ἡ δόξα. Ἀμήν.

Παράθου με τῷ Κυρίῳ καὶ ἡσύχασον πεποιθώς, καὶ εὐχόμενος ὑπὲρ ἐμοῦ τοῦ ἀθλίου καὶ ταπεινοῦ.

ΡΞΒ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Πάτερ, εὖξαι ὑπὲρ ἐμοῦ ὅτι κοπιῶ, πρὸ τοῦ με λαβεῖν λόγον πρὸς σὲ κἂν εἴ τι δήποτε ἐδόκουν ποιεῖν, τὸ κατ' ἐμὲ ἀκόπως ἐποίουν· ἐξ ὅτου δὲ ἐπέδωκάς μοι λόγον κοπιῶ καὶ εἰς ἀσθένειαν· καὶ πρὸ τούτου καὶ περὶ τοῦ λόγου τούτου ἔγραψά σοι, καὶ αὐτὸς ἐλογίσω με ὑψηλοφρονοῦντα, καὶ περὶ Φαρισαίου ἔπεμψάς μοι λόγον· κἀγώ, Πάτερ, οὐκ εἶπον σοι ὑψηλοφρονῶν, ἀλλὰ ἀπὸ ἀνάγκης· δέομαί

---

8. Μαρκ. 10,51.
9. Λουκᾶ 18,41.

«τί θέλεις νὰ σοῦ κάνω;»[8], γιὰ νὰ πῶ καὶ ἐγὼ μαζὶ μ' ἐκεῖνον, «Κύριε, νὰ ἀναβλέψω»[9]. Ἐὰν εἶχα καὶ ἔργα, φοβούμενος τὴν κατάκριση τοῦ Φαρισαίου[10], δὲ θὰ τολμοῦσα νὰ μιλήσω· ἀλλ' ὅμως σοῦ λέγω, ἀδελφέ, ὅτι ὅλη μου ἡ ζωὴ καὶ ἡ ἐλπίδα κρέμεται σ' αὐτὸν καὶ παρακαλῶ νύχτα καὶ μέρα νὰ καθαρισθῶ ἀπὸ τὰ φανερὰ καὶ κρυφὰ πάθη.

Τί ἔχω λοιπὸν νὰ πῶ γιὰ τὰ κατορθώματα, ἀκούοντας ὅτι «κάθε στόμα θὰ κλείσει»[11] καὶ τὰ λοιπά, καὶ πάλι, «ἐκεῖνος ποὺ καυχιέται, νὰ καυχιέται ἐν Κυρίῳ»[12]; Καὶ μακάριος εἶναι ἐκεῖνος ποὺ καθαρίσθηκε ἀπὸ τὴν ὀργὴ καὶ τὰ ὑπόλοιπα πάθη καὶ φύλαξε ὅλες τὶς ἐντολὲς καὶ λέγει, «εἶμαι ἀχρεῖος δοῦλος»[13]· καὶ ἐὰν κάνουμε ἕνα κατόρθωμα καὶ ἐξαιτίας ἄλλου τὸ χάνουμε, τί μᾶς ὠφέλησε τὸ νὰ οἰκοδομοῦμε καὶ νὰ γκρεμίζουμε κάθε μέρα; Ἐὰν κάποιος περιφρονεῖ τὴ δόξα καὶ τὴν ἀτιμία, αὐτὸς μπορεῖ νὰ σωθεῖ, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

Τοποθέτησέ με κοντὰ στὸν Κύριο καὶ ἡσύχασε ἔχοντας βεβαία πεποίθηση καὶ προσευχόμενος γιὰ μένα τὸν ἄθλιο καὶ ταπεινό.

162

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πάτερ, νὰ προσεύχεσαι γιὰ μένα, ἐπειδὴ κοπιάζω, πρὶν ἀκόμα πάρω ἀπάντηση ἀπὸ σένα, καὶ ἐὰν μοῦ φαινόταν καλὸ νὰ κάνω ὁτιδήποτε, ἔκανα τὸ κατ' ἐμὲ ἄσκοπα· ἀπὸ τότε ποὺ μοῦ ἔστειλες λόγο κοπιάζω καὶ ὅταν ἀσθενῶ· καὶ πρὶν ἀπὸ αὐτὸν καὶ γιὰ τὸν λόγο αὐτὸ σοῦ ἔγραψα καὶ ὁ ἴδιος μὲ θεώρησες ὑψηλόφρονα καὶ μοῦ ἔστειλες λόγο γιὰ τὸν Φαρισαῖο· ἐγώ, Πάτερ, δὲ σοῦ τὸ εἶπα ἀπὸ ὑψηλοφροσύνη, ἀλλὰ ἀπὸ ἀνάγκη· σὲ παρακαλῶ νὰ κάνεις

10. Λουκᾶ 18,10-14.
11. Ρωμ. 3,19.
12. Α΄ Κορ. 1,31.
13. Λουκᾶ 17,10.

σου, ποίησον εὐχήν, ἵνα ἀποκαλύψῃ σοι ὁ Κύριος τί ἐστιν ἐν ἐμοί.

***Ἀπόκρισις** τοῦ μεγάλου Γέροντος.*

Ἀδελφέ, ἡ θεία Γραφὴ λέγει· «πάντα μετὰ βουλῆς ποίει, καὶ ἄνευ βουλῆς μηδὲν ποιήσῃς». Ὅτε οὐ μετὰ βουλῆς, ἀλλ' ἀπὸ θελήματος ἰδίου ἐποίεις, οὐκ ἐκοπίας τῷ νῷ, καὶ γὰρ οὐδεὶς ὁ μὴ χρήζων συμβούλου, εἰ μὴ μόνος ὁ τὴν σοφίαν κτίσας Θεός. Ὅτε δὲ κατὰ Θεὸν ἐζήτησας κόψαι τὸ ἴδιον θέλημα, ἐλθεῖν δὲ εἰς ταπείνωσιν καὶ λαβεῖν τὸν ἐλάχιστόν σου ἀδελφὸν σύμβουλον, παρώξυνας τὸν μισόκαλον δαίμονα εἰς φθόνον, τὸν ἀεὶ φθόνον ἔχοντα πρὸς πάντας.

Βλέπεις στρεβλότητα διαβολικήν; Ἀπ' ἐμαυτοῦ οὐ διεταξάμην σοι τίποτε, καὶ ᾐτήσω με καὶ συνεβούλευσά σοι ὡς ἀδελφῷ· καὶ ἀκούσας ἀφῆκας, καὶ προσθήκην ἐποίησας. Κἀγὼ σοι εἶπον τὸ τοῦ Φαρισαίου· καὶ γὰρ κἀκεῖνος καυχώμενος ἔλεγεν ἃ ἔλεγε· καὶ σὺ ἐζήτησας πληροφορίαν, καὶ αὕτη οὐδὲν ἄλλο ἐστί, εἰ μὴ ὑψηλοφροσύνη.

Πρόσχες καὶ βλέπεις μετὰ ἀκριβείας, πῶς ὅτε βάλλεις ἀρχήν, εὐθὺς φέρει σοι πρόφασιν καὶ λύεις αὐτήν, καὶ πάλιν βάλλεις καὶ εὐθέως λύεις καὶ οὐ μνημονεύεις, ὅτι «ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται» καὶ «ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργου ἀγαθοῦ, αὐτὸς ἐπιτελέσει ἄχρι τῆς ἡμέρας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Εἰ ἀναπαύει σε τὸ ἀπὸ σαυτοῦ ποιεῖν καθὼς ἐποίεις, ἐγὼ οὐ λυποῦμαι, οὔτε γὰρ ἀββᾶς τινος θέλω γενέσθαι, οὔτε διδάσκαλος· ἔχω γὰρ τὸν ἐλέγχοντά με Ἀπόστολον λέγοντα· «ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;».

---

14. Παρμ. 24,4. Σοφ. Σειρὰχ 32(35),19.

προσευχή, γιὰ νὰ σοῦ ἀποκαλύψει ὁ Κύριος τί συμβαίνει μέσα μου.

Ἀπόκριση τοῦ μεγάλου γέροντα

Ἀδελφέ, ἡ θεία Γραφὴ λέγει· «ὅλα νὰ τὰ κάνεις μὲ σκέψη καὶ τίποτα νὰ μὴ κάνεις χωρὶς σκέψη»[14]. Ὅταν λοιπὸν δὲν ἔπραττες μὲ σκέψη, ἀλλὰ ἀπὸ τὴ δική σου θέληση, δὲν κοπίαζες μὲ τὸ νοῦ· διότι δὲν ὑπάρχει κανένας ποὺ νὰ μὴ χρειάζεται σύμβουλο, παρὰ μόνο ὁ Θεὸς ποὺ ἔχει τὴ σοφία[15]. Ὅταν πάλι σύμφωνα μὲ τὴν ἐντολὴ τοῦ Θεοῦ, ζήτησες νὰ κόψεις τὸ θέλημά σου καὶ νὰ ἔλθεις σὲ ταπείνωση καὶ νὰ πάρεις σύμβουλο τὸν ἐλάχιστό σου ἀδελφό, παρόξυνες τὸν μισόκαλο δαίμονα σὲ φθόνο, αὐτὸν ποὺ ἔχει πάντα φθόνο πρὸς ὅλους.

Βλέπεις διαβολικὴ στρεβλότητα; Δὲ σὲ διέταξα τίποτα ἀπὸ μόνος μου· ἐσὺ μοῦ ζήτησες καὶ ἐγὼ σὲ συμβούλεψα σὰν ἀδελφό, καὶ σύ, ἀφοῦ τὰ ἄκουσες, τὰ ἄφησες καὶ ἔκανες προσθήκη. Καὶ ἐγὼ σοῦ εἶπα τὸ τοῦ Φαρισαίου· διότι καὶ ἐκεῖνος καυχώμενος ἔλεγε αὐτὰ ποὺ ἔλεγε· καὶ ἐσὺ ζήτησες πληροφορία, καὶ αὐτὴ δὲν εἶναι τίποτα ἄλλο, παρὰ ὑψηλοφροσύνη.

Πρόσεξε καὶ θὰ δεῖς μὲ ἀκρίβεια, πὼς ὅταν βάλλεις ἀρχή, ἀμέσως σοῦ δημιουργεῖ ἀφορμὴ καὶ τὴν λύνεις, καὶ πάλι βάλλεις καὶ ἀμέσως τὴν λύνεις, καὶ δὲ θυμᾶσαι ὅτι «ἐκεῖνος ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[16], καὶ «ἐκεῖνος ποὺ ἄρχισε ἀνάμεσά σας ἀγαθὸ ἔργο, αὐτὸς καὶ θὰ τὸ τελειώσει μέχρι τὴν ἡμέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[17]. Ἐὰν σὲ ἀναπαύει αὐτὸ ποὺ κάνεις μόνος σου, ὅπως τὸ ἔκανες, ἐγὼ δὲ λυπᾶμαι, διότι δὲ θέλω νὰ γίνω οὔτε ἀββᾶς οὔτε διδάσκαλος κανενός· διότι ἐγὼ ἔχω τὸν Ἀπόστολο ποὺ μὲ ἐλέγχει λέγοντας, «ἐσὺ ποὺ διδάσκεις ἄλλον δὲ διδάσκεις τὸν ἑαυτό σου;»[18].

---

15. Παρ. 8,22.
16. Ματθ. 10,22.
17. Φιλ. 1,6.
18. Ρωμ. 2,21.

Ἀδελφέ, τῶν σωζομένων ἐστὶ τὸ ἐντῆξαι τὴν ψυχὴν ὡς ἀράχνην. Λοιπὸν ὑπομονῆς πολλῆς χρεία, ἕως οὗ διὰ θλίψεων πολλῶν εἰσέλθωμεν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

Συγχώρησόν μοι, ἀδελφέ, καὶ εὖξαι ὑπὲρ ἐμοῦ.

ΡΞΓ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Ὁ ζητήσας τὸ πεπλανημένον πρόβατον, Ἰησοῦ, δίδαξον καὶ ἡμᾶς, πῶς νὰ ζητήσωμεν τὸν ποιμένα. Πάτερ, ἕνα λόγον θέλω ἐρωτῆσαι· ἐπειδὴ γέγραπται, «ζητήσατε τὸν Κύριον καὶ κραταιώθητε· ζητήσατε τὸ πρόσωπον αὐτοῦ διὰ παντός», πῶς δύναται ἁμαρτωλὸς ἄνθρωπος ζητῆσαι τὸν Κύριον διὰ παντός; Δίδαξον ἡμᾶς τὸν λόγον τοῦτον διὰ τὸν σοφίσαντά σε, ἵνα καὶ ἡμεῖς διὰ παντὸς ζητήσωμεν τὸ πρόσωπον τοῦ Κυρίου, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἀπόκρισις

Αδελφὲ Εὐθύμιε, δέομαι τῆς ἀγάπης σου, συγκοπίασόν μου τῇ δεήσει πρὸς τὸν φιλάνθρωπον Θεόν· καὶ γὰρ ἡ ἀγάπη σου ᾔτησέ με γράψαι σοι 'πῶς νὰ ζητήσωμεν τὸν ποιμένα'. Καὶ ἀπὸ πρώτης ἡμέρας ἕως ἄρτι δέομαι τοῦ Θεοῦ περὶ τῆς αἰτήσεώς σου καὶ λέγει μοι· Καθάρισόν σου τὴν καρδίαν ἀπὸ τῶν λογισμῶν τοῦ παλαιοῦ ἀνθρώπου καὶ χαρίζομαί σοι τὰ αἰτήματά σου. Τὰ γὰρ ἐμὰ δωρήματα ἐν τοῖς καθαροῖς χωροῦνται καὶ δωροῦνται· ὅσον δὲ κινεῖται ἡ καρδία σου

19. Ψαλμ. 38,11.

Ἀδελφέ, τὸ νὰ λειώσεις τὴν ψυχὴ σὰν ἀράχνη[19], εἶνα γνώρισμα τῶν σωζομένων. Ὑπάρχει λοιπὸν ἀνάγκη πολλῆς ὑπομονῆς, ὡς ποὺ μὲ πολλὲς θλίψεις νὰ εἰσέλθουμε στὴ βασιλεία τοῦ Θεοῦ[20], μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας. Γένοιτο.

Συγχώρεσέ με, ἀδελφέ, καὶ προσευχήσου γιὰ μένα.

163

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Ἰησοῦ, ἐσὺ ποὺ ζήτησες τὸ πλανημένο πρόβατο[21], δίδαξε καὶ μᾶς πῶς νὰ ζητήσουμε τὸν ποιμένα. Πάτερ, θέλω νὰ ρωτήσω ἕνα λόγο· ἐπειδὴ ἔχει γραφεῖ «ζητῆστε τὸν Κύριο καὶ θὰ πάρετε δύναμη· ζητῆστε τὸ πρόσωπό του διαπαντός»[22], πῶς μπορεῖ ὁ ἁμαρτωλὸς ἄνθρωπος νὰ ζητήσει τὸν Κύριο «διαπαντός»; Δίδαξέ μας αὐτὸν τὸν λόγο ἐξ αἰτίας αὐτοῦ ποὺ σὲ σόφισε γιὰ νὰ ζητήσουμε καὶ ἐμεῖς μὲ κάθε τρόπο τὸ πρόσωπο τοῦ Κυρίου, διότι ἡ δόξα ἀνήκει σ' αὐτὸν στοὺς αἰῶνες. Γένοιτο.

Ἀπόκριση

Ἀδελφὲ Εὐθύμιε, παρακαλῶ τὴν ἀγάπη σου νὰ κοπιάσεις μαζί μου στὴ δέηση πρὸς τὸν φιλάνθρωπο Θεό· διότι ἡ ἀγάπη σου μοῦ ζήτησε νὰ σοῦ γράψω πῶς νὰ ἀναζητήσουμε τὸν ποιμένα. Καὶ ἀπὸ τὴν πρώτη ἡμέρα μέχρι τώρα παρακαλῶ τὸ Θεὸ γιὰ τὴν αἴτησή σου καὶ μοῦ λέγει· Καθάρισε τὴν καρδιά σου ἀπὸ τοὺς λογισμοὺς τοῦ παλαιοῦ ἀνθρώπου καὶ θὰ σοῦ χαρίσω τὰ αἰτήματά σου. Διότι τὰ δῶρα μου παραχωροῦνται καὶ δωρίζονται στοὺς καθαρούς· ἐνῶ ὅσο ἡ καρδιά σου κινεῖται

---

20. Πράξ. 14,22.
21. Ματθ. 18,12.
22. Ψαλμ. 104,4.

ἀπὸ τῆς ὀργῆς καὶ μνησικακίας καὶ τῶν ὁμοίων παθῶν τοῦ παλαιοῦ ἀνθρώπου, ἐκεῖ οὐκ εἰσελεύσεται σοφία.

Εἰ ἐπιποθεῖς τὰ ἐμὰ χαρίσματα, τὰ σκεύη τοῦ ἀλλοτρίου ἔκβαλε ἀπὸ σοῦ καὶ τὰ ἐμὰ ἀφ᾽ ἑαυτῶν ἔρχονται εἰς σέ. Μὴ οὐκ ἤκουσας, «οὐ δύναται δοῦλος δυσὶ κυρίοις δουλεύειν»; Ἐὰν οὖν ἐμοί, οὐ τῷ διαβόλῳ· ἐὰν δὲ τῷ διαβόλῳ, ἐμοὶ οὐδέποτε. Εἴ τις οὖν θέλει καταξιωθῆναι τῶν ἐμῶν χαρισμάτων, τὰ ἴχνη μου κατανοήσει· ὅτι ὡς πρόβατον ἄκακον ἐδεξάμην ὅλα τὰ πάθη, μὴ ἀντιλέξας ἔν τινι. Καὶ ὑμῖν εἶπον ἔχειν ἀκεραιότητα ὡς αἱ περιστεραὶ καὶ ἀντὶ τούτων ἔχετε ἀγριότητα τῶν παθῶν· «βλέπετε μὴ εἴπω ὑμῖν· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν».

Ταῦτα οὖν ἀκούσας, ἐν πένθει εἰμὶ καὶ ὀδυρμῷ, ἕως οὗ σπλαγχνισθῇ καὶ εἰς ἐμὲ ἡ ἀγαθότης αὐτοῦ καὶ ἀπαλλάξει με τῶν δεινῶν παθῶν τοῦ παλαιοῦ ἀνθρώπου, τοῦ δέξασθαι πάντα τὰ ἐπερχόμενά μοι ἐν ὑπομονῇ πολλῇ. Οἶδας γὰρ τί κατεργάζεται ἡ ὑπομονή· καὶ ὁ Ἀπόστολος ἐμνημόνευσε περὶ ταύτης.

Εὖξαι οὖν, ἀδελφέ μου, ἵνα ἔλθῃ μοι· καὶ διὰ τὴν ἀγάπην ἔλεγξόν με εἴ τι παρέρχομαι, ἵνα διορθώσωμαι· καὶ γὰρ ἄφρων εἰμί, ἀλλὰ ἀγαπῶ τοὺς διδάσκοντας καὶ ἐλέγχοντάς με, εἰδώς, ὅτι εἰς σωτηρίαν ψυχῆς ἔσται μοι αὐτῶν ἡ διδασκαλία. Ἔτι δεήθητι, ἵνα φύγω ἀπὸ τῆς πτώσεως τοῦ δικαιώματος, ὅτι πάντα θλίβομαι. Καὶ συγχώρησόν μοι κατὰ πάντα, ὅτι εἰς κόπον σε βάλλω πάντοτε, ἀλλὰ πολὺν μισθὸν ἔχει τὸ πρᾶγμα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

23. Ματθ. 6,24.
24. Ἠσ. 50,11.

ἀπὸ τὴν ὀργὴ καὶ τὴ μνησικακία καὶ τὰ παρόμοια πάθη τοῦ παλαιοῦ ἀνθρώπου δὲ θὰ εἰσέλθει σ' αὐτὴν ἡ σοφία.

Ἐὰν ἐπιθυμεῖς τὰ χαρίσματά μου, διῶξε ἀπὸ ἐπάνω σου τὰ σκεύη τοῦ ξένου καὶ τότε τὰ δικά μου θὰ ἔρθοῦν ἀπὸ μόνα τους σὲ σένα. Μήπως δὲν ἄκουσες ὅτι «ὁ δοῦλος δὲ μπορεῖ νὰ δουλεύει σὲ δύο κυρίους»[23]; Ἐὰν λοιπὸν δουλεύει σὲ μένα, δὲ δουλεύει στὸ διάβολο· καὶ ἐὰν στὸ διάβολο, ποτὲ σὲ μένα. Ἐὰν λοιπὸν θέλει κανεὶς νὰ ἀξιωθεῖ τὰ χαρίσματά μου, θὰ κατανοήσει τὰ ἴχνη μου· ὅτι δηλαδὴ δέχθηκα ὅλα τὰ πάθη σὰν ἄκακο πρόβατο, χωρὶς νὰ φέρω ἀντίρρηση σὲ κάτι. Καὶ σᾶς εἶπα νὰ ἔχετε ἀκεραιότητα ὅπως τὰ περιστέρια καὶ ἀντὶ γι' αὐτὸ ἔχετε ἀγριότητα τῶν παθῶν· «προσέξτε μήπως σᾶς πῶ· πηγαίνετε στὸ φῶς τῆς φωτιᾶς σας»[24].

Ἀπὸ τότε λοιπὸν ποὺ ἄκουσα αὐτά, παραδόθηκα στὸ πένθος καὶ στὸν ὀδυρμό, μέχρι ποὺ νὰ μὲ εὐσπλαχνισθεῖ ἡ ἀγαθότητά του καὶ νὰ μὲ ἀπαλλάξει ἀπὸ τὰ φοβερὰ πάθη τοῦ παλαιοῦ ἀνθρώπου, ὥστε νὰ δεχθῶ ὅλα τὰ ἐπερχόμενα σὲ μένα μὲ πολλὴ ὑπομονή. Γνωρίζεις βέβαια τί κατορθώνει ἡ ὑπομονή[25]· καὶ ὁ Ἀπόστολος μίλησε γι' αὐτήν.

Προσευχήσου λοιπόν, ἀδελφέ μου, γιὰ νὰ μοῦ ἔρθει· καὶ ἀπὸ ἀγάπη νὰ μὲ ἐλεγξεις ἐὰν παραβαίνω κάτι, γιὰ νὰ διορθωθῶ· διότι εἶμαι ἄφρονας, ἀλλὰ ἀγαπῶ αὐτοὺς ποὺ μὲ διδάσκουν καὶ μὲ ἐλέγχουν, ἐπειδὴ γνωρίζω ὅτι ἡ διδασκαλία αὐτῶν εἶναι γιὰ τὴ σωτηρία τῆς ψυχῆς μου. Ἀκόμα παρακάλεσε γιὰ νὰ φύγω ἀπὸ τὴν πτώση τοῦ δικαιώματος[26], διότι πάντα θλίβομαι. Καὶ συγχώρησέ με γιὰ ὅλα, ἐπειδὴ σὲ βάζω πάντοτε σὲ κόπο, ἀλλὰ τὸ πρᾶγμα ἔχει μεγάλη ἀμοιβὴ μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

25. Ρωμ. 5,4.

26. Ἐννοεῖται ἡ διεκδίκηση τοῦ δικαίου, αὐτῶν ποὺ δικαιοῦται. Εἶναι πτώση κατὰ τὴν ἀσκητικὴ τῆς ἐρήμου.

ΡΞΔ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Πάτερ, τοὺς μὲν ἐμοὺς κόπους, οὓς δίδωμί σοι, εἰς σεαυτὸν ὑπέγραψας. Καὶ τοῦτο οἱ σοφοὶ ποιοῦσιν, οὐ διὰ τὸ βαστάσαι τὸ βάρος τοῦ πλησίον καὶ μόνου, ἀλλὰ διὰ πολλούς, εἰς ὠφέλειαν τῶν ψυχῶν ἡμῶν. Μάλιστα ὅτι ὡς πατὴρ προτρέπεις ἡμᾶς εἰς ἐρώτησιν περὶ τῆς ὁδοῦ τῆς ζωῆς ἐν τῇ πολλῇ σου ζωῇ. Ἀλλὰ δέομαι ὅτι λιμένα καὶ καταφυγὴν ἔπεμψέ σε ὁ Κύριος ἐμοί, ποίησον τὸ ἔλεος καὶ παρακάλεσον τὸν Δεσπότην, ἵνα ποιήσῃ μετ' ἐμοῦ τὸ ἔλεος καὶ φανερώσῃ μοι μικρὸν τίποτε, ὅτι ὡς οὐκ οἶδα ἐμπίπτω· καὶ φανέρωσόν μοι ὡς ἐφανέρωσας τὸ πρῶτον, ἵνα μετανοήσω· καὶ μετὰ τοῦτο δεῖξόν μοι ὁδόν, πῶς ἵνα περιπατήσω, ὅτι ἀνεδέξω τὴν ψυχήν μου.

Ἀπόκρισις

Ἀδελφέ, ὡς τῇ ἰδίᾳ μου ψυχῇ λαλῶ, ἔδησε γὰρ ὁ Κύριος τὴν ψυχήν σου ἐν τῇ ἐμῇ, λέγων, 'μὴ ἀποστῇς ἀπ' αὐτοῦ'. Ἐπεὶ οὐκ ἦν ἐμὸν διδάξαι σε, ἀλλὰ μαθεῖν παρὰ σοῦ, φοβοῦμαι γὰρ τὸν λέγοντα, ὅτι «ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;». Καὶ ἐπειδὴ λέγεις ὅτι 'ἀρκεῖ σοφῷ τὸ νεῦμα', καὶ μᾶλλον οὐκ ἤρκεσέ με· ἀλλὰ φανερῶς θέλεις ἀκοῦσαι, ἐὰν πταίσῃ ἄφρων ἐν λόγῳ, συγγνώμην ἔχει παρὰ πάντων, ἄφρων γάρ ἐστι καὶ εἴ τι λαλεῖ οὐκ οἶδεν· ἐὰν δὲ σοφὸς πταίσῃ, συγγνώμην οὐκ ἔχει, σοφὸς γάρ ἐστι καὶ ἐν τῇ γνώμῃ ἔπταισεν. Οὕτως οὖν, ἐάν τις τῶν ἔξω ἀδελφῶν πταίσῃ ἐν λόγῳ συγγνώμην ἔχει, ὅτι μετὰ πάντων ἐστίν· ἐὰν δὲ ἡμεῖς οἱ νομιζόμενοι ἔγ-

164

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Πάτερ, τοὺς κόπους μου ποὺ σοῦ προσφέρω, τοὺς ἀπέδωσες στὸν ἑαυτό σου. Καὶ οἱ σοφοὶ τὸ κάνουν αὐτό, ὄχι γιὰ νὰ βαστάξουν τὸ βάρος τοῦ πλησίον καὶ μόνο, ἀλλὰ καὶ γιὰ πολλούς· γιὰ ὠφέλεια τῶν ψυχῶν μας. Μάλιστα ἐπειδὴ σὰν πατέρας μᾶς προτρέπεις σὲ ἐρώτηση γιὰ τὴν ὁδὸ τῆς ζωῆς μέσα στὴ μεγάλη σου ζωή. Ἀλλὰ παρακαλῶ, ἐπειδὴ ὁ Κύριος σὲ ἔστειλε σὲ μένα ὡς λιμάνι καὶ καταφύγιο, κάνε μου τὴ χάρη καὶ παρακάλεσε τὸν Δεσπότη νὰ μὲ ἐλεήσει καὶ νὰ μοῦ φανερώσει κάτι μικρό, διότι, ἐπειδὴ δὲν γνωρίζω, περιπλέκονται οἱ λογισμοί μου· καὶ φανέρωσέ μου, ὅπως μοῦ τὸ φανέρωσες τὴν πρώτη φορά, γιὰ νὰ μετανοήσω· καὶ μετὰ ἀπὸ αὐτὸ δεῖξε μου τὴν ὁδό, πῶς νὰ περπατήσω, ἐπειδὴ ἀνέλαβες τὴν ψυχή μου.

Ἀπόκριση

Ἀδελφέ, ὁμιλῶ ὅπως στὴν ἴδια μου τὴν ψυχή, διότι ὁ Κύριος ἔδεσε τὴν ψυχή σου μέσα στὴ δική μου, λέγοντας, 'μὴ ἀπομακρυνθεῖς ἀπὸ αὐτόν'. Ἐπειδὴ δὲν ἦταν ἔργο μου νὰ σὲ διδάξω, ἀλλὰ νὰ μάθω ἀπὸ σένα, διότι φοβᾶμαι αὐτὸν ποὺ λέγει, «ἐσὺ ποὺ διδάσκεις ἄλλον, δὲν διδάσκεις τὸν ἑαυτό σου;»[26α]. Καὶ ἐπειδὴ λέγεις, ὅτι ἀρκεῖ στὸν σοφὸ ἕνα νεῦμα, ποὺ μᾶλλον δὲ μοῦ ἦταν ἀρκετό, ἀλλὰ θέλεις νὰ ἀκούσεις φανερὰ ὅτι ὁ ἄφρονας, ἂν σφάλει στὸ λόγο, συγχωρεῖται ἀπὸ ὅλους, διότι εἶναι ἄφρονας καὶ δὲν ξέρει τί λέγει· ἐὰν ὅμως σφάλει ὁ σοφός, δὲν συγχωρεῖται, διότι εἶναι σοφὸς καὶ ἔσφαλε στὴ σκέψη. Τὸ ἴδιο λοιπόν, ἐὰν κάποιος ἀπὸ τοὺς ἔξω ἀδελφοὺς σφάλει στὸ λόγο, συγχωρεῖται, διότι εἶναι μαζὶ μὲ ὅλους· ἐὰν ὅμως σφάλουμε ἐμεῖς οἱ θεωρούμενοι ἔγκλειστοι καὶ ἡσυ-

26α. Ρωμ. 2,21.

κλειστοι καὶ ἡσυχασταὶ καὶ παρὰ τοῖς ἀνθρώποις καλοί, ποίαν ἔχομεν συγγνώμην; Καὶ ἐπειδὴ γνῶναι θέλεις φανερῶς τὸ πρᾶγμα, λέγω, κάθη ἔσω ὡς νεκρωθεὶς τῷ κόσμῳ.

Πῶς ὅτε ἔρχῃ εἰς συντυχίαν ἀπὸ τῆς ἀγάπης καὶ τῆς χαρᾶς μετατρέπῃ εἰς παροξυσμὸν καὶ μνησικακίαν καὶ μέμφῃ τὸν πλησίον ἢ γὰρ ἑαυτόν; καὶ οὐ λέγεις ὅτι 'ἐγώ εἰμι ὁ ἀνάξιος', ἀλλὰ καὶ ψηφίζεις σευατόν; Γινομένης γὰρ προφάσεως λέγεις, 'εἰπὲ ὅτι ἐγὼ εἶπον', καὶ ἀκούουσιν ἡδέως. Τί ἔχεις σεαυτόν, ὅτι ἡδέως δέχονται τὸν λόγον σου; ὡς Ἠλίαν τὸν προφήτην; Μέμψαι σεαυτὸν καὶ πάντα τὰ γινόμενά σοι· μάθε ὅτι ἐκτὸς τοῦ θελήματος τοῦ Θεοῦ οὐ γίνεται, εἴτε ἀνάπαυσις πρὸς εὐχαριστίαν, εἴτε θλῖψις πρὸς ὑπομονήν. Ποῦ ἐστιν ὁ γεγραμμένος λόγος, ὅτι «ἀνέχεσθε καὶ τοῦ δέροντος ἡμᾶς εἰς τὴν ὄψιν» καὶ τὰ λοιπά; Διὰ τοῦτο μακράν ἐσμεν ἀπὸ τοῦ Θεοῦ.

Κἂν οὖν τὴν ὁδὸν θελήσῃς μαθεῖν αὕτη ἐστί, τὸ ἔχειν τὸν δέροντα ὡς τὸν θάλποντα καὶ τὸν ἀτιμάζοντα ὡς τὸν δοξάζοντα καὶ τὸν ὑβρίζοντα ὡς τὸν τιμῶντα καὶ τὸν θλίβοντα ὡς τὸν ἀναπαύοντα· κἂν κατὰ λήθην ἢ κατὰ προαίρεσιν μὴ δώσωσί σοι τὴν συνήθειαν, ἵνα μὴ θλιβῇς, ἀλλὰ μᾶλλον λέγε, ὅτι 'εἰ ἦν θέλημα Θεοῦ, εἶχον ἐλθεῖν'. Καὶ ὅτε ἔρχωνται, ἵνα μετὰ ἱλαροῦ προσώπου δέξῃ χαίρων, ὅτι ἀνάξιον ὄντα ἠλέησέ με ὁ Κύριος, κατὰ τὸν Δανιήλ, ὅς, ὅτε ἐπεσκέψατο αὐτὸν ὁ Κύριος, τοῦτο μόνον ἔλεγεν, «ἐμνήσθη γάρ μου ὁ Θεός», ἡγούμενος ἑαυτὸν ἀνάξιον, καὶ ἀπόθου τὸ δικαίωμα· ὅτι, ἐὰν εἴπῃς τίποτε, λέγεις, 'καλῶς εἶπον'· ἐὰν ἐπινοήσῃς, λέγεις, 'καλῶς ἐπενόησα', 'καλῶς', 'καλῶς'· τοῦτο τὸ 'καλῶς', διὰ τί οὐ νοοῦμεν ἐν τῷ μὴ θλῖψαί τινα μήτε ἐν λόγῳ μήτε ἐν ἔργῳ, καὶ ὁ Θεὸς συνέρχεται ἡμῖν κατὰ πάντα;

χαστὲς καὶ καλοὶ γιὰ τοὺς ἀνθρώπους, ποιά συγχώρηση θὰ τύχουμε; Καὶ ἐπειδὴ θέλεις νὰ γνωρίσεις φανερὰ τὸ πρᾶγμα, σοῦ λέγω, κάθησε μέσα σὰν νὰ νεκρώθηκες ἀπὸ τὸν κόσμο.

Πῶς ὅταν ἔρχεσαι σὲ συνάντηση ἀπὸ τὴν ἀγάπη καὶ τὴ χαρὰ μετατρέπεσαι σὲ παροξυσμὸ καὶ μνησικακία καὶ κατηγορεῖς τὸν πλησίον καὶ ὄχι τὸν ἑαυτό σου; καὶ δὲ λέγεις ὅτι 'ἐγὼ εἶμαι ὁ ἀνάξιος', ἀλλὰ καὶ ψηφίζεις τὸν ἑαυτό σου; Διότι, ὅταν δίνεται εὐκαιρία λέγεις· 'πὲς ὅτι ἐγὼ εἶπα', καὶ τ' ἀκοῦν εὐχάριστα. Τί θεωρεῖς τὸν ἑαυτό σου, ὥστε νὰ δέχονται εὐχάριστα τὸν λόγο σου; σὰν τὸν προφήτη Ἠλία; Κατηγόρησε τὸν ἑαυτό σου καὶ ὅλα αὐτὰ ποὺ γίνονται σὲ σένα· μάθε ὅτι χωρὶς τὸ θέλημα τοῦ Θεοῦ δὲ γίνεται οὔτε ἀνάπαυση πρὸς εὐχαριστία, οὔτε θλίψη πρὸς ὑπομονή. Ποῦ εἶναι ὁ λόγος ποὺ ἔχει γραφεῖ, «νὰ ἀνέχεσθε καὶ αὐτὸν ποὺ σᾶς δέρνει στὸ πρόσωπο»[27] καὶ τὰ λοιπά; γι' αὐτὸ εἴμαστε μακριὰ ἀπὸ τὸ Θεό.

Καὶ ἂν λοιπὸν θελήσεις νὰ μάθεις τὴν ὁδό, εἶναι αὐτή, τὸ νὰ θεωρεῖς ἐκεῖνον ποὺ σὲ δέρνει σὰν ἐκεῖνον ποὺ σὲ περιποιεῖται· καὶ ἐκεῖνον ποὺ σὲ ἀτιμάζει σὰν ἐκεῖνον ποὺ σὲ δοξάζει· καὶ ἐκεῖνον ποὺ σὲ βρίζει σὰν ἐκεῖνον ποὺ σὲ τιμᾶ· καὶ ἐκεῖνον ποὺ σὲ θλίβει σὰν ἐκεῖνον ποὺ σὲ ἀναπαύει· καὶ εἴτε ἀπὸ λησμοσύνη εἴτε κατὰ προαίρεση νὰ μὴ σοῦ δώσουν τὴ συνήθεια, γιὰ νὰ μὴ στενοχωρηθεῖς, ἀλλὰ μᾶλλον λέγε, 'ἐὰν ἦταν θέλημα Θεοῦ, θὰ ἔρχονταν'. Καὶ ὅταν ἔρχονται νὰ τοὺς δεχθεῖς μὲ ἱλαρὸ πρόσωπο, λέγοντας ὅπως ὁ Δανιήλ, 'ἐνῶ ἤμουν ἀνάξιος, ὁ Κύριος μὲ ἐλέησε'· ἐκεῖνος ὅταν τὸν ἐπισκέφθηκε ὁ Κύριος, ἔλεγε μόνο αὐτό, «μὲ θυμήθηκε ὁ Θεός μου»[28], ἐπειδὴ θεωροῦσε τὸν ἑαυτό του ἀνάξιο, καὶ πῆρε τὴν ἱκανοποίηση· διότι ἐὰν πεῖς κάτι, λέγεις, 'καλὰ εἶπα'· καὶ ἐὰν σκεφθεῖς, λέγεις, 'καλὰ τὸ σκέφθηκα', καλά, καλά· αὐτὸ τὸ 'καλά', γιατί δὲν τὸ ἐννοοῦμε ὡς τό, νὰ μὴ στενοχωρήσουμε κάποιον οὔτε μὲ τὰ λόγια, οὔτε μὲ τὰ ἔργα, ὥστε ὁ Θεὸς νὰ εἶναι σὲ ὅλα κοντά μας;

27. Β΄ Κορ. 11,20.
28. Δαν. 5,37.

Ἐπύκτευες φανερῶσαι τὸν λογισμὸν τοῖς ἀδελφοῖς τοῦ πληρῶσαι τὸ θέλημά σου, ὅτι, ἐὰν μὴ σήμερον γένηται τὸ ἔργον· καὶ ἔπληξας τὸν λογισμὸν τῶν νεωτέρων, λεγόντων ὅτι, 'Τί εἰσιν ἄλλαι ἡμέραι δύο, ὅτι οὐ βαστάζει ὁ γέρων;' Εἰπέ μοι· τὸ ὄντως ἐγένετο ἔργον; εἰς τοὺς οὐρανοὺς ἀνῆλθες; Ἀλλ' ἁπλῶς ἔπληξες ἀκαίρως ἀπὸ τοῦ διαβόλου, ἀδελφέ.

Ἀπὸ τῆς ἄρτι ἀφήσωμεν τοὺς νεκρούς, θάψαι τοὺς ἑαυτῶν νεκρούς, καὶ εὐαγγελισώμεθα τὴν βασιλείαν τοῦ Θεοῦ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΞΕ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα ὡς ἐν προσευχῇ.*

Ζωὴ τῶν ἀπεγνωσμένων, μὴ παρίδῃς με, ὅτι εἰς ἀπόγνωσιν κεῖμαι· ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους. Ἐδήλωσάς μοι, ἅγιε, ὅτι 'καθάρισον σεαυτὸν καὶ ἔκβαλε ἀπὸ σοῦ τὸν παλαιὸν ἄνθρωπον'. Μὴ ὁ πηλὸς ἑαυτὸν δύναται καθαρίσαι; ἢ ἡ οἰκοδομὴ δύναται ἑαυτὴν κοσμῆσαι, εἰ μὴ ὁ κτίσας αὐτὴν κοσμήσῃ; ἢ τὸ κεράμιον τὸ κτισθὲν ὑπὸ τοῦ κεραμέως δύναται ἑαυτὸ ὀπτῆσαι, ἐὰν μὴ ὁ πλάσας βάλῃ εἰς τὸ πῦρ, καὶ δοκιμάσῃ εἰ εὔχρηστόν ἐστι; Καὶ αὐτός, ἅγιε, εἰ θέλεις σῶσαι τὸ πλάσμα σου, πέμψον τὸ θεῖόν σου πῦρ, ἵνα ὀπτήσῃ τὸ κεράμιον τὸ ὑπὸ σοῦ πλασθέν, ἵνα δέξηται τὸ παρὰ σοῦ ἔλαιον, καὶ μὴ ῥεύσῃ. Ὅτι σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Προσπαθοῦσες νὰ φανερώσεις τὸν λογισμὸ στοὺς ἀδελφούς, ὥστε νὰ πραγματοποιήσεις τὸ θέλημά σου, ὅτι, 'ἐὰν δὲ γίνει σήμερα τὸ ἔργο'· καὶ ἔπληξες τὸν λογισμὸ τῶν νεωτέρων ποὺ ἔλεγαν, 'τί εἶναι οἱ ἄλλες δύο ἡμέρες ποὺ δὲ βαστάζει ὁ γέροντας;' Πές μου· ἔγινε πραγματικὰ ἔργο; ἀνέβηκες στοὺς οὐρανούς; Ἁπλῶς ἔπληξες ἄκαιρα ἀπὸ τὸ μέρος τοῦ διαβόλου, ἀδελφέ.

Ἀπὸ τώρα «ἂς ἀφήσουμε τοὺς νεκροὺς νὰ θάψουν τοὺς νεκρούς τους», καὶ ἂς εὐαγγελισθοῦμε τὴ βασιλεία τοῦ Θεοῦ[29], στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

165

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα ὑπὸ μορφὴ προσευχῆς.

Ζωὴ τῶν ἀπελπισμένων, μὴ μὲ παραμελήσεις, διότι βρίσκομαι σὲ ἀπόγνωση· ἡ ἀνακοίνωση τῶν λόγων σου φωτίζει καὶ συνετίζει νήπια[30]. Ἅγιε, μοῦ δήλωσες, 'καθάρισε τὸν ἑαυτό σου καὶ βγάλε ἀπὸ μέσα σου τὸν παλαιὸ ἄνθρωπο'. Μήπως ὁ πηλὸς μπορεῖ νὰ καθαρίσει τὸν ἑαυτό του; ἢ ἡ οἰκοδομὴ μπορεῖ νὰ στολίσει τὸν ἑαυτό της, ἐὰν δὲν τὴν κοσμίσει ὁ κτίστης; ἢ τὸ κεραμίδι ποὺ πλάσθηκε ἀπὸ τὸν κεραμέα μπορεῖ νὰ ψήσει τὸν ἑαυτό του, ἐὰν δὲ τὸ βάλει ὁ δημιουργὸς στὴ φωτιὰ καὶ τὸ δοκιμάσει ἂν εἶναι εὔχρηστο; Καὶ σύ, ἅγιε, ἐὰν θέλεις νὰ σώσεις τὸ πλάσμα σου, στεῖλε τὴ θεία σου φωτιὰ νὰ ψήσει τὸ κεραμίδι ποὺ πλάσθηκε ἀπὸ σένα, γιὰ νὰ δεχθεῖ τὸ λάδι ἀπὸ σένα, καὶ νὰ μὴ χυθεῖ. Διότι δική σου εἶναι ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

29. Λουκᾶ 9,60.
30. Ψαλμ. 118,130.

Ἀπόκρισις

Αδελφέ, μὴ ἀναγκάσῃς με λαλῆσαι τὸν θέλοντα ἡσυχίαν καὶ σιωπὴν ἀσπάσασθαι. Τοίνυν στήριξον πρὸς Κύριον τὴν καρδίαν σου, καὶ καρτέρησον μὴ σαλευόμενος. Καὶ γὰρ ὁ φθονήσας τῷ Ἀδὰμ ἀπ' ἀρχῆς καὶ ἐκβαλὼν τοῦ παραδείσου, φθονεῖ εἰς τὴν ἐν Χριστῷ ὁμόνοιαν ἡμῶν· ἀλλ' ὁ εἰπὼν ὅτι, «ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ», καταργήσει αὐτὸν ἀφ' ἡμῶν καὶ διαρρήξει αὐτοῦ τὰ δίκτυα.

Σὺ οὖν μὴ τεχνασθῇς ἀπ' αὐτοῦ ἔν τινι, τοῦ σαλευθῆναι ἀπὸ τοῦ τόπου σου· καὶ γὰρ οὕτω καὶ τὸν Μάλχον ἐτεχνάσατο· πικραίνεται γὰρ πρὸς ἡμᾶς δεινῶς. Ἀλλ' ἐὰν ταπεινωθῶμεν, καταργεῖ αὐτὸν ὁ Κύριος.

Ἡμεῖς οὖν εἰς ἡμᾶς τὴν μέμψιν φέρωμεν διαπαντός, ὅτι αὕτη ἐστὶν ἡ νίκη. Καὶ περὶ τοῦ ἐνθυμηθῆναι ἀπελθεῖν εἰς τὴν ἔρημον, εἶπον οἱ Πατέρες· ὅτι τρία κεφάλαιά εἰσι, καὶ εἴ τις αὐτὰ φυλάττει, δύναται οἰκῆσαι καὶ ἀναμέσον τῶν ἀνθρώπων, καὶ εἰς τὰς ἐρήμους, καὶ ὅπου δ' ἂν ᾖ.

Τὸ μέμψασθαι ἑαυτόν, καὶ τὸ βαλεῖν ὀπίσω τὸ θέλημα, καὶ τὸ βαλεῖν ἑαυτὸν ὑποκάτω πάσης κτίσεως, ἵνα μάθῃ δὲ ἡ ἀγάπη σου, ὅτι ὅλη ἡ πύκτευσις τοῦ διαβόλου τοῦ ἀποχωρίσαι ἡμᾶς ἀπ' ἀλλήλων ἐστί, βλέπει γὰρ ἀκριβῶς τὴν γραφὴν πληρουμένην εἰς ἡμᾶς· ὅτι «ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ τετειχισμένη»· μὴ δώῃ αὐτῷ ὁ Κύριος πληρῶσαι τὸ ἴδιον θέλημα εἰς ἡμᾶς, ἀλλὰ συντρίψοι αὐτόν, κατὰ τὸν ἀληθῆ λόγον, «ὑπὸ τοὺς πόδας ἡμῶν ἐν τάχει».

Σὺ οὖν μὴ διστάσῃς, ἐλπίζω γὰρ ὅτι εἰς μίαν θήκην βληθη-

---

31. Λουκᾶ 10,18.

32. Ἀσκητὴς ποὺ ἀπὸ διαβολικὴ ἐπήρεια ἔφυγε ἀπὸ τὸν τόπο του.

Ἀπόκριση

Ἀδελφέ, μὴ μὲ ἀναγκάσεις νὰ μιλήσω, ἐμένα ποὺ θέλω ν' ἀσπασθῶ τὴν ἡσυχία καὶ τὴ σιωπή· στήριξε λοιπὸν τὴν καρδιά σου στὸν Κύριο καὶ περίμενε χωρὶς νὰ σαλεύεσαι. Διότι αὐτὸς ποὺ φθόνησε ἀπὸ τὴν ἀρχὴ τὸν Ἀδὰμ καὶ τὸν ἔδιωξε ἀπὸ τὸν Παράδεισο, φθονεῖ τὴν ὁμόνοιά μας στὸ ὄνομα τοῦ Χριστοῦ· ἀλλὰ ἐκεῖνος ποὺ εἶπε, «ἔβλεπα τὸν σατανὰ νὰ πέφτει σὰν ἀστραπὴ ἀπὸ τὸν οὐρανό»[31], θὰ τὸν καταργήσει ἀπὸ μᾶς καὶ θὰ σχίσει τὰ δίχτυα του.

Ἐσὺ λοιπὸν μὴ παρασυρθεῖς ἀπὸ αὐτὸν σὲ κάτι, ὥστε νὰ σαλευθεῖς ἀπὸ τὸν τόπο σου· διότι ἔτσι ἐφάρμοσε τὶς μηχανορραφίες του καὶ στὸν Μάλχο[32]· διότι εἶναι φοβερὰ πικρὸς ἀπέναντί μας. Ἀλλὰ ἐὰν ταπεινωθοῦμε, ὁ Κύριος τὸν καταργεῖ.

Ἐμεῖς λοιπὸν νὰ ὑποφέρουμε γιὰ πάντα τὴν ἐναντίον μας μέμψη, διότι αὐτὴ εἶναι ἡ νίκη. Οἱ πατέρες μίλησαν καὶ γιὰ τὴ σκέψη ἀπομακρύνσεως στὴν ἔρημο· ὅτι εἶναι τρεῖς οἱ κύριες παραγγελίες, καὶ ἂν κάποιος τὶς φυλάγει, μπορεῖ νὰ κατοικήσει καὶ ἀνάμεσα στοὺς ἀνθρώπους καὶ στὶς ἐρήμους καὶ ὅπου κι ἂν τύχει.

Νὰ κατακρίνεις τὸν ἑαυτό σου, νὰ παραμερίσεις τὸ θέλημά σου, καὶ νὰ βάλεις τὸν ἑαυτό σου κάτω ἀπὸ κάθε κτίσμα, γιὰ νὰ μάθει καὶ ἡ ἀγάπη σου, ὅτι ὅλος ὁ ἀγώνας τοῦ διαβόλου εἶναι νὰ μᾶς χωρίσει μεταξύ μας, διότι βλέπει νὰ ἐκπληρώνεται σὲ μᾶς ἡ γραφή, «ὁ ἀδελφὸς ποὺ βοηθεῖται ἀπὸ τὸν ἀδελφό, εἶναι σὰν ὀχυρὴ καὶ περιτειχισμένη πόλη»[33]· νὰ μὴ δώσει ὁ Κύριος σ' αὐτὸν νὰ ἐκπληρώσει τὸ δικό του θέλημα σὲ μᾶς, ἀλλὰ εἴθε νὰ τὸν συντρίψει, σύμφωνα μὲ τὸν ἀληθινὸ λόγο, «κάτω ἀπὸ τὰ πόδια μας γρήγορα»[34].

Ἐσὺ λοιπὸν νὰ μὴ διστάσεις, διότι ἐλπίζω ὅτι θὰ μποῦμε

---

33. Παρμ. 18,19.
34. Ρωμ. 16,20.

σόμεθα, ὡς ἤδη προεῖπόν σοι, ὁμοῦ οἱ δύο· καὶ ὁ Θεὸς εἰς τοῦτο συνῆξεν ἡμᾶς ὠφεληθῆναι ἀπ' ἀλλήλων. Καὶ οὗτοι οἱ πειρασμοὶ τύποι γίνονται εἰς ὠφέλειαν καὶ στερέωσιν τῶν πολλῶν. Ἡσύχασον οὖν, ἀδελφέ, καὶ εὖξαι, ἵνα περάσωμεν τὸ πέραμα τοῦτο, ἵνα μὴ ματαίως ἀναλώσωμεν ἡμῶν τὰς ἡμέρας· καὶ γὰρ ἤγγισεν ὁ καιρὸς καὶ μαίνεται ὁ ἐχθρός.

Οὐκ ἐματαίωσεν οὖν ὁ Θεὸς τὸν κόπον σου, μὴ γένοιτο! ἀλλ' αὐτός, «ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν», θέλει σε εἰσελθεῖν εἰς τελειότητα. Εἶπε γὰρ τοῖς Ἀποστόλοις, «τότε εἴπατε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν». Καὶ οὕτως ἑαυτοὺς κρατήσωμεν, καὶ ποιεῖ μεθ' ἡμῶν τὸ ἔλεος, διὰ τὸ ὄνομα αὐτοῦ τὸ ἐπικληθὲν ἐφ' ἡμᾶς. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΞϚ'

Δυσπιστίας σπαρείσης ἐν τῷ λογισμῷ τοῦ ἐρωτῶντος γέροντος εἰς τὸν αὐτὸν μέγαν Γέροντα φθόνῳ τοῦ διαβόλου διὰ τὴν ὠφέλειαν τῶν αὐτοῦ ἀποκρίσεων, ἐκεῖνος τὰ τῆς καρδίας αὐτοῦ γνούς, ἐδήλωσεν αὐτῷ ταῦτα.

Ἀπόκρισις

Πρῶτον καὶ πρὸ πάντων δοξάζω τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα λέγων· «δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν». Οὐκ ἀκαίρως δὲ προεσημειωσάμην ἐν τοῖς προοιμίοις τὴν τοιαύτην δοξολογίαν, ἀλλὰ δεικνύων τῷ μισοκάλῳ δαίμονι, ὅτι ἐν ταῖς παρ' αὐτοῦ φαινομέναις φαντασίαις,

35. Ἐννοεῖ σ' ἕνα τάφο.

σὲ μία θήκη[35] ἐμεῖς οἱ δύο, ὅπως σοῦ εἶπα παλαιότερα, καὶ ὁ Θεὸς μᾶς ὁδήγησε σ' αὐτό, γιὰ νὰ ὠφεληθοῦμε μεταξύ μας. Κι αὐτοὶ οἱ πειρασμοὶ γίνονται παράδειγμα γιὰ ὠφέλεια καὶ στερέωση τῶν πολλῶν. Ἡσύχασε λοιπόν, ἀδελφέ, καὶ προσευχήσου νὰ περάσουμε αὐτὸ τὸ πέρασμα, γιὰ νὰ μὴ σπαταλήσουμε μάταια τὶς ἡμέρες μας· διότι πλησίασε ὁ καιρὸς καὶ μαίνεται ὁ ἐχθρός.

Δὲν ματαίωσε λοιπὸν ὁ Θεὸς τὸν κόπο σου, μὴ γένοιτο, ἀλλὰ «αὐτὸς ποὺ θέλει νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ γνωρίσουν τὴν ἀλήθεια»[36], θέλει νὰ φθάσεις στὴν τελειότητα. Διότι εἶπε στοὺς Ἀποστόλους, «τότε πέστε, ὅτι 'εἴμαστε ἀχρεῖοι δοῦλοι'»[37]. Ἔτσι θὰ καταστοῦμε κύριοι τοῦ ἑαυτοῦ μας, καὶ θὰ μᾶς ἐλεήσει γιὰ τὸ ὄνομά του ποὺ μᾶς ἔχει δοθεῖ.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

166

Ἐπειδὴ σπάρθηκε δυσπιστία στὸν λογισμὸ τοῦ γέροντα ποὺ ἐρώτησε γιὰ τὸν ἴδιο μεγάλο Γέροντα ἀπὸ φθόνο τοῦ διαβόλου, ἐξαιτίας τῆς ὠφέλειας τῶν ἀπαντήσεών του, ἐκεῖνος γνώρισε τὶς σκέψεις τῆς καρδιᾶς του καὶ τοῦ ἐδήλωσε αὐτά.

Ἀπόκριση

Πρῶτα καὶ πρὶν ἀπὸ ὅλα δοξάζω τὴν ἁγία καὶ ὁμοούσια Τριάδα, λέγοντας· 'δόξα στὸν Πατέρα καὶ τὸν Υἱὸ καὶ τὸ ἅγιο Πνεῦμα, καὶ τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν'. Καὶ δὲν προσημείωσα ἄκαιρα στὸ προοίμιο αὐτὴ τὴ δοξολογία, ἀλλὰ τὸ ἔκανα γιὰ νὰ δείξω στὸ μισόκαλο δαίμονα, ὅτι στὰ ὄνειρα ποὺ παρουσιάζονται ἀπὸ αὐ-

36. Α' Τιμ. 2,4.
37. Λουκᾶ 17,10.

οὐδὲν φαίνεται τῆς τοιαύτης δοξολογίας, ἀλλὰ ταραχὴ καὶ λύπη καὶ ἀδημονία.

Λοιπόν, ἀδελφέ, ἔλθωμεν εἰς τὴν τοῦ Θεοῦ εὐχαριστίαν, ἐπὶ τῇ λυτρώσει τοῦ μεγάλου πειρασμοῦ τοῦ φθάσαντος ἡμᾶς ὡς ἀσυνέτους καὶ οὐκ ἀφῆκεν ἡ φιλανθρωπία αὐτοῦ ἀπολεσθῆναι ἡμᾶς εἰς τέλος· ἀεὶ γὰρ ἀληθινὸς ὁ εἰπών, «ζῶ ἐγώ, λέγει Κύριος, ὅτι οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Τοίνυν τῷ σώσαντι ἡμᾶς καὶ ἀεὶ σώζοντι, δώσωμεν τὴν εὐχαριστίαν διαπαντός, ᾧ εὐχαριστοῦσιν ἄγγελοι, δυνάμεις ὑπερκόσμιοι, στρατιαὶ ἐπουράνιοι, χερουβὶμ καὶ σεραφὶμ ταῖς εὐπρεπεστάταις φωναῖς, ἀκαταπαύστως καὶ ἀδιαλείπτως, ἀναβοῶντα καὶ κεκραγότα καὶ λέγοντα· «ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ», καὶ τὰ ἑξῆς.

Κατανοοῦντες οὖν καὶ ἡμεῖς, εὐχαριστήσωμεν αὐτῷ, ᾧ ὁ οὐρανὸς θρόνος καὶ ἡ γῆ ὑποπόδιον, ᾧ πᾶσα κτίσις δουλεύει· καὶ ἀπὸ τῆς προτυπώσεως ταύτης τῆς Γραφῆς ἀρξώμεθα καὶ ἡμεῖς εὐχαριστήσωμεν τῷ Πατρί, ὅτι ἠλέησε τὸν κόσμον καὶ οὐκ ἐφείσατο τοῦ πέμψαι τὸν μονογενῆ Υἱὸν σωτῆρα καὶ λυτρωτὴν τῶν ἡμετέρων ψυχῶν.

Εὐχαριστήσωμεν τῷ Υἱῷ, ὅτι ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, δι' ἡμᾶς τοὺς ἀνθρώπους.

Εὐχαριστήσωμεν τῷ ἁγίῳ Πνεύματι, τῷ ζωοποιῷ, τῷ λαλήσαντι ἐν νόμῳ καὶ προφήταις καὶ διδασκάλοις, τῷ καταδείξαντι Πέτρον μετανοήσαντα καὶ κελεύσαντι αὐτὸν ἀπελθεῖν εἰς Κορνήλιον καὶ δοξάσαντι αὐτὸν καὶ δόντι ἐξουσίαν ἐγείρειν νεκρούς, ὡς καὶ τὴν Ταβιθᾶ· τῷ ἀεὶ προλαμβάνοντι καὶ συντρίβοντι τὰς παγίδας τοῦ ἐχθροῦ ἀπὸ τῶν ἐπικαλουμένων αὐτό,

---

38. Ἰεζ. 18,3.23.
39. Ἠσ. 6,3.

τόν, δὲ φαίνεται τίποτε ἀπὸ αὐτὴ τὴ δοξολογία, ἀλλὰ ταραχὴ καὶ λύπη καὶ ἀνησυχία.

Λοιπόν, ἀδελφέ, ἂς ἐπιδοθοῦμε στὴν εὐχαριστία τοῦ Θεοῦ γιὰ τὴ λύτρωση ἀπὸ τὸν μεγάλο πειρασμὸ ποὺ ἔφθασε σὲ μᾶς ἐπειδὴ εἴμαστε ἀσύνετοι, καὶ ἡ φιλανθρωπία του δὲν ἄφησε νὰ καταστραφοῦμε μέχρι τὸ τέλος· διότι εἶναι πάντα ἀληθινὸς αὐτὸς ποὺ εἶπε, «σᾶς τὸ βεβαιώνω ἐγώ, λέγει ὁ Κύριος, ὅτι δὲν θέλω τὸν θάνατο τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν ἐπιστροφὴ καὶ τὴ ζωή του»[38]. Ἂς δώσουμε λοιπὸν τὴν εὐχαριστία γιὰ πάντα σ' ἐκεῖνον ποὺ μᾶς ἔσωσε καὶ πάντα μᾶς σώζει, τὸν ὁποῖο εὐχαριστοῦν ἄγγελοι, ὑπερκόσμιες δυνάμεις, ἐπουράνιες στρατιές, χερουβὶμ καὶ σεραφὶμ μὲ λαμπρότατες φωνές, ἀκατάπαυστα καὶ ἀδιάλειπτα, βοώντας καὶ κραυγάζοντας καὶ λέγοντας· «ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ» καὶ τὰ λοιπά[39].

Κατανοώντας λοιπὸν καὶ ἐμεῖς ἂς εὐχαριστήσουμε αὐτόν, τοῦ ὁποίου ὁ οὐρανὸς εἶναι θρόνος καὶ ἡ γῆ ὑποπόδιο, στὸν ὁποῖο ὅλη ἡ κτίση δουλεύει[40]· καὶ ἀπὸ αὐτὴν τὴν προτύπωση τῆς Γραφῆς ἂς ἀρχίσουμε καὶ ἐμεῖς νὰ εὐχαριστήσουμε τὸν Πατέρα, διότι ἐλέησε τὸν κόσμο καὶ δὲ λυπήθηκε νὰ στείλει τὸν μονογενῆ Υἱό του ὡς σωτήρα καὶ λυτρωτὴ τῶν ψυχῶν μας.

Ἂς εὐχαριστήσουμε τὸν Υἱό, διότι ταπείνωσε τὸν ἑαυτό του γενόμενος ὑπήκοος μέχρι θανάτου, καὶ μάλιστα σταυρικοῦ θανάτου[41], γιὰ μᾶς τοὺς ἀνθρώπους.

Ἂς εὐχαριστήσουμε τὸ ἅγιο Πνεῦμα, τὸ ζωοποιό, ποὺ μίλησε μὲ τὸ νόμο, τοὺς προφῆτες καὶ διδασκάλους· ποὺ ἔδειξε στὸν Πέτρο, ποὺ μετανόησε, καὶ τοῦ παρήγγειλε νὰ μεταβεῖ στὸν Κορνήλιο[42] καὶ τὸν δόξασε καὶ τοῦ ἔδωσε ἐξουσία νὰ ἀνασταίνει νεκρούς, ὅπως καὶ τὴν Ταβιθᾶ[43]· τὸ Πνεῦμα, ποὺ πάντα προλαβαίνει καὶ συντρίβει τὶς παγίδες τοῦ ἐχθροῦ, γι' αὐτοὺς ποὺ τὸ ἐπικαλοῦνται, σύμφωνα μὲ τὴν προφητεία τοῦ Δαβὶδ ποὺ

---

40. Εὐχὴ τῆς ἀναφορᾶς τῆς λειτουργίας.
41. Φιλ. 2,8.
42. Πράξ. 10,19–30.
43. Πράξ. 9,36–43.

κατὰ τὴν τοῦ Δαβὶδ προφητείαν, λέγοντος· «ἡ παγὶς συνεστρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν· ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν».

Ἰδοὺ οὖν, ἠλέησεν ἡμᾶς καὶ ἰάσατο ἡμᾶς ἀπὸ τηλικαύτης ἀρρωστίας· ἀκούσωμεν αὐτοῦ λέγοντος· «ἰδοὺ ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χείρονα πάθῃς». Ἔλθωμεν ἐν πᾶσιν εἰς ταπείνωσιν· ὁ γὰρ ταπεινὸς χαμαὶ κεῖται, καὶ ὁ κείμενος χαμαὶ ποὺ ἔχει πεσεῖν; Δῆλον δὲ ὅτι ὁ ἐν τῷ ὕψει, εὐχερῶς πίπτει. Εἰ ἀπεστράφημεν οὖν καὶ διωρθώθημεν, οὐκ ἀφ' ἡμῶν τοῦτο· Θεοῦ τὸ δῶρον. «Κύριος» γάρ φησιν «ἀνορθοῖ κατερραγμένους καὶ σοφοῖ τυφλούς», καὶ τὰ λοιπά.

Τὸ δὲ γράψαι μοι τό, «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;», μεγάλου μέτρου ὁ λόγος. Ἰδοὺ γὰρ παραμικρὸν ἐκόψαμεν τὸ σχοινίον τῆς ἀγάπης, τοῦ ἀποθανεῖν καὶ ἀποστῆναι τοῦ πλοιαρίου τοῦ Χριστοῦ. Ἀλλ', ἵνα μὴ ἀπολύσω τὴν σφραγῖδα καὶ φλυαρήσω πολλά, καλῶς ἔχει· νύσσει γάρ μέ τις λέγων· «ὅπου σοφοί, μὴ σοφίζου». Καταπαύσω λοιπὸν τὸν λόγον.

Ὡς ἀγαπητῷ γνησίῳ ἔγραψα· ταῦτα δὲ ποιῶν, φθάνεις τὴν ὁδὸν τὴν ἀπάγουσαν εἰς τὴν αἰώνιον ζωήν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ σὺν ἁγίῳ Πνεύματι δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΞΖ'

Ταῦτα δεξάμενος ὁ Γέρων εἰς πένθος καὶ δάκρυα ἐπὶ πολλὰς ἡμέρας ἑαυτὸν ἔδωκε· καὶ γράφει αὐτῷ ὁ μέγας Γέρων παραμυθούμενος αὐτὸν οὕτως.

---

44. Ψαλμ. 123,8.
45. Ἰω. 5,14.

λέγει· «ἡ παγίδα συντρίβηκε καὶ ἐμεῖς σωθήκαμε· ἡ βοήθειά μας ἦλθε ἐν ὀνόματι τοῦ Κυρίου, ποὺ ἔκαμε τὸν οὐρανὸ καὶ τὴ γῆ»[44].

Νὰ λοιπόν, μᾶς ἐλέησε καὶ μᾶς θεράπευσε ἀπὸ τόση μεγάλη ἀρρώστια· ἂς τὸν ἀκούσουμε νὰ λέγει· «νά, ἔχεις γίνει ὑγιής, μὴ ἁμαρτάνεις πλέον, γιὰ νὰ μὴ πάθεις χειρότερα»[45]. Ἂς ταπεινωθοῦμε σὲ ὅλα· διότι ὁ ταπεινὸς βρίσκεται κάτω, καὶ αὐτὸς ποὺ βρίσκεται κάτω, ποὺ μπορεῖ νὰ πέσει; Εἶναι ὅμως φανερὸ ὅτι αὐτὸς ποὺ βρίσκεται ψηλὰ πέφτει εὔκολα. Ἐὰν λοιπὸν ἀποστραφήκαμε καὶ διορθωθήκαμε, αὐτὸ δὲν ἔγινε ἀπὸ μᾶς· εἶναι δῶρο τοῦ Θεοῦ. Διότι λέγει, «ὁ Κύριος ἀνορθώνει τοὺς καταπεσμένους καὶ σοφίζει τοὺς τυφλοὺς»[46] καὶ τὰ λοιπά.

Ὅσο γι' αὐτὸ ποὺ μοῦ ἔγραψες, «ποιός θὰ μᾶς χωρίσει ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ;»[47], αὐτὸς ὁ λόγος εἶναι πολὺ μεγάλος. Διότι νά, παρὰ λίγο θὰ κόβαμε τὸ σχοινὶ τῆς ἀγάπης, ὥστε νὰ πεθάνουμε καὶ νὰ ἀπομακρυνθοῦμε ἀπὸ τὸ πλοῖο τοῦ Χριστοῦ. Ἀλλά, γιὰ νὰ μὴ ἀνοίξω τὴ σφραγίδα καὶ φλυαρίσω πολύ, καλῶς ἔχει· διότι κάποιος μὲ κεντρίζει λέγοντας, «ὅπου εἶναι σοφοί, νὰ μὴ κάνεις τὸν σοφό»[48]. Θὰ σταματήσω λοιπὸν τὸν λόγο.

Σοῦ ἔγραψα σὰν πρὸς γνήσιο ἀγαπητό· ἐκτελώντας αὐτά, φθάνεις τὴν ὁδὸ ποὺ ὁδηγεῖ στὴν αἰώνια ζωή, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει δόξα, τιμὴ καὶ δύναμη στοὺς αἰῶνες. Γένοιτο.

167

Ὁ γέροντας, ὅταν δέχθηκε αὐτά, πενθοῦσε καὶ ἔκλαιγε γιὰ πολλὲς ἡμέρες· καὶ ὁ μεγάλος Γέροντας τοῦ γράφει παρηγορώντας τον μὲ τὰ ἑξῆς.

---

46. Ψαλμ. 145,9.
47. Ρωμ. 8,35.
48. Σοφ. Σειρὰχ 7,5.

Ἀπόκρισις

Ἀδελφέ, ὅσα παρῆλθε, βάλωμεν εἰς τὰ ὀπίσω, κατὰ τὸν ἀποστολικὸν λόγον λέγοντα· «τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινά». Ζεύξωμεν ἑαυτοὺς ὁμοθυμαδὸν ἐν τῷ χρηστῷ ζυγῷ τοῦ Χριστοῦ καὶ στερεώσωμεν ἑαυτοὺς εἰς τὴν τοῦ Χριστοῦ ἀγάπην. Φησὶ γὰρ «ὁ Θεὸς ἀγάπη ἐστί»· εἴ τις οὖν ἑαυτὸν λέγει ἔχειν τὴν ἀγάπην, μὴ ἐχέτω τίποτε μισούμενον ἀπὸ τοῦ Χριστοῦ.

Σπουδάσωμεν οὖν καθαρίσαι τὴν καρδίαν ἡμῶν ἀπὸ τοῦ παλαιοῦ ἀνθρώπου τῶν παθῶν, ὧν μισεῖ ὁ Θεός, ὅτι ναοὶ αὐτοῦ ἐσμεν καὶ ἐν ναῷ μεμιασμένῳ πάθεσιν, οὐ κατοικεῖ τὸ θεῖον. Εἰσέλθωμεν οὖν καὶ ποιήσωμεν τὴν μικρὰν ἡμῶν ἡσυχίαν· τὸ ἱκανὸν γὰρ ἐγένετο. Καὶ δεηθῶμεν, ἵνα κατὰ τὸ αὐτοῦ θέλημα εἴη ὁ ἡσύχιος ἡμῶν βίος, δοξάζοντες τὴν ἄχραντον καὶ ἁγίαν Τριάδα.

Εἴσβα οὖν κᾀμὲ παράθου τῷ Θεῷ, καὶ μὴ ὀχλήσῃς ἐν τοῖς νῦν τοῦ ἐρωτῆσαί με ἢ γράψαι· ἀσχολοῦμαι γὰρ τέως.

Τὸν ἀνάλαβον ἔπεμψα διὰ τὴν κέλευσίν σου, εἰδὼς ὅτι οὐδέν εἰμι, εἰ μὴ γῆ καὶ σποδός· οὐχ ὡς οὖν ἱκανὸς ἔπεμψα, εἰμὶ γὰρ ἀκάθαρτος καὶ χρεώστης ἐν πᾶσιν, ἀλλ' ἵνα μὴ ἀθετήσω τὴν λέγουσαν ἐντολήν, ὅτι «παντὶ τῷ αἰτοῦντί σε δίδου»· καὶ διὰ τὴν ἀγάπην τὴν ἐν Χριστῷ ἔπεμψα.

Λαβὼν οὖν εὖξαι ὑπὲρ ἐμοῦ· καὶ εὖξαι, ἵνα μὴ εἰς κενὸν εἴη ἡμῶν ὁ κόπος, ἀλλ' ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

49. Β' Κορ. 5,17.
50. Ματθ. 11,30.
51. Ἰω. 4,7.

Ἀπόκριση

Ἀδελφέ, ὅσα πέρασαν, νὰ τὰ βάλουμε πίσω, σύμφωνα μὲ τὸν ἀποστολικὸ λόγο ποὺ λέγει «τὰ παλαιὰ πέρασαν, τώρα ὅλα ἔγιναν καινούργια»[49]. Ἂς ζέψουμε τοὺς ἑαυτούς μας στὸν χρηστὸ ζυγὸ τοῦ Χριστοῦ[50] καὶ ἂς τοὺς στερεώσουμε στὴν ἀγάπη τοῦ Χριστοῦ. Διότι λέγει «ὁ Θεὸς εἶναι ἀγάπη»[51]. Ἐὰν λοιπὸν κάποιος λέγει ὅτι ἔχει τὴν ἀγάπη, νὰ μὴ ἔχει τίποτα ποὺ νὰ μισεῖται ἀπὸ τὸν Χριστό.

Ἂς φροντίσουμε λοιπὸν νὰ καθαρίσουμε τὴν καρδιά μας ἀπὸ τὸν παλαιὸ ἄνθρωπο τῶν παθῶν, τὰ ὁποῖα μισεῖ ὁ Θεός, διότι εἴμαστε ναοί του[52], καὶ σὲ ναὸ ποὺ εἶναι μιασμένος μὲ πάθη, δὲν κατοικεῖ τὸ θεῖο. Ἂς εἰσέλθουμε λοιπὸν καὶ ἂς ἀφοσιωθοῦμε στὴ μικρή μας ἡσυχία· διότι τὸ καθῆκον ἔγινε. Καὶ ἂς παρακαλέσουμε τὸ Θεό, ὥστε ἡ ἥσυχη ζωή μας νὰ εἶναι σύμφωνη μὲ τὸ θέλημά του, δοξάζοντας τὴν ἄχραντη καὶ ἁγία Τριάδα.

Εἴσελθε λοιπὸν καὶ παράδωσέ με στὸ Θεό, καὶ μὴ μὲ ἐνοχλήσεις αὐτὸν τὸν καιρὸ μὲ ἐρωτήσεις ἢ γράμματα· διότι τώρα δὲν εὐκαιρῶ.

Ἔστειλα κατόπιν τῆς παρακλήσεώς σου τὸν ἀνάλαβο, ἐπειδὴ γνωρίζω ὅτι δὲν εἶμαι τίποτε, παρὰ χῶμα καὶ στάχτη· δὲ σοῦ τὸν ἔστειλα λοιπὸν σὰν ἱκανός, διότι εἶμαι σὲ ὅλα ἀκάθαρτος καὶ χρεώστης, ἀλλὰ γιὰ νὰ μὴ ἀθετήσω τὴν ἐντολὴ ποὺ λέγει, «νὰ δίνεις σὲ ὅποιον ζητᾶ»[53]· καὶ σοῦ τὸν ἔστειλα στὸ ὄνομα τῆς ἀγάπης ἐν Χριστῷ.

Ὅταν λοιπὸν τὸν πάρεις προσευχήσου γιὰ μένα· καὶ προσευχήσου νὰ μὴ εἶναι μάταιος ὁ κόπος μας[54], ἀλλὰ νὰ εἶναι κατὰ τὸ θέλημα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

52. Β΄ Κορ.6,16.
53. Λουκᾶ 6,30.
54. Α΄ Θεσ. 3,5.

ΡΞΗ'

Γέρων τις ἀσθενής, Ἀνδρέας ὀνόματι, ἡσυχάζων ἐν τῷ κοινοβίῳ, ἀνήγγειλε τῷ αὐτῷ μεγάλῳ Γέροντί τινα τῶν αὐτοῦ κρυφίων, ἅμα καὶ εὐχαριστῶν αὐτῷ, ὅτι ἠξιώθη πλησίον αὐτοῦ οἰκῆσαι· καὶ περὶ ἀσθενείας σωματικῆς.

Ἀπόκρισις

Εἰ ἀληθῶς πιστεύεις, ὅτι ἀκριβῶς ἤνεγκέ σε ὁ Θεὸς ὧδε, πίστευσον αὐτῷ τὴν φροντίδα σου, ρίπτων ἐπ' αὐτὸν πᾶσάν σου τὴν μέριμναν· καὶ αὐτὸς οἰκονομεῖ τὰ κατὰ σὲ ὡς θέλει· Εἰ δὲ διστάζεις περὶ οἱουδήποτε πράγματος, ἢ περὶ σωματικῆς ἀσθενείας, ἢ περὶ ψυχικῶν παθῶν, ὀφείλεις φροντίσαι καὶ περὶ πάντων ὡς οἶδας· ἡ γὰρ διψυχία, ὅταν ὅλα τις ἀφῇ τῷ Θεῷ, ἐὰν θλιβῇ μικρόν, ἀεὶ λέγει, 'εἰ τάχα ἐποίησα φροντίδα τοῦ σώματος, οὐκ εἶχον θλιβῆναι οὕτως'.

Ἕως θανάτου οὖν ὁ δοὺς ἑαυτὸν τῷ Θεῷ ἐξ ὅλης καρδίας ὀφείλει παραδοῦναι ἑαυτὸν αὐτῷ· περισσότερον γὰρ ἡμῶν οἶδε τὸ συμφέρον ἡμῖν ψυχῇ τε καὶ σώματι, καὶ ὅσον ἀφῇ σε θλιβῆναι ἐν τῷ σώματι, τοσοῦτον κουφισμὸν ποιεῖ τῶν ἡμαρτημένων σοι. Οὐδὲν οὖν ἀπαιτεῖ σε ὁ Θεός, εἰ μὴ εὐχαριστίαν καὶ ὑπομονὴν καὶ δέησιν περὶ συγχωρήσεως ἁμαρτημάτων.

Βλέπε δὲ οἷός εἰμι ὑπερήφανος, ὅτι χλευαζόμενος ὑπὸ τῶν δαιμόνων καὶ νομίζων ἔχειν ἀγάπην κατὰ Θεόν, ἡττῶμαι εἰπεῖν σοι· 'βαστάζω τὸ ἥμισυ τοῦ φορτίου σου νῦν'· καὶ ἐπὶ τὸ ἔμπροσθεν, ὁ Θεὸς ἔχει πάλιν βοηθῆσαι. Ὡς παραφρονῶν ἐλάλησα. Οἶδα γὰρ ἐμαυτὸν ἀσθενῆ καὶ ἀδύνατον καὶ γυμνὸν ἀπὸ παντὸς ἔργου ἀγαθοῦ, ἀλλ' ὅμως ἡ ἀναισχυντία μου οὐκ ἀφίησί με ἀπελπίσαι· ἔχω γὰρ Δεσπότην εὔσπλαγχνον, ἐλεήμονα καὶ φιλάνθρωπον, καὶ ἐκτείνοντα χεῖρα ἁμαρτωλῷ, ἕως ὑστέρας ἀνα-

168

Κάποιος γέροντας, ὀνομαζόμενος Ἀνδρέας, ποὺ ἡσύχαζε στὸ κοινόβιο, γνωστοποίησε στὸν ἴδιο μεγάλο Γέροντα μερικὰ ἀπὸ τὰ μυστικά του, εὐχαριστώντας τον συγχρόνως, διότι ἀξιώθηκε νὰ μείνει κοντά του· ἐπίσης καὶ περὶ σωματικῆς ἀσθένειας.

Ἀπόκριση

Ἐὰν ἀληθινὰ πιστεύεις, ὅτι ὁ Θεὸς σὲ ἔφερε ἐδῶ ὀρθῶς, ἐμπιστεύσω σ' αὐτὸν τὴ φροντίδα σου, ρίχνοντας σ' αὐτὸν ὅλη σου τὴ μέριμνα· καὶ αὐτὸς θὰ οἰκονομήσει τὰ σχετικὰ μὲ σένα ὅπως αὐτὸς θέλει. Καὶ ἐὰν διστάζεις γιὰ ὁποιοδήποτε πρᾶγμα, ἢ γιὰ σωματικὴ ἀρρώστια ἢ γιὰ ψυχικὰ πάθη, ὀφείλεις νὰ φροντίσεις γιὰ ὅλα ὅπως ξέρεις· διότι ἡ διψυχία, ὅταν κανεὶς τὰ ἐμπιστευθεῖ ὅλα στὸ Θεό, ἐὰν στενοχωρηθεῖ λίγο, πάντοτε λέγει, 'ἐὰν φρόντιζα τὸ σῶμα, δὲ θὰ θλιβόμουν τόσο'.

Αὐτὸς λοιπὸν ποὺ παραδίδει τὸν ἑαυτό του στὸ Θεὸ μὲ ὅλη του τὴν καρδιά, ὀφείλει νὰ παραδίδει τὸν ἑαυτό του σ' αὐτὸν μέχρι τὸ θάνατο· διότι ὁ Θεὸς γνωρίζει περισσότερο ἀπὸ μᾶς τὸ συμφέρον τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ ὅσο σὲ ἀφήνει νὰ θλιβεῖς στὸ σῶμα, τόση ἀνακούφιση παρέχει στὶς ἁμαρτίες σου. Ὁ Θεὸς λοιπὸν δὲν ἀπαιτεῖ τίποτε ἀπὸ σένα παρὰ εὐχαριστία καὶ ὑπομονὴ καὶ δέηση γιὰ συγχώρηση τῶν ἁμαρτιῶν.

Πρόσεχε πόσο ὑπερήφανος εἶμαι, διότι, ἐνῶ χλευάζομαι ἀπὸ τοὺς δαίμονες, νομίζω ὅτι ἔχω ἀγάπη σύμφωνα μὲ τὸ Θεὸ καὶ τολμῶ νὰ σοῦ πῶ· 'τώρα βαστάζω τὸ μισὸ φορτίο σου', καὶ γιὰ τὸ μέλλον, ὁ Θεὸς μπορεῖ νὰ σὲ βοηθήσει πάλι. Μίλησα σὰν παράφρονας· διότι γνωρίζω τὸν ἑαυτό μου, ὅτι εἶμαι ἀσθενὴς καὶ ἀδύνατος καὶ γυμνὸς ἀπὸ κάθε ἔργο, ἀλλ' ὅμως ἡ ἀδιαντροπιά μου δὲ μὲ ἀφήνει νὰ σὲ ἀπελπίσω· διότι ἔχω εὔσπλαγχνο, ἐλεήμονα καὶ φιλάνθρωπο Δεσπότη, ποὺ βοηθεῖ τὸν ἁμαρτωλὸ μέχρι τελευταίας ἀναπνοῆς. Προσκολλήσου σ' αὐτὸν καὶ

πνοῆς. Αὐτῷ κολλήθητι, καὶ αὐτὸς περὶ παντὸς πράγματος ποιεῖ ὑπὲρ ὃ αἰτοῦμεν ἢ νοοῦμεν.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Συγχώρησον, ἀδελφέ, καὶ εὖξαι ὑπὲρ ἐμοῦ.

ΡΞΘ'

Ταῦτα ἀκούσας παρ' αὐτοῦ ὅτι 'τὸ ἥμισυ βαστάζω τοῦ φορτίου σου', λυπηθεὶς ὅτι μὴ τελείως ἐπηγγείλατο αὐτῷ τὴν ἄφεσιν, ἐκ δευτέρου παρεκάλεσεν ἱκετεύων αὐτὸν καὶ δυσωπῶν, ὥστε τελείαν αὐτῷ ταύτην παρασχεῖν διὰ τοῦ Χριστοῦ.

Ἀπόκρισις

Θαυμάζω σου τὴν ἀγάπην, ἀδελφέ, πῶς οὐ κατανοεῖς τὰ πράγματα τῆς κατὰ Θεὸν ἀγάπης. Ἐν πρώτῃ μὲν τάξει ὁ Θεὸς οἶδεν, ὅτι ἐμαυτὸν ἔχω γῆν καὶ σποδόν, καὶ μηδὲν ὄντα ὅλως· ἀλλ' εἴ τι ὑπὲρ τὰ μέτρα μου λαλῶ τινι ἢ ὑπὲρ τὴν ἐμὴν δύναμιν, κινούμενος ὑπὸ τῆς τοῦ Χριστοῦ ἀγάπης λαλῶ· γινώσκων, ὡς εἶπον, ἐμαυτὸν μηδὲν ὄντα, καὶ ἀχρεῖον δοῦλον.

Ἐπειδὴ οὖν οὐκ ἐνόησας τί εἶπόν σοι, συγκοινωνὸν ἐποίησά σε· εἶπόν σοι γὰρ ὅτι 'βαστάζω τὸ ἥμισυ τῶν σῶν ἁμαρτιῶν' καὶ οὐκ εἶπόν σοι τὸ τρίτον βαστάζω καὶ ἀφῆκά σε περισσότερόν μου βαστάζοντα καὶ βαρούμενον. Καὶ πάλιν ἐξορίζων τὴν φιλαυτίαν εἶπον, ὃ εἶπον· καὶ οὐκ εἶπόν σοι τὸ δίμοιρον, δεικνύων ἐμαυτὸν δυνατώτερόν σου· κενοδοξία γὰρ ἦν ὁ τρόπος.

Καὶ οὐκ εἶπόν σοι τὸ ὅλον βαστάζω· τῶν γὰρ τελείων ἐστὶ τοῦτο, τῶν γενομένων ἀδελφῶν τοῦ Χριστοῦ, τοῦ θήσαντος ὑπὲρ ἡμῶν τὴν ἑαυτοῦ ψυχὴν καὶ ἀγαπήσαντος τοὺς ἀγαπήσαν-

αὐτὸς πραγματοποιεῖ παραπάνω ἀπὸ ὅ,τι ζητοῦμε ἢ καταλαβαίνουμε τὸ κάθε πρᾶγμα ποὺ ζητοῦμε[55].

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Συγχώρεσέ με ἀδελφὲ καὶ προσευχήσου γιὰ μένα.

169

῞Οταν ἄκουσε ἀπὸ αὐτὸν τοῦτον τὸν λόγο, ὅτι 'βαστάζω τὸ μισὸ ἀπὸ τὸ φορτίο σου', λυπήθηκε, διότι δὲν τοῦ ὑποσχέθηκε ἐντελῶς τὴν ἄφεση· γιὰ δεύτερη λοιπὸν φορὰ τὸν παρακάλεσε ἱκετεύοντάς τον καὶ ἐκλιπαρώντας τον νὰ τοῦ τὴ δώσει τέλεια μὲ τὴ βοήθεια τοῦ Χριστοῦ.

᾿Απόκριση

Θαυμάζω τὴν ἀγάπη σου, ἀδελφέ, πῶς δὲν κατανοεῖς τὰ πράγματα τῆς σύμφωνα μὲ τὸ Θεὸ ἀγάπης. Πρῶτα πρῶτα ὁ Θεὸς γνωρίζει, ὅτι θεωρῶ τὸν ἑαυτό μου χῶμα καὶ στάχτη καὶ ὅτι δὲν εἶμαι ἀπολύτως τίποτε· ἀλλὰ ἐὰν λέγω σὲ κάποιον κάτι πάνω ἀπὸ τὴ δύναμή μου, τὸ λέγω ἐπειδὴ κινοῦμαι ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ, γνωρίζοντας, ὅπως εἶπα, ὅτι δὲν εἶμαι τίποτε καὶ ὅτι εἶμαι ἀχρεῖος δοῦλος.

Ἐπειδὴ λοιπὸν δὲν κατάλαβες τί σοῦ εἶπα, σοῦ εἶπα ὅτι σὲ ἔκανα συγκοινωνό· διότι σοῦ εἶπα ὅτι βαστάζω τὸ μισὸ τῶν ἁμαρτιῶν σου· καὶ δὲν σοῦ εἶπα ὅτι βαστάζω τὸ ἕνα τρίτο καὶ σὲ ἄφησα νὰ βαστάζεις καὶ νὰ βαρύνεσαι ἐσὺ περισσότερο ἀπὸ μένα. Καὶ πάλι διώχνοντας τὴ φιλαυτία, εἶπα, αὐτὸ ποὺ εἶπα, καὶ δὲν σοῦ εἶπα, ἐσένα τὸ δίμοιρο, δείχνοντας τὸν ἑαυτό μου δυνατώτερο ἀπὸ σένα, διότι αὐτὸς ὁ τρόπος θὰ ἦταν γεμᾶτος κενοδοξία.

Δὲν σοῦ εἶπα πάλι ὅτι βαστάζω τὸ ὅλο, διότι αὐτὸ τὸ ἔργο ἀνήκει στοὺς τέλειους, ποὺ ἔγιναν ἀδελφοὶ τοῦ Χριστοῦ, ὁ ὁποῖος ἔδωσε γιὰ μᾶς τὴν ψυχή του καὶ ἀγάπησε ἐμᾶς ποὺ ἀγα-

---

55. Ἐφ. 3,20.

τας ἡμᾶς ἐν τελείᾳ ἀγάπῃ ποιεῖν τοῦτο. Καὶ πάλιν ἀλλότριόν σε ἐποίουν τῆς πνευματικῆς ἐργασίας, εἰ μὴ οὕτως εἶπον. Οὐ κενοδοξῶ οὖν ἐπιγράφων ἐμαυτῷ τὸ πᾶν· οὐδὲ φθονῶ σοι συγκοινωνόν σε ποιήσας τῆς καλῆς ἐπιστροφῆς. Εἰ ἀδελφοί ἐσμεν, τὴν τοῦ Πατρὸς ἡμῶν οὐσίαν ἐξίσου μερίσωμεν καὶ οὐχ εὑρίσκεται ἐν τῷ μέσῳ ἀδικία· εἰ δὲ θέλεις τὸ πᾶν ἐπ' ἐμὲ ῥίψαι, διὰ τὴν ὑπακοήν, καὶ τοῦτο καταδέχομαι.

Συγχώρησον ὅτι ἡ πολλὴ ἀγάπη εἰς φλυαρίαν με φέρει· ὅμως ἔστω εἰς εὐφροσύνην, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ὧι ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΟ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Αἴτησις περὶ τοῦ εὔξασθαι ὑπὲρ αὐτοῦ καὶ διὰ τὴν ἐπικειμένην αὐτῷ ἀσθένειαν.

***Ἀπόκρισις** τοῦ μεγάλου Γέροντος.*

Η Γραφὴ λέγει, «διήλθομεν διὰ πυρὸς καὶ ὕδατος καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν». Δεῖ τοὺς θέλοντας ἀρέσαι Θεῷ διελθεῖν δι' ὀλίγων θλίψεων. Πῶς τοὺς ἁγίους Μάρτυρας μακαρίσωμεν διὰ τὰ παθήματα, ἃ διὰ Θεὸν ὑπέμειναν, εἰ πυρετὸν οὐ δυνάμεθα βαστᾶσαι; Εἰπὲ τῇ ψυχῇ τῇ θλιβομένῃ· 'οὐ συμφέρει σοι πυρετὸς περισσότερον τῆς γεέννης;' Μὴ ὀλιγωρήσωμεν ἐν τῇ ἀσθενείᾳ, ὅτι ὁ Ἀπόστολος εἶπεν, «ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι». Βλέπετε ὅτι καρδίας καὶ νεφροὺς ἐτάζει ὁ Θεός.

Ὑπομείνωμεν, βαστάσωμεν, μαθηταὶ γενώμεθα τοῦ Ἀπο-

---

56. Ψαλμ. 65,12.

πήσαμε μὲ τέλεια ἀγάπη. Καὶ πάλι θὰ σὲ ἔκανα ξένο ἀπὸ τὴν πνευματικὴ ἐργασία, ἐὰν δὲν σοῦ ἔλεγα αὐτό. Δὲν κενοδοξῶ λοιπόν, ἀποδίδοντας στὸν ἑαυτό μου τὸ πᾶν· οὔτε σὲ φθονῶ, ἀφοῦ σὲ ἔκανα συγκοινωνὸ τῆς καλῆς ἐπιστροφῆς. Ἐὰν εἴμαστε ἀδελφοί, θὰ μοιράσουμε ἐξίσου τὴν περιουσία τοῦ Πατρός μας καὶ δὲ θὰ ὑπάρξει ἀνάμεσά μας ἀδικία. Ἐὰν ὅμως θέλεις νὰ ρίξεις ἐπάνω μου τὸ σύνολο, λόγω ὑπακοῆς τὸ δέχομαι καὶ αὐτό.

Συγχώρεσέ με, διότι ἡ πολλὴ ἀγάπη μὲ ὁδηγεῖ σὲ φλυαρία· ὅμως ἂς ἀποβεῖ πρὸς εὐφροσύνη μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

170

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Παράκληση νὰ προσεύχεται γι' αὐτὸν καὶ γιὰ τὴν ἐπικείμενη ἀρρώστια του.

Ἀπόκριση τοῦ μεγάλου Γέροντα.

Η Γραφὴ λέγει «περάσαμε μέσα ἀπὸ φωτιὰ καὶ νερὸ καὶ μᾶς ἔβγαλες σὲ ἀναψυχή»[56]. Αὐτοὶ ποὺ θέλουν νὰ ἀρέσουν στὸ Θεὸ πρέπει νὰ περάσουν μέσα ἀπὸ λίγες θλίψεις. Πῶς θὰ μακαρίσουμε τοὺς ἅγιους Μάρτυρες γιὰ τὰ παθήματα τὰ ὁποῖα ὑπέμειναν γιὰ τὸ Θεό, ἐὰν δὲ μποροῦμε νὰ ὑποφέρουμε ἕναν πυρετό; Πὲς στὴ θλιμμένη ψυχή· 'δὲν σὲ συμφέρει ὁ πυρετὸς περισσότερο ἀπὸ τὴν κόλαση;' Νὰ μὴ ὀλιγωρήσουμε κατὰ τὴν ἀσθένεια, διότι ὁ Ἀπόστολος εἶπε, «ὅταν εἶμαι ἀσθενής, τότε εἶμαι δυνατός»[57]. Βλέπετε ὅτι ὁ Θεὸς ἐξετάζει καρδιὲς καὶ νεφρά[58];

Ἂς ὑπομείνουμε, ἂς βαστάξουμε, ἂς γίνουμε μαθητὲς τοῦ

57. Β' Κορ. 12,10.
58. Ψαλμ. 7,9.

στόλου λέγοντος· «τῇ θλίψει ὑπομένοντες, εὐχαριστοῦντες τῷ Θεῷ ἐν πᾶσιν», ἵνα καὶ εἰς ἡμᾶς πληρωθῇ τὸ «ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ». Καὶ εἰ εἶχες σαρκικὴν θεραπείαν καὶ πρὸς δοκιμὴν εὗρες μικρὰν θλῖψιν, τί οὐ μνημονεύεις τοῦ Ἰώβ, λέγοντος, «εἰ τὰ ἀγαθὰ ἐκ χειρὸς Κυρίου ἐδεξάμεθα, τὰ κακὰ οὐχ ὑποίσομεν;». Βλέπε ὅτι οἱ κατὰ πάντα θέλοντες τὴν ἀνάπαυσιν, ἀκοῦσαι ἔχουσιν ὅτι, «ἀπελάβετε τὰ ἀγαθὰ ὑμῶν ἐν τῇ ζωῇ ὑμῶν».

Μὴ χαυνωθῶμεν· ἐλεήμονα Θεὸν ἔχομεν, περισσότερον ἡμῶν γινώσκοντα τὴν ἀσθένειαν ἡμῶν καὶ εἰ πειράζων ἡμᾶς φέρει ἐφ' ἡμᾶς τὴν ἀσθένειαν, ἀλλ' ἔχομεν τὸν Ἀπόστολον παρέχοντα ἡμῖν τὸ μάλαγμα, λέγοντα· «πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι παρ' ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, πρὸς τὸ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν». Ὁ Κύριος ἐνδυναμώσοι καὶ τὸν ἀσθενοῦντα καὶ τοὺς ὑπηρετοῦντας, καὶ ἔσονται αἱ τῶν δύο ὑμῶν ἐργασίαι εἰς δόξαν Θεοῦ. Εἰς τέλος προσέχετε τῆς ὑπομονῆς. Μὴ ὀλιγωρήσητε, μὴ ἐκκακήσητε· ἐγγὺς γάρ ἐστιν ὁ Θεὸς λέγων· «οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω».

Πιστεύσατέ μοι, ἀδελφοί, ὡς κατεκυρίευσέ μου ἡ κενοδοξία· οὐδέποτε ἀσθενήσας ἐτίθουν ἐμαυτόν, οὐδὲ ἤφιον τὸ ἐργόχειρόν μου καὶ μεγάλαι ἦλθόν μοι ἀσθένειαι. Καὶ ἄρτι ἐτεχνάσατο ἡ κενοδοξία. Ὁπότε εἰσῆλθον εἰς τὸ κελλίον αὐτῆς, οὐκ ἀφῆκεν ἀσθένειάν μοι ἐλθεῖν καὶ λυποῦμαι θέλων τὴν ὑπομονὴν καὶ τί ὑπομένω οὐκ οἶδα. Οὐκ ἔρχεταί μοι θλῖψις καὶ τήκομαι ἀκούων, «ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται».

Ἀλλ' εὔχεσθε, ἵνα μείνω κρατῶν τὴν ἐλπίδα τῆς σωτηρίας

---

59. Ρωμ. 12,12.
60. Ψαλμ. 48,19.
61. Ἰὼβ 2,10.

Ἀποστόλου ποὺ λέγει, «ὑπομένοντας τὴ θλίψη, εὐχαριστώντας τὸ Θεὸ σὲ ὅλα[59]», γιὰ νὰ πραγματοποιηθεῖ καὶ σὲ μᾶς τὸ «θὰ ἐξομολογηθεῖ σὲ σένα, ὅταν τὸν ἀγαθύνεις»[60]. Ἐὰν εἶχες σαρκικὴ θεραπεία, καὶ γιὰ δοκιμασία ἀντιμετώπισες μικρὴ θλίψη, γιατί δὲ θυμᾶσαι τὸν Ἰὼβ ποὺ λέγει, «ἐὰν δεχθήκαμε τὰ καλὰ ἀπὸ τὸ χέρι τοῦ Κυρίου, δὲ θὰ ὑποφέρουμε τὰ κακά;»[61]. Βλέπε ὅτι ἐκεῖνοι ποὺ θέλουν τὴν ἀνάπαυση σὲ ὅλα, αὐτοὶ θὰ συμβεῖ ν' ἀκούσουν τὸ «ἀπολαύσατε τὰ ἀγαθά σας στὴ ζωή σας»[62].

Ἂς μὴ χαυνωθοῦμε· ἔχουμε ἐλεήμονα Θεό, ὁ ὁποῖος γνωρίζει τὴν ἀδυναμία μας καὶ ἐὰν πειράζοντάς μας δώσει σὲ μᾶς τὴν ἀσθένεια, ὅμως ἔχουμε τὸν Ἀπόστολο ποὺ μᾶς παρέχει τὸ φάρμακο, λέγοντας· «εἶναι ἀξιόπιστος ὁ Θεός, ὁ ὁποῖος δὲ θὰ σᾶς ἀφήσει νὰ πειραχθεῖτε παραπάνω ἀπ' ὅσο μπορεῖτε, ἀλλὰ θὰ δώσει μαζὶ μὲ τὸν πειρασμὸ καὶ τὸ τέλος, γιὰ νὰ μπορέσετε νὰ τὸν ὑποφέρετε»[63]. Ὁ Κύριος εἴθε νὰ δυναμώσει καὶ τὸν ἀσθενῆ καὶ ἐκείνους ποὺ τὸν ὑπηρετοῦν, καὶ οἱ ἐργασίες καὶ τῶν δύο θὰ εἶναι πρὸς δόξα τοῦ Θεοῦ. Προσέχετε τὴν ὑπομονὴ ὣς τὸ τέλος. Μὴ ὀλιγωρήσετε, μὴ δειλιάσετε· διότι εἶναι κοντὰ ὁ Θεὸς ποὺ λέγει, «δὲν σὲ στενοχωρῶ, οὔτε σὲ ἐγκαταλείπω»[64].

Πιστέψτε με, ἀδελφοί, ὅτι μὲ κατακυρίευσε ἡ κενοδοξία Ποτὲ ἀσθενώντας δὲν παρέδωσα τὸν ἑαυτό μου, οὔτε ἄφηνα το ἐργόχειρό μου, ἂν καὶ μοῦ ἦλθαν μεγάλες ἀσθένειες. Τώρα ὅμως ἦλθε ἡ κενοδοξία. Ἀπὸ τότε ποὺ ἦρθα στὸ κελλί της, δὲν ἄφησε νὰ μοῦ ἔλθει ἀρρώστια καὶ λυπᾶμαι ποὺ θέλω τὴν ὑπομονή, καὶ δὲν ξέρω τί ὑπομένω. Δὲ μοῦ ἔρχεται θλίψη καὶ καίγομαι ἀκούγοντας, «ἐκεῖνος ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[65].

Ἀλλὰ νὰ προσεύχεσθε νὰ μείνω κρατώντας τὴν ἐλπίδα τῆς

---

62. Λουκᾶ 16,25.
63. Α' Κορ. 10,13.
64. Ἑβρ. 13,5.
65. Ματθ. 10,22.

μου, τῇ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΟΑ'

Ὁ αὐτὸς Γέρων ἔτι ἀρρωστῶν, παρεκάλεσε τὸν αὐτὸν μέγαν Γέροντα ὑπερεύξασθαι αὐτοῦ, ἵνα τύχῃ τῆς παρὰ Θεοῦ βοηθείας.

Ἀπόκρισις

Ἔχων τὸν Θεὸν μὴ φοβηθῇς, ἀλλ' ὅλην τὴν μέριμνάν σου ἐπίρριψον ἐπ' αὐτόν, καὶ αὐτός σου φροντίσει. «Οὐκ οἶδας ὅτι, ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν οἰκία ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς»; Ἀδιστάκτως πίστευσον καὶ βοηθεῖ σοι ὁ Θεός· ἐλεήμων γὰρ ὑπάρχει.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΟΒ'

Ὁ αὐτὸς γέρων συνοικῶν τινι ἀδελφῷ, ἀσθενησάντων ἀμφοτέρων, ᾔτησε τὸν ἄλλον γέροντα ὑπὲρ αὐτῶν εὔξασθαι.

***Ἀπόκρισις** Ἰωάννου*

Ὁ Κύριος εἶπεν, «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν»· καὶ ὁ Ἀπόστολος ἐξακολουθῶν αὐτῷ εἶπεν, «ὑπομονῆς γὰρ ἔχετε χρείαν»· καὶ ὁ προφήτης «ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι»· ὁ γλυκὺς Δεσπότης ἡμῶν Θεὸς εἶπεν· «ὁ ὑπομείνας εἰς τέλος, οὗτος

---

66. Α' Πέτρ. 5,7.
67. Β' Κορ. 5,1.

σωτηρίας μου πού παρέχεται ἀπὸ τὸν Κύριό μας τὸν Ἰησοῦ Χριστό, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

171

Ὁ ἴδιος γέροντας, ὅταν ἀρρώστησε περισσότερο, παρακάλεσε τὸν ἴδιο μεγάλο Γέροντα νὰ προσευχηθεῖ γι' αὐτὸν γιὰ νὰ πετύχει τὴν βοήθεια ἀπὸ τὸ Θεό.

Ἀπόκριση

Ἔχοντας τὸ Θεό, μὴ φοβηθεῖς, ἀλλὰ ἀνάθεσε σ' αὐτὸν ὅλη τὴ μέριμνά σου[66], καὶ αὐτὸς θὰ σὲ φροντίσει. «Δὲ γνωρίζεις ὅτι ἐὰν ἡ ἐπίγεια κατοικία τῆς σκηνῆς μας καταστραφεῖ, ἔχουμε ἀχειροποίητη αἰώνια κατοικία στοὺς οὐρανούς»[67]; Πίστεψε ἀδίστακτα, καὶ θὰ σὲ βοηθήσει ὁ Θεός, διότι εἶναι ἐλεήμονας.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

172

Ὁ ἴδιος γέροντας πού συγκατοικοῦσε μὲ κάποιον ἀδελφό, ὅταν ἀρρώστησαν καὶ οἱ δύο, ζήτησε νὰ προσευχηθεῖ ὁ ἄλλος γέροντας γι' αὐτούς.

Ἀπόκριση Ἰωάννη

Ὁ Κύριος εἶπε, «μὲ τὴν ὑπομονή σας κερδίστε τὶς ψυχές σας»[68]· καὶ ὁ Ἀπόστολος ἀκολουθώντας αὐτὸν εἶπε, «πράγματι ἔχετε ἀνάγκη ὑπομονῆς»[69]· καὶ ὁ προφήτης δήλωσε, «μὲ ὑπομονὴ ὑπέμεινα τὸν Κύριο καὶ μὲ πρόσεξε»[70]· ὁ γλυκὺς Δεσπότης μας Θεὸς εἶπε· «αὐτὸς πού θὰ ὑπομείνει μέχρι

68. Λουκᾶ 21,19.
69. Ἑβρ. 10,36.
70. Ψαλμ. 39,1.

σωθήσεται». Ἀμφότεροι μείνατε ἐν τῇ ὑπομονῇ, εὐχαριστοῦντες καὶ βλέποντες τὴν ἁγίαν τοῦ Θεοῦ δύναμιν ἐξ ὕψους γινομένην ὑμῖν. Πρὸς δοκιμασίαν γὰρ ὑμῶν εἰσι ταῦτα πάντα, γρηγορεῖτε ἐν τοῖς παρ' ὑμῶν λεγομένοις. «Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με».

Εὔξασθε ὑπὲρ ἐμοῦ, παρακαλῶ, διὰ τὴν κατὰ Θεὸν ἀγάπην.

ΡΟΓ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.*

Ἐπειδὴ ὁ λογισμὸς λέγει μοι, ὅτι 'οὐ δύναμαι σωθῆναι', εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ ἐλεῆμον, καὶ εἰπέ μοι τί ποιήσω, ἐμποδιζόμενος νηστεῦσαι.

Ἀπόκρισις

Ο Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς δῴη σοι κἀμοὶ τῷ ἀναξίῳ εὑρεῖν ἔλεος ἐν τῇ ὥρᾳ ἐκείνῃ, καὶ σταθῆναι μετὰ παρρησίας ἐπὶ τοῦ φοβεροῦ καὶ ἐνδόξου βήματος αὐτοῦ. Ἀγαπητὲ ἀδελφέ, ἔχων τοιοῦτον Θεὸν ἐλεήμονα, μὴ βάλῃς σεαυτὸν εἰς ἀπόγνωσιν· αὕτη γάρ ἐστιν ἡ μεγάλη χαρὰ τοῦ διαβόλου.

Ἔσο οὖν πεποιθὼς ἐπὶ Κύριον· ὅτι οὐδεὶς ὑπομένων ἕως τέλους αὐτοῦ ἐν τῷ τόπῳ τούτῳ, ἐκβάλλεται τῆς μάνδρας τῶν προβάτων Χριστοῦ, τοῦ Θεοῦ ἡμῶν. Εἰσὶ γάρ τινες ἐν αὐτῷ ἔχοντες πολλὴν παρρησίαν πρὸς τὸν Θεόν· καὶ τοῦτο σπουδάζουσι δεόμενοι αὐτοῦ, ἵνα μὴ ἀποχωρισθῶμεν ἀπ' αὐτῶν οἱ συμμένοντες αὐτοῖς ἐν τῷ εὐλογημένῳ τόπῳ τούτῳ, ἀλλ' ἵνα, καθὼς ὁμοῦ μένουσιν εἰς τὸν τόπον, ὃν ἐξελέξατο ἑαυτῷ ὁ Θεὸς ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐν αὐτῷ, οὕτως ἔσονται ὁμοῦ καὶ ἐν τῷ μέλλοντι.

Μὴ οὖν φοβηθῇς, τιμιώτατε· εἰ γὰρ ἀσθενής εἰμι καὶ ἐλάχι-

71. Ματθ. 10,22.
72. Ψαλμ. 25,2.

τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[71]. Καὶ οἱ δύο νὰ μείνετε στὴν ὑπομονή, εὐχαριστώντας καὶ βλέποντας τὴν ἁγία δύναμη τοῦ Θεοῦ νὰ σᾶς ἔρχεται ἀπὸ ψηλά. Διότι ὅλα αὐτὰ εἶναι γιὰ δοκιμασία σας. Ἀγρυπνεῖτε σ' αὐτὰ ποὺ λέγονται ἀπὸ σᾶς· «δοκίμασέ με, Κύριε, καὶ πείραξέ με»[72].

Παρακαλῶ προσευχηθεῖτε γιὰ μένα μὲ τὴν κατὰ Θεὸν ἀγάπη.

173

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν μεγάλο Γέροντα.

Ἐπειδὴ ὁ λογισμὸς μοῦ λέγει, ὅτι δὲ μπορῶ νὰ σωθῶ, εὔσπλαγχνε Πάτερ, προσευχήσου γιὰ μένα καὶ πές μου τί νὰ κάνω, ποὺ ἐμποδίζομαι νὰ νηστέψω.

Ἀπόκριση

Ο Θεὸς τῶν οὐρανῶν καὶ τῆς γῆς νὰ ἐπιτρέψει σὲ σένα καὶ σὲ μένα τὸν ἀνάξιο νὰ βροῦμε ἔλεος τὴν ὥρα ἐκείνη καὶ νὰ σταθοῦμε μὲ παρρησία πάνω στὸ φοβερὸ καὶ ἔνδοξο βῆμα του. Ἀγαπητὲ ἀδέλφέ, ἀφοῦ ἔχεις τέτοιον ἐλεήμονα Θεό, νὰ μὴ ἀφήσεις τὸν ἑαυτό σου νὰ φθάσει σὲ ἀπόγνωση· διότι αὐτὴ εἶναι ἡ μεγάλη χαρὰ τοῦ διαβόλου.

Πίστευε λοιπὸν στὸν Κύριο· διότι κανείς, ἐφ' ὅσον ὑπομένει μέχρι τὸ τέλος σ' αὐτὸ τὸν τόπο, δὲ διώχνεται ἀπὸ τὴ μάνδρα τῶν προβάτων τοῦ Χριστοῦ, τοῦ Θεοῦ μας. Διότι ὑπάρχουν μερικοὶ σ' αὐτὸν τὸν τόπο ποὺ ἔχουν μεγάλη παρρησία πρὸς τὸ Θεό, καὶ τὸν παρακαλοῦν μὲ ὅλη τὴν ἐπιθυμία τους αὐτὸ ἀκριβῶς, νὰ μὴ χωρισθοῦμε ἀπὸ αὐτοὺς ἐμεῖς ποὺ μένουμε μαζί τους σ' αὐτὸ τὸν εὐλογημένο τόπο, ἀλλά, ὅπως μένουν μαζὶ στὸν τόπο ποὺ διάλεξε μόνος του ὁ Θεὸς γιὰ νὰ λατρεύεται τὸ ὄνομα αὐτοῦ σ' αὐτόν[73], ἔτσι νὰ εἶναι μαζὶ καὶ στὸ μέλλον.

Μὴ φοβηθεῖς λοιπόν, τιμιώτατε· διότι, ἂν καὶ εἶμαι ἀσθε-

73. Δευτ. 12,11.

στος, καὶ οὕτως ἐπληροφορήθην, ὅτι συνηριθμήθης καὶ συνεγράφης τῇ εὐλογημένῃ ποίμνῃ τοῦ Χριστοῦ, πόσῳ μᾶλλον οἱ ἅγιοι τοῦ Θεοῦ Πατέρες καὶ ἄξιοι αὐτοῦ, ἐπληροφορήθησαν περὶ τούτου. Ὑπόμεινον οὖν τὸν Κύριον καὶ ἔλπισον ἐπ᾽ αὐτόν.

Καὶ περὶ τῆς νηστείας τῆς αἰσθητῆς μὴ λυπηθῇς· οὐδὲν γάρ ἐστιν ἄνευ τῆς πνευματικῆς· «οὐ γὰρ τὰ εἰσπορευόμενα ἐκτὸς ἡδονῆς εἰς τὸν ἄνθρωπον κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα ἐξ αὐτοῦ». Καὶ πάλιν τὴν διάκρισιν ὁ Θεὸς ἔδωκε κυβερνήτην τῷ μοναχῷ.

Διάκρινον οὖν, ἀγαπητέ, παρὰ τίνος ἀπαιτεῖ ὁ Θεὸς ἐλεημοσύνην, παρὰ τοῦ πένητος ἢ παρὰ τοῦ πλουσίου; Οὕτω γὰρ λέγει, «μὴ παύσῃ εὖ ποιῶν ἐνδεῆ, καθὼς ἂν εὑρίσκῃ ἡ χείρ σου». Παρὰ τῶν οὖν ἀσθενούντων τῷ σώματι οὐκ ἀπαιτεῖ ὁ Θεὸς ἄσκησιν, ἀλλὰ παρὰ τῶν δυναμένων καὶ ὑγιαινόντων τῷ σώματι. Συγκτάβηθι οὖν τῷ σώματι μικρὸν καὶ οὐκ ἔστιν ἁμαρτία· οὐ γὰρ ἀπαιτεῖ τοῦτο παρὰ σοῦ ὁ Θεός, οἶδε γὰρ ἣν ἔπεμψέ σοι ἀσθένειαν. Ἐν παντὶ οὖν εὐχαρίστησον αὐτῷ, ὅτι ἡ εὐχαριστία πρεσβεύει ὑπὲρ τῆς ἀδυναμίας τοῦ ἀνθρώπου πρὸς τὸν Θεόν.

Ἔκδυσαι οὖν τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον σὺν ταῖς ἐπιθυμίαις τῆς ἀπάτης, καὶ ἔνδυσαι τὸν νέον, τὸν κατὰ Θεὸν κτισθέντα· καὶ χαίροις ἐν Κυρίῳ ἀγαλλιώμενος, μετὰ τῶν ἁγίων αὐτοῦ εὐφραινόμενος διὰ παντός. Τίς εἰκάσει; τίς δύναται ἐξιχνιάσαι τὴν χαρὰν τῶν ἁγίων τὴν ἀνεκλάλητον; τὴν ἀνέκφραστον εὐφροσύνην; τὸ φῶς τὸ ἀνείκαστον; Πῶς, ὡς εἰσιν ἐνταῦθα, ἀποκαλύπτει αὐτοῖς τὰ μυστήρια αὐτοῦ τὰ θαυμαστά, τὰ ἔνδοξα, τὴν μένουσαν αὐτοῖς δόξαν καὶ ἀνάπαυσιν, καὶ ἀλλοιοῖ τὸν νοῦν αὐτῶν ἐκ τοῦ κόσμου τούτου, καὶ πάντοτε βλέπουσιν

---

74. Ψαλμ. 26,14.
75. Ψαλμ. 36,5.

νὴς καὶ ἐλάχιστος, παρ' ὅλα αὐτὰ ἔλαβα διαβεβαίωση, ὅτι συναριθμήθηκες καὶ καταγράφηκες στὸ εὐλογημένο ποίμνιο τοῦ Χριστοῦ, πόσο περισσότερο διαβεβαιώθηκαν γι' αὐτὸ οἱ ἅγιοι τοῦ Θεοῦ πατέρες καὶ ἄξιοι του. Ὑπόμεινε λοιπὸν τὸν Κύριο[74] καὶ ἔλπισε σ' αὐτόν[75].

Καὶ γιὰ τὴν αἰσθητὴ νηστεία, μὴ λυπηθεῖς, ἀφοῦ αὐτὴ δὲν εἶναι τίποτε χωρὶς τὴν πνευματική· «διότι τὰ εἰσπορευόμενα στὸν ἄνθρωπο χωρὶς ἡδονὴ δὲ μιαίνουν τὸν ἄνθρωπο, ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ' αὐτόν»[76]. Καὶ πάλι ὁ Θεὸς ἔδωσε στὸν μοναχὸ τὴ διάκριση ὡς κυβερνήτη.

Διάκρινε λοιπόν, ἀγαπητέ, ἀπὸ ποιόν ἀπαιτεῖ ἐλεημοσύνη ὁ Θεός, ἀπὸ τὸν φτωχὸ ἢ ἀπὸ τὸν πλούσιο; Διότι λέγει τὸ ἑξῆς· «μὴ σταματήσεις νὰ ἐλεεῖς φτωχό, ὅσο θὰ βρίσκει τὸ χέρι σου»[77]. Ὁ Θεὸς λοιπὸν δὲν ἀπαιτεῖ ἄσκηση ἀπὸ αὐτοὺς ποὺ ἀσθενοῦν στὸ σῶμα, ἀλλὰ ἀπὸ αὐτοὺς ποὺ εἶναι δυνατοὶ καὶ ὑγιαίνουν στὸ σῶμα. Δεῖξε λοιπὸν λίγη συγκατάβαση στὸ σῶμα καὶ δὲν εἶναι ἁμαρτία· ὁ Θεὸς δὲν ἀπαιτεῖ ἀπὸ σένα, διότι γνωρίζει τὴν ἀσθένεια ποὺ σοῦ ἔστειλε. Μὲ κάθε τρόπο λοιπὸν εὐχαρίστησέ τον, διότι ἡ εὐχαριστία πρεσβεύει ὑπὲρ τῆς ἀδυναμίας τοῦ ἀνθρώπου πρὸς τὸ Θεό.

Βγάλε λοιπὸν τὸν παλαιὸ ἄνθρωπο τὸν φθαρτὸ μὲ τὶς ἐπιθυμίες τῆς ἀπάτης, καὶ ντύσου τὸν καινούργιο ποὺ κτίσθηκε σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, καὶ νὰ χαίρεσαι γεμᾶτος ἀγαλλίαση ἐν Κυρίῳ, εὐφραινόμενος γιὰ πάντα μαζὶ μὲ τοὺς ἁγίους του. Ποιός θὰ φαντασθεῖ; ποιός μπορεῖ νὰ ἐρευνήσει τὴν ἀνείπωτη χαρὰ τῶν ἁγίων; τὴν ἀνέκφραστη εὐφροσύνη; τὸ φῶς τὸ ἀπερίγραπτο; Πῶς, ἐνῶ εἶναι ἀκόμα ἐδῶ, τοὺς ἀποκαλύπτει τὰ θαυμαστὰ μυστήριά του, τὰ ἔνδοξα, τὴ δόξα καὶ τὴν ἀνάπαυση ποὺ τοὺς περιμένει καὶ μεταστρέφει τὸ νοῦ τους ἀπ' αὐτὸν τὸν κόσμο καὶ βλέπουν πάντα τοὺς ἑαυτούς τους στὸν οὐρανὸ

---

76. Μαρκ. 7,15.
77. Παρ. 3,27.

ἑαυτοὺς ἐν τῷ οὐρανῷ μετὰ τοῦ Χριστοῦ καὶ τῶν ἀγγέλων; Οὐ πεῖνα θλίβει αὐτούς, οὐ δίψα, οὐκ ἄλλο γήϊνον πρᾶγμα· ἠλευθερώθησαν γὰρ ἀπὸ πάντων τῶν ἐν τῷ βίῳ ἐγκλημάτων καὶ παθῶν καὶ ἁμαρτιῶν. Καὶ ἄλλως λέγω τὸν γραφικὸν λόγον, «ὅπου ὁ θησαυρὸς αὐτῶν, ἐκεῖ καὶ ὁ νοῦς αὐτῶν ἐστι». Ὁ φθάσας ταῦτα, οἶδε τί ἀκούει.

Καὶ τί ἔχω ποιῆσαι, ὁ μηδὲν ἀγαθὸν ποιήσας; ἀλλ' οὐκ ἀπελπίζω· δυνατὸς γὰρ ὁ Θεὸς τάξαι ἡμᾶς μετὰ τῶν μελλόντων εὑρεῖν ἔλεος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ σὺν ἁγίῳ Πνεύματί ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὁ Κύριος εἰσακούσοι τῶν γνησίων αὐτοῦ δούλων, καὶ πέμψαι ὑμῖν διὰ τάχους τὸ μέγα αὐτοῦ ἔλεος, κἀμοὶ δῴη συνιέναι ἐλθεῖν εἰς ἐπίγνωσιν ἀληθείας.

Εὖξαι ὑπὲρ ἐμοῦ καὶ ἄσπασαι τὸν συλλειτουργόν σου ἀδελφόν, παρακαλῶν αὐτὸν τὸ αὐτὸ ποιεῖν ὑπὲρ τῆς ἐμῆς βραχύτητος.

ΡΟΔ'

***Ἐρώτησις** πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Ἐπειδὴ τοὺς πόδας καὶ τὰς χεῖρας ρευματίζομαι σφοδρῶς καὶ εὐλαβοῦμαι, μήπως ἐκ τῶν δαιμόνων ἐστίν, εἰπέ μοι Πάτερ, εἰ οὕτως ἔχω. Καὶ τί ποιήσω, ὅτι θλίβομαι πάνυ, ὡς μὴ δυνάμενος νηστεῦσαι καὶ ὅτι ἀναγκάζομαι πλειστάκις λαβεῖν τροφήν; Τί δέ ἐστι, καὶ ὃ βλέπω κατ' ὄναρ ἄγρια θηρία; Παρακαλῶ, δέσποτα, διὰ τὸν Κύριον, πέμψαι μοι μικρὰν εὐλογίαν ἐκ τῆς ἁγίας τροφῆς σου καὶ τοῦ ὕδατος, ἵνα δι' αὐτῶν λάβω παράκλησιν.

μαζὶ μὲ τὸ Χριστὸ καὶ τοὺς ἀγγέλους; Δὲν τοὺς θλίβει οὔτε ἡ πείνα, οὔτε ἡ δίψα, οὔτε ἄλλο γήινο πρᾶγμα· διότι ἐλευθερώθηκαν ἀπὸ ὅλα τὰ ἐγκλήματα, τὰ πάθη καὶ τὶς ἁμαρτίες τοῦ βίου. Ἐξ ἄλλου λέγω τὸν γραφικὸ λόγο, «ὅπου βρίσκεται ὁ θησαυρός τους, ἐκεῖ βρίσκεται καὶ ὁ νοῦς τους»[78]. Ὅποιος ἔφθασε σ' αὐτὰ τὰ πράγματα, γνωρίζει τί ἀκούει.

Τί μπορῶ νὰ κάνω ἐγὼ ποὺ δὲν ἔκανα τίποτα ἀγαθό; ἀλλὰ δὲν ἀπελπίζομαι· διότι ὁ Θεὸς ἔχει τὴ δύναμη νὰ μᾶς κατατάξει μαζὶ μ' ἐκείνους ποὺ πρόκειται νὰ βροῦν ἔλεος, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

Εἴθε ὁ Κύριος νὰ ἀκούσει τοὺς γνήσιους δούλους του καὶ νὰ σᾶς στείλει γρήγορα τὸ μεγάλο του ἔλεος, καὶ ἐμένα νὰ μὲ βοηθήσει νὰ γνωρίσω τὴν ἀλήθεια»[79].

Προσευχήσου γιὰ μένα καὶ ἀσπάσου τὸν συλλειτουργό σου ἀδελφό, παρακαλῶντας τον νὰ κάνει τὸ ἴδιο γιὰ τὴ μικρότητά μου.

174

Ἐρώτηση πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Ἐπειδὴ πάσχω ἀπὸ ρευματισμοὺς στὰ πόδια καὶ στὰ χέρια καὶ φοβᾶμαι μήπως εἶναι ἀπὸ τοὺς δαίμονες, πές μου, Πάτερ, ἐὰν ἔτσι συμβαίνει. Καὶ τί νὰ κάνω, ποὺ στενοχωριέμαι πολύ, ἐπειδὴ δὲ μπορῶ νὰ νηστέψω καὶ ἀναγκάζομαι νὰ τρώγω πολλὲς φορές; Τί σημαινει ἐπίσης τὸ ὅτι βλέπω στὸ ὄνειρο ἄγρια θηρία; Παρακαλῶ, δέσποτα, γιὰ τὸν Κύριο, στεῖλε μου λίγη εὐλογία ἀπὸ τὴν ἅγια τροφή σου καὶ τὸ νερό, γιὰ νὰ πάρω ἀπ' αὐτὰ παρηγοριά.

---

78. Ματθ. 6,21.
79. Α' Τιμ. 2,8.

Ἀπόκρισις

Μὴ λυπηθῇς, ἀγαπητέ μου· οὐ γὰρ τῶν δαιμόνων ἐστίν, ὡς νομίζεις, ἀλλὰ ρεῦμά ἐστι παιδείας Θεοῦ ἡμῖν πρὸς βελτίωσιν ἐν τῷ ἡμᾶς εὐχαριστεῖν τῷ Θεῷ. Οὐκ ἦν φίλος γνήσιος Ἰὼβ τοῦ Θεοῦ; καὶ τί οὐχ ὑπέμεινεν εὐχαριστῶν καὶ εὐλογῶν τὸν Θεόν; καὶ τὸ τέλος τῆς ὑπομονῆς εἰς δόξαν ἀνείκαστον αὐτὸν ἤγαγε. Τοίνυν καὶ σὺ ὑπόμεινον ὀλίγον, καὶ βλέπεις τὴν δόξαν τοῦ Θεοῦ.

Περὶ δὲ τῆς νηστείας μὴ λυπηθῇς, ὡς γὰρ ἤδη προεῖπόν σοι, οὐκ ἀπαιτεῖ ὁ Θεός τινα ὑπὲρ τὴν δύναμιν. Τί γάρ ἐστι νηστεία, ἀλλ' ἢ παιδεία τῷ σώματι, ἵνα δουλαγωγήσῃ τὸ σῶμα τὸ ὑγιὲς καὶ ἀσθενοποιήσῃ διὰ τὰ πάθη; Φησὶ γὰρ «ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι». Ἡ δὲ ἀσθένεια περισσοτέρα παιδείας ἐστὶ καὶ ἀντὶ πολιτείας ἢ καὶ περισσότερον λογίζεται τῷ μεθ' ὑπομονῆς ὑποφέροντι, καὶ εὐχαριστοῦντι τῷ Θεῷ, καὶ καρπὸν σωτηρίας τρυγᾷ ἐκ τῆς ὑπομονῆς ταύτης. Ἀντὶ τοῦ οὖν ἀσθενοποιῆσαι διὰ τῆς νηστείας τὸ σῶμα, ἀφ' ἑαυτοῦ ἀσθενεῖ· εὐχαρίστησον ὅτι ἀπηλλάγης κόπου πολιτείας. Ἐὰν οὖν φάγῃς δέκατον, μὴ λυπηθῇς· οὐ κατακρίνῃ· οὐ γὰρ κατ' ἐνέργειαν δαιμόνων ἐστίν, οὔτε κατὰ χαυνότητα λογισμοῦ, ἀλλὰ πρὸς δοκιμὴν ἡμῖν γίνεται καὶ ὠφέλειαν ψυχῆς.

Περὶ δὲ τῶν ἐνυπνίων τῶν ἀγρίων θηρίων, φαντάσματά εἰσι δαιμόνων, θελόντων σε πλανῆσαι διὰ τούτων πιστεῦσαι, ὅτι τὸ πάθος σου ἐξ αὐτῶν τῶν δαιμόνων ἐστίν· «ἀλλὰ καταργεῖ αὐτοὺς ὁ Κύριος τῷ ρήματι τοῦ στόματος αὐτοῦ», εὐχαῖς ἁγίων. Ἀμήν.

Καὶ μὴ λυπηθῇς· «ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ

---

80. Β' Κορ. 2,10.

'Απόκριση

Μή λυπηθεῖς, ἀγαπητέ μου· διότι δὲν εἶναι τῶν δαιμόνων, ὅπως νομίζεις, ἀλλὰ εἶναι ἐκδήλωση παιδαγωγίας τοῦ Θεοῦ πρὸς ἐμᾶς γιὰ νὰ βελτιωθεῖ ἡ εὐχαριστία μας πρὸς τὸ Θεό. Δὲν ἦταν ὁ Ἰὼβ γνήσιος φίλος τοῦ Θεοῦ; καὶ τί δὲν ὑπέμεινε εὐχαριστώντας καὶ εὐλογώντας τὸ Θεό; καὶ τὸ τέλος τῆς ὑπομονῆς τὸν ὁδήγησε σὲ ἀπερίγραπτη δόξα. Ὑπόμεινε λοιπὸν καὶ ἐσὺ λίγο καὶ θὰ δεῖς τὴ δόξα τοῦ Θεοῦ.

Ὅσο γιὰ τὴ νηστεία, μὴ λυπηθεῖς, διότι ὅπως σοῦ εἶπα ἤδη προηγουμένως, ὁ Θεὸς δὲν ἀπαιτεῖ ἀπὸ κανένα παραπάνω ἀπὸ τὴ δύναμή του. Πράγματι τί εἶναι νηστεία, παρὰ παιδεία γιὰ τὸ σῶμα, γιὰ νὰ δουλαγωγήσει τὸ ὑγιὲς σῶμα καὶ νὰ τὸ ἀσθενοποιήσει γιὰ τὰ πάθη; Διότι λέγει «ὅταν ἀσθενῶ, τότε εἶμαι δυνατός»[80]. Ἡ ἀσθένεια εἶναι περισσότερη ἀπὸ τὴν παιδεία· καὶ ὑπολογίζεται σὰν ἄσκηση ἢ καὶ περισσότερο σ' αὐτὸν ποὺ ὑποφέρει μὲ ὑπομονὴ καὶ εὐχαριστεῖ τὸ Θεό· αὐτὸς τρυγᾶ καρπὸ σωτηρίας ἀπὸ αὐτὴ τὴν ὑπομονή. Ἀντὶ νὰ ἀσθενοποιήσεις λοιπὸν τὸ σῶμα μὲ τὴ νηστεία, ἀφοῦ ἀσθενεῖ μόνο του, εὐχαρίστησε τὸ Θεό, διότι ἀπαλλάχθηκες ἀπὸ τὸν κόπο τῆς ἀσκήσεως. Ἐὰν λοιπὸν φάγεις σὲ καιρὸ νηστείας[81], μὴ λυπηθεῖς, δὲν κατακρίνεσαι· διότι δὲν εἶναι ἀπὸ ἐνέργεια δαιμόνων, οὔτε ἀπὸ χαυνότητα λογισμοῦ, ἀλλὰ γίνεται γιὰ δοκιμασία μας καὶ γιὰ ὠφέλεια τῆς ψυχῆς.

Ὡς πρὸς τὰ ὄνειρα τῶν ἀγρίων θηρίων, εἶναι φαντάσματα δαιμόνων, ποὺ θέλουν νὰ σὲ πλανήσουν μ' αὐτὰ νὰ πιστέψεις, ὅτι τὸ πάθος σου εἶναι ἀπὸ αὐτοὺς τοὺς δαίμονες· «ἀλλὰ ὁ Κύριος τοὺς καταργεῖ μὲ τὸ λόγο τοῦ στόματός του»[82] μὲ τὶς εὐχὲς τῶν ἁγίων. Γένοιτο.

Καὶ νὰ μὴ λυπηθεῖς· «διότι ὁ Κύριος παιδεύει ὅποιον ἀγα-

---

81. Λέγει «ἐὰν οὖν φάγης δέκατον» ἐπειδὴ ὑπῆρχε τάση μία ἡμέρα στὶς δέκα ν' ἀκολουθεῖται ἀπόλυτη νηστεία.

82. Β' Θεσ. 2,8.

δὲ πάντα υἱὸν ὃν παραδέχεται». Πιστεύω δὲ ὅτι καὶ περὶ τούτου τοῦ σωματικοῦ πάθους ἔχει ὁ Θεὸς ποιῆσαι μετὰ σοῦ τὸ ἔλεος αὐτοῦ ὡς θέλει. Ὁ Κύριος ἐνδυναμώσοι σε καὶ ἐνισχύσοι του ὑπενεγκεῖν. Ἀμήν.

Μικρὸν ὕδωρ ἔπεμψά σοι ἐκ τοῦ βαυκαλίου τοῦ μακαρίου πατρὸς ἡμῶν Εὐθυμίου· ἔπεμψα δὲ καὶ μικρὰν εὐλογίαν τῆς ἐμῆς τροφῆς, ἵνα εὐλογήσῃς μου τὴν τροφήν.

Εὖξαι ὑπὲρ ἐμοῦ, ποθεινότατε.

ΡΟΕ'

Αἴτησις τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.

Εὖξαι, πάτερ, ὑπὲρ τῆς βαρυτάτης μου ἀσθενείας καὶ δήλωσόν μοι περὶ τῆς διαίτης· μήτι ἄρα γίνεται εἰς σκάνδαλον τὸ ταχέως με καὶ συνεχῶς λαμβάνειν; Καὶ περὶ τῆς ψαλμῳδίας, πῶς ὀφείλω παρελθεῖν· οὐκ ἰσχύω γὰρ ψάλαι. Φύτευσόν με, δέσποτα, καὶ πότισόν με, καὶ φανέρωσόν μοι ὃ εἶπεν ὁ ἅγιος πατὴρ ἡμῶν· ὅτι 'Κύριος ποιεῖ τὸ ἔλεος αὐτοῦ μετὰ σοῦ'· εἰ περὶ θανάτου μου εἶπεν.

***Ἀπόκρισις** Ἰωάννου*

Εἰ καὶ ἐσιώπησα, μὴ ἔχων λόγον μήτε τίποτε ἀγαθὸν ἐσιώπησα. Τί δὲ ἀπαιτεῖς ἄρτον παρὰ τοῦ κεράτια ἐσθίοντος; Τοῦτο δὲ λέγω σοι, ὅτι κἂν οὐδέν εἰμι, συγχαίρω σοι εἰς ἃ ἔγραψέ σοι ὁ εὐλογημένος πατὴρ ἡμῶν.

Ἰδοὺ οὖν ψωμίζει σε τὴν στερεὰν τροφὴν τοῦ πνευματικοῦ ἄρτου· τί δέῃ τοῦ ὑδαρωτέρου μου γάλακτος τοῦ τὴν ἀηδίαν ποιοῦντος; Οὐκ ἐκώλυσεν ἡ Γραφὴ οὐδὲ οἱ πατέρες τὴν πρὸς τὸ σῶμα συγκατάβασιν, τὴν οὐ κατὰ ἡδονήν, ἀλλὰ μετὰ διακρίσε-

πᾶ, καὶ μαστιγώνει κάθε υἱὸ ποὺ τὸν παραδέχεται»[83]. Καὶ πιστεύω ὅτι καὶ γι' αὐτὸ τὸ σωματικὸ πάθος, ὁ Θεὸς μπορεῖ νὰ χαρίσει σὲ σένα τὸ ἔλεός του, ὅπως αὐτὸς θέλει. Εἴθε ὁ Κύριος νὰ σὲ ἐνδυναμώσει καὶ νὰ σὲ ἐνισχύσει νὰ τὸ ὑποφέρεις. Γένοιτο.

Σοῦ ἔστειλα λίγο νερὸ ἀπὸ τὸ ἀγγεῖο τοῦ μακαρίου Πατέρα μας Εὐθυμίου· καὶ ἔστειλα καὶ μικρὴ εὐλογία τῆς δικῆς μου τροφῆς, γιὰ νὰ εὐλογήσεις τὴν τροφή μου.

Προσευχήσου γιὰ μένα, πολυπόθητε.

175

Αἴτηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Προσευχήσου, πάτερ, γιὰ τὴ βαρύτατη ἀσθένειά μου καὶ δήλωσέ μου γιὰ τὴ δίαιτα· μήπως ἄραγε γίνεται γιὰ σκάνδαλο τὸ νὰ παίρνω γρήγορα καὶ συνέχεια; Καὶ γιὰ τὴν ψαλμωδία, πῶς ὀφείλω νὰ ἐνεργῶ· διότι δὲν ἔχω τὴ δύναμη νὰ ψάλλω. Δέσποτα, φύτεψέ με καὶ πότισέ με καὶ φανέρωσέ μου αὐτὸ ποὺ εἶπε ὁ ἅγιος Πατέρας μας· διότι ὁ Κύριος σοῦ προσφέρει τὸ ἔλεός του· ἐὰν εἶπε γιὰ τὸ θάνατό μου.

Ἀπόκριση Ἰωάννη

Αν ἐσιώπησα, τὸ ἔκαμα ἐπειδὴ δὲν ἔχω λόγο οὔτε τίποτε ἀγαθό· γιατί ὅμως ζητεῖς ἄρτο ἀπὸ αὐτὸν ποὺ τρώγει ξυλοκέρατα; Καὶ σοῦ λέγω αὐτό, ὅτι, ἂν καὶ δὲν εἶμαι τίποτα, ὅμως σὲ συγχαίρω γι' αὐτὰ ποὺ σοῦ ἔγραψε ὁ εὐλογημένος Πατέρας μας.

Νὰ λοιπόν, σὲ σιτίζει τὴν στερεὴ τροφὴ τοῦ πνευματικοῦ ἄρτου· τί χρειάζεσαι τὸ νερωμένο γάλα μου ποὺ προκαλεῖ ἀηδία; Οὔτε ἡ Γραφή, οὔτε οἱ Πατέρες δὲν ἐμπόδισαν τὴ συγκατάβαση πρὸς τὸ σῶμα, ποὺ γίνεται ὄχι γιὰ ἡδονή, ἀλλὰ ἀπὸ

83. Ἑβρ. 12,6.

ως γινομένην. Ὁπότε οὖν, καθὼς ἤδη εἶπόν σοι, ὅτι οὐ κατὰ ἀσωτίαν, οὔτε κατὰ ἡδονὴν ἐσθίεις καὶ πίνεις, οὐ γίνονταί σοι εἰς κατάκρισιν, οὔτε εἰς σκάνδαλόν τινων· περὶ τούτων γὰρ εἶπεν ὁ Κύριος, ὅτι οὐ κοινοῦσι τὸν ἄνθρωπον.

Περὶ δὲ τῆς ψαλμῳδίας ἢ τῆς λειτουργίας, μὴ θλιβῇς· οὐ γὰρ ἀπαιτεῖ σε ὁ Θεὸς διὰ τὴν ἀσθένειαν. Ὁ προσέχων ἑαυτῷ θλίβει ἑαυτὸν εἰς πολιτείαν διὰ τὸν Κύριον καὶ τὴν ἰδίαν σωτηρίαν. Ἔχεις οὖν τὴν θλῖψιν τῆς ἀσθενείας ἀντὶ τῆς θλίψεως τῆς πολιτείας.

Καὶ περὶ τῆς ἀσθενείας δὲ μὴ ὀλιγωρήσῃς, οὐκ ἐγκαταλιμπάνει ὁ Κύριος, ἀλλ' οἰκονομεῖ αὐτὴν ὡς οἶδε πρὸς τὸ συμφέρον, ἵνα μὴ θλιβῇς ὑπὲρ τὴν δύναμιν.

Περὶ δὲ τοῦ θανάτου οὐκ εἶπε τέως ὁ γέρων, ἀλλὰ περὶ τοῦ ἐλέους, οὗ μέλλει ὁ Θεὸς ποιεῖν μετὰ τῆς ἀγάπης σου. Παρακαλῶ οὖν σε ὑπενεγκεῖν καθὼς εἶπέ σοι καὶ βλέπεις μετὰ ἀληθείας τὴν δόξαν τοῦ Θεοῦ.

Περὶ δὲ τῆς φυτεύσεως, εἰ ὅλως ὁ φυτεύων καὶ ποτίζων οὐδέν ἐστι καὶ τὰ δύο εἰς ἐμὲ ἐπέγραψας, ἔχεις ἀντὶ ἐμοῦ τοῦ μηδὲν ὄντος τὸν Θεόν, τὸν αὐξάνοντα καὶ σκεπάζοντα καὶ ποιοῦντα μετὰ σοῦ κατὰ τὸ ἔλεος αὐτοῦ. Ἀπολαύων οὖν τῆς αὐτοῦ ἀγαθότητος, ἀνδρίζου ἐν αὐτῷ καὶ ἴσχυε.

Καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ἵνα καὶ εἰς ἐμὲ γένηται τὸ ἔλεος αὐτοῦ.

ΡΟΣΤ'

Ὁ αὐτὸς Γέρων κάμνων ἐν τῇ ἀσθενείᾳ, πάλιν ἠρώτησε τὸν αὐτὸν Γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ.

διάκριση. Ὅταν λοιπόν, ὅπως ἤδη σοῦ εἶπα, δὲν τρώγεις καὶ δὲν πίνεις ἀπὸ ἀσωτία, οὔτε ἀπὸ ἡδονή, αὐτὰ δὲ γίνονται γιὰ κατάκρισή σου, οὔτε γιὰ σκάνδαλο μερικῶν· διότι ὁ Κύριος εἶπε γι' αὐτά, ὅτι δὲ μολύνουν τὸν ἄνθρωπο[84].

Ὅσο γιὰ τὴν ψαλμωδία ἢ τὴ λειτουργία, μὴ στενοχωριέσαι· διότι ὁ Θεὸς δὲ σοῦ τὴν ἀπαιτεῖ ἐξαιτίας τῆς ἀσθένειας. Αὐτὸς ποὺ προσέχει τὸν ἑαυτό του, θλίβει τὸν ἑαυτό του μὲ ἄσκηση γιὰ τὸν Κύριο καὶ γιὰ τὴ δική του σωτηρία. Ἔχεις λοιπὸν τὴ θλίψη τῆς ἀσθένειας ἀντὶ τῆς θλίψεως τῆς ἀσκήσεως.

Ὅσο πάλι γιὰ τὴν ἀσθένεια, νὰ μὴ ὀλιγωρήσεις, ὁ Κύριος δὲ σὲ ἀγκαταλείπει, ἀλλὰ τὴν οἰκονομεῖ ὅπως γνωρίζει γιὰ τὸ συμφέρον σου, γιὰ νὰ μὴ θλιβεῖς παραπάνω ἀπὸ τὴ δύναμή σου.

Ὅσο γιὰ τὸ θάνατο ὁ Γέροντας δὲν εἶπε τίποτε μέχρι τώρα, ἀλλὰ γιὰ τὸ ἔλεος ποὺ ὁ Θεὸς πρόκειται νὰ δείξει στὴν ἀγάπη σου. Σὲ παρακαλῶ λοιπὸν νὰ ὑποφέρεις ὅπως σοῦ εἶπα καὶ θὰ δεῖς ἀληθινὰ τὴ δόξα τοῦ Θεοῦ.

Σχετικὰ μὲ τὴ φύτευση πάλι, πού, ἂν καὶ δὲν εἶναι ἐντελῶς τίποτε αὐτὸς ποὺ φυτεύει καὶ ποτίζει, τὰ ἀπέδωσες καὶ τὰ δύο σὲ μένα, ἔχεις ἀντὶ γιὰ μένα, ποὺ δὲν εἶμαι τίποτε, τὸ Θεό, ποὺ αὐξάνει καὶ σκεπάζει καὶ σοῦ δείχνει τὸ ἔλεός του. Ἀπολαμβάνοντας λοιπὸν τὴν ἀγαθότητά του, γίνε ἀνδρεῖος καὶ δυνατὸς στὸ ὄνομά του.

Προσευχήσου γιὰ μένα, γιὰ νὰ δοθεῖ καὶ σὲ μένα τὸ ἔλεός του.

176

Ὁ ἴδιος γέροντας ἐπειδὴ ὑπέφερε ἀπὸ τὴν ἀσθένεια, παρακάλεσε πάλι τὸν ἴδιο γέροντα νὰ προσευχηθεῖ γι' αὐτόν.

84. Ματθ. 15,11, Μαρκ. 7,15.

Ἀπόκρισις Ἰωάννου

Πρὸς δοκιμήν ἐστιν ἡ ἀσθένειά σου· ὑπόμεινον εὐχαριστῶν, καὶ διὰ τάχους ἐλεῇ ὑπὸ τοῦ Θεοῦ.

Ἀσπάζομαι ὑμᾶς ἐν Κυρίῳ, παρακαλῶν εὔξασθαι ὑπὲρ ἐμοῦ.

ΡΟΖ'

Ὁ αὐτὸς πάλιν ᾔτησε τὸν μέγαν Γέροντα τὰ αὐτά.

Ἀπόκρισις

Ἰδοὺ καὶ ὁ ἀδελφὸς Ἰωάννης εἶπεν, ὅτι διὰ τάχους ἐλεεῖ αὐτὸν ὁ Θεός. Κἀγὼ ὁ ἐλάχιστος τί ἔχω εἰπεῖν; ἡδέως ἔχω καὶ σήμερον· καὶ πιστεύω ὅτι ὁ Θεὸς πέμπει αὐτῷ ἄνεσιν σήμερον, εὐχαῖς ἁγίων αὐτοῦ.

Εὔξασθε ὑπὲρ ἐμοῦ, ἀγαπητοί.

ΡΟΗ'

Μετὰ τὴν ἀπόκρισιν ταύτην παραυτίκα ἐν αὐτῇ τῇ ἡμέρᾳ ὑγίανε, καὶ ἔπεμψεν εὐχαριστῶν τῷ Γέροντι, καὶ ἀνακηρύττων τὰ ἐλέη τοῦ Θεοῦ τὰ δι' αὐτοῦ γινόμενα.

Ἀπόκρισις Βαρσανουφίου

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἶπε τοῖς ἑαυτοῦ μαθηταῖς καὶ Ἀποστόλοις χαροποιῶν αὐτούς· «μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑποτάσσεται ὑμῖν ἐν τῷ ὀνόματί μου, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γεγραμμένα ἐστὶν ἐν τοῖς οὐρανοῖς». Οὕτως οὖν καὶ ἡμεῖς εἰ περὶ βοηθείας τῆς τῷ σώματι γενομένης ἐν ὀνόματι τοῦ Θεοῦ καὶ προστάτου τῶν ψυχῶν ἡμῶν Ἰησοῦ Χριστοῦ βοῶμεν σκιρτῶντες, τί ἂν γένηται περὶ τῆς ὁλοτελοῦς

Ἀπόκριση Ἰωάννη

Η ἀσθένειά σου εἶναι γιὰ δοκιμασία· ὑπόμεινέ την μὲ εὐχαρίστηση καὶ γρήγορα θὰ ἐλεηθεῖς ἀπὸ τὸ Θεό.

Σᾶς ἀσπάζομαι ἐν Κυρίω, παρακαλώντας νὰ προσευχηθεῖτε γιὰ μένα.

177

Ὁ ἴδιος πάλι ζήτησε ἀπὸ τὸν μεγάλο γέροντα τὰ ἴδια.

Ἀπόκριση

Νὰ καὶ ὁ ἀδελφὸς Ἰωάννης εἶπε ὅτι ὁ Θεὸς θὰ τὸν ἐλεήσει γρήγορα. Ἐγὼ ὁ ἐλάχιστος τί ἔχω νὰ πῶ; Εἶμαι εὐχαριστημένος καὶ σήμερα· καὶ πιστεύω ὅτι ὁ Θεὸς θὰ τοῦ στείλει ἄνεση σήμερα, μὲ τὶς εὐχὲς τῶν ἁγίων του.

Προσευχηθεῖτε γιὰ μένα, ἀγαπητοί.

178

Μετὰ τὴν ἀπόκριση αὐτή, ἀμέσως τὴν ἴδια ἡμέρα ἔγινε καλά, καὶ ἔστειλε γιὰ νὰ εὐχαριστήσει τὸν Γέροντα καὶ νὰ διακηρύξει τὰ ἐλέη τοῦ Θεοῦ ποὺ ἔγιναν μέσω αὐτοῦ.

Ἀπόκριση Βαρσανουφίου

Ο Κύριός μας Ἰησοῦς Χριστὸς εἶπε στοὺς μαθητές του καὶ στοὺς Ἀποστόλους χαροποιώντας τους· «μὴ χαίρεσθε ἐπειδὴ ὑποτάσσονται τὰ δαιμόνια σὲ σᾶς στὸ ὄνομά μου, ἀλλὰ ἐπειδὴ τὰ ὀνόματά σας εἶναι γραμμένα στοὺς οὐρανούς»[85]. Ἔτσι λοιπὸν καὶ ἐμεῖς, ἐὰν φωνάζουμε χοροπηδώντας γιὰ βοήθεια ποὺ ἔγινε στὸ ὄνομα τοῦ Θεοῦ καὶ προστάτη τῶν ψυχῶν μας Ἰησοῦ Χριστοῦ, τί πρέπει νὰ γίνει γιὰ τὴν

---

85. Λουκᾶ 10,20.

καθάρσεως τῆς ἀπὸ ὅλων τῶν παθῶν τῇ ψυχῇ ἡμῶν γενομένης, τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματι αὐτοῦ; Πόσαι φωναί, γλῶσσαι, στόματα, καρδίαι καὶ ἐνθυμήσεις δυνήσονται ἀνταποδοῦναι αὐτῷ τὴν πρέπουσαν δοξολογίαν; Λογίζομαι δὲ ὅτι οὐδὲ ἐν τοῖς ἀσωμάτοις εὑρίσκεται· ἀκατάληπτον γάρ ἐστι τὸ θεῖον.

Αὐτῷ ἡ δόξα καὶ ἡ ἐξουσία καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΟΘ'

Τούτῳ τῷ Γέροντι εἶπέ τις ἀδελφός.

''Ἰδοὺ εὐχαῖς τῶν ἁγίων ἀνεκαινίσθης, γέρον'. Καὶ ἀποκριθεὶς εἶπεν· 'ὁσάκις εἶπές μοι τὸν λόγον τοῦτον κἂν τέταρτον, ἐσημειωσάμην ὅτι συντρίβουσιν οἱ δαίμονες τὸ σῶμά μου'. Καὶ ἠρωτήθη ὁ ἄλλος γέρων περὶ τούτου.

***Ἀπόκρισις** Ἰωάννου*

Τὸ πρᾶγμα τοῦτο φθόνον ἔχει καὶ ἀπιστίαν· φθόνον μέν, ὅτι οὐκ ἔχουσιν ἡδέως οἱ δαίμονες, ἵνα εὐεργετηθῇ ἄνθρωπος· ἀπιστίαν δέ, ἵνα βλέπων τὴν ἀσθένειαν διστάσῃ τῇ καρδίᾳ.

ΡΠ'

Πῶς; εἰπέ, πάτερ, ἡμεῖς ἔχομεν τὴν ἀπιστίαν ἢ ὅτι οἱ δαίμονες φέρουσιν ἡμᾶς εἰς ἀπιστίαν;

Ἀπόκρισις

Οἱ δαίμονες ἀπὸ τοῦ φθόνου φέρουσι τὴν ἀπιστίαν· ἐὰν οὖν δεξώμεθα, ὑπουργοὶ καὶ συμμέτοχοι αὐτῶν γινόμεθα.

πλήρη κάθαρση ποὺ ἔγινε ἀπὸ ὅλα τὰ πάθη τῆς ψυχῆς μὲ τὸ φοβερὸ καὶ ἔνδοξο ὄνομά του; Πόσες φωνές, γλῶσσες, στόματα, καρδιὲς καὶ ἐνθυμήσεις θὰ μπορέσουν νὰ ἀνταποδώσουν σ' αὐτὸν τὴν πρέπουσα δοξολογία; Σκέφτομαι ὅτι δὲ βρίσκεται οὔτε καὶ στὰ ἀσώματα ὄντα· διότι τὸ θεῖο εἶναι ἀκατάληπτο.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ ἐξουσία καὶ ἡ δύναμη στοὺς αἰῶνες. Γένοιτο.

179

Κάποιος ἀδελφὸς εἶπε σ' αὐτὸν τὸν γέροντα.

'Νά, γέροντα, μὲ τὶς εὐχὲς τῶν ἁγίων ἀνακαινίσθηκες'. Καὶ ἀποκρινόμενος εἶπε· 'ὅσες φορὲς μοῦ εἶπες αὐτὸν τὸν λόγο, τέσσερις τὸν ἀριθμό, παρατήρησα ὅτι οἱ δαίμονες συντρίβουν τὸ σῶμα μου. Καὶ ἐρωτήθηκε ὁ ἄλλος γέροντας γι' αὐτό.

Ἀπόκριση Ἰωάννη

Αὐτὸ τὸ πρᾶγμα ἔχει φθόνο καὶ ἀπιστία· φθόνο, διότι οἱ δαίμονες δὲν εὐχαριστιοῦνται νὰ εὐεργετηθεῖ ὁ ἄνθρωπος· καὶ ἀπιστία, γιὰ νὰ διστάσει μὲ τὴν καρδιά, βλέποντας τὴν ἀσθένεια.

180

Πές, Πάτερ, τί συμβαίνει; Ἐμεῖς ἔχουμε τὴν ἀπιστία ἢ οἱ δαίμονες μας ὁδηγοῦν σὲ ἀπιστία;

Ἀπόκριση

Οἱ δαίμονες ἀπὸ φόβο μᾶς ὁδηγοῦν στὴν ἀπιστία. Ἐὰν λοιπὸν τὴ δεχθοῦμε, θὰ γίνουμε συνεργοὶ καὶ συμμέτοχοι αὐτῶν.

ΡΠΑ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.*

Ὅταν, πάτερ, κουφίζωμαι τῆς ἀρρωστίας, πῶς δεῖ παρέρχεσθαι τὸ καθ' ἡμέραν;

Ἀπόκρισις

Χαίροις ἐν Κυρίῳ· πάλιν λέγω, χαίροις· ηὔφρανάς με ἄρτι ἐν τῇ ἐρωτήσει· μᾶλλον δὲ τὸν Θεὸν καὶ τοὺς ἀγγέλους αὐτοῦ. Περὶ δὲ ὧν ἔγραψας εἶπεν ὁ Κύριος· «ἔδει κἀκεῖνα ποιῆσαι καὶ ταῦτα μὴ ἀφιέναι». Ψάλλειν μικρόν, ἀποστηθίζειν μικρόν, ἐρευνᾶν καὶ τηρεῖν τοὺς λογισμοὺς μικρὸν ὀφείλεις. Ὁ γὰρ ἔχων πολλὰ ἐδέσματα ἐν τῷ ἀριστᾶν, πολλὰ λιμβεύεται φαγεῖν· ὁ δὲ ἀπὸ ἑνὸς ἐδέσματος τρώγων καθ' ἡμέραν, οὐ μόνον οὐ λιμβεύεται, ἀλλὰ τάχα καὶ ἐν καιρῷ ἀηδιάζεται ἀπ' αὐτοῦ. Οὕτως οὖν καὶ ἐνταῦθα· τῶν τελείων δέ ἐστι τὸ συνεθίσαι μεταλαβεῖν καθ' ἑκάστην ἀπὸ τοῦ αὐτοῦ ἑψητοῦ καὶ μὴ ἀηδιασθῆναι.

Περὶ οὖν τῆς ψαλμῳδίας καὶ τοῦ ἀποστηθίζειν, μὴ δήσῃς σεαυτόν, ἀλλ' εἴ τι ἐνδυναμοῖ σε ὁ Κύριος ποίησον. Καὶ τὸ ἀναγινώσκειν καὶ προσεύχεσθαι μὴ κωλύσῃς· μικρὸν οὕτω, μικρὸν οὕτως ἀναλίσκεις τὴν ἡμέραν ἀρέσκων τῷ Θεῷ. Οἱ γὰρ τέλειοι πατέρες ἡμῶν κανόνος ὅρον οὐκ εἶχον· μικρὸν ψάλλοντες, μικρὸν ἀποστηθίζοντες, μικρὸν ἐρευνῶντες τοὺς λογισμούς, μικρὸν σχολάζοντες περὶ τῆς τροφῆς, καὶ τοῦτο κατὰ φόβον Θεοῦ. Φησὶ γάρ· «πάντα ὅσα ἂν ποιῆτε, εἰς δόξαν Θεοῦ ποιεῖτε».

Ὁ Κύριος Ἰησοῦς φυλάξοι ἡμᾶς ἀπὸ παντὸς κακοῦ. Ἀμήν.

ΡΠΒ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

---

86. Φιλ. 3,1.
87. Ματθ. 23,23.

181

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν μεγάλο Γέροντα.

Πάτερ, ὅταν ἀνακουφίζομαι ἀπὸ τὴν ἀρρώστια πῶς πρέπει νὰ περνῶ τὴν κάθε μέρα;

Ἀπόκριση

Χαῖρε ἐν Κυρίῳ· πάλι σοῦ λέγω, χαῖρε[86]· μὲ εὐχαρίστησες μὲ τὴν ἐρώτηση τώρα ἢ καλύτερα τὸ Θεὸ καὶ τοὺς ἀγγέλους του. Γι' αὐτὰ ποὺ ἔγραψες ὁ Κύριος εἶπε· «ἔπρεπε καὶ ἐκεῖνα νὰ κάμεις καὶ αὐτὰ νὰ μὴ τὰ ἀφήσεις»[87]. Νὰ ψάλλεις λίγο, νὰ ἀποστηθίζεις λίγο, νὰ ἐρευνᾶς καὶ νὰ προσέχεις λίγο τοὺς λογισμούς. Διότι αὐτὸς ποὺ ἔχει πολλὰ ἐδέσματα γιὰ γεῦμα λιχουδεύεται νὰ φάγει πολλά· αὐτὸς ποὺ τρώγει κάθε μέρα ἀπὸ ἕνα ἔδεσμα, ὄχι μόνο δὲ λιχουδεύεται, ἀλλὰ μὲ τὸν καιρὸ ἀηδιάζει ἀπὸ αὐτό. Ἔτσι λοιπὸν καὶ ἐδῶ· τῶν τελείων ἔργο εἶναι νὰ τρώγουν κάθε μέρα ἀπὸ τὸ ἴδιο φαγητὸ καὶ νὰ μὴ ἀηδιάζουν.

Γιὰ τὴν ψαλμωδία καὶ τὴν ἀποστήθιση μὴ δεσμεύεσαι, ἀλλὰ κάνε ὅ,τι σὲ ἐνδυναμώνει ὁ Κύριος. Καὶ μὴ ἐμποδίσεις τὴν ἀνάγνωση καὶ τὴν προσευχή· λίγο τὸ ἕνα, λίγο τὸ ἄλλο, περνᾶς τὴν ἡμέρα ἀρέσκοντας στὸ Θεό. Διότι οἱ τέλειοι πατέρες μας δὲν εἶχαν δεσμωτικὸ κανόνα, ἀλλὰ εἶχαν κανόνα ὅλη τὴν ἡμέρα, ψάλλοντας λίγο, ἀποστηθίζοντας λίγο, ἐρευνώντας λίγο τοὺς λογισμούς, διακόπτοντας λίγο γιὰ τροφή, καὶ αὐτὸ σύμφωνα μὲ τὸν κατὰ Θεὸ φόβο. Διότι λέγει «ὅλα ὅσα κάνετε, νὰ τὰ κάνετε γιὰ τὴ δόξα τοῦ Θεοῦ»[88].

Εἴθε ὁ Κύριος Ἰησοῦς νὰ μᾶς φυλάξει ἀπὸ κάθε κακό. Γένοιτο.

182

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

---

88. Α' Κορ. 10,31.

Εἰπέ, πάτερ, τὸ ἀδιαλείπτως προσεύχεσθαι ἐν ποίῳ μέτρῳ ἐστί, καὶ εἰ ὀφείλω ἔχειν κανόνα.

Ἀπόκρισις

Χαίροις ἐν Κυρίῳ, ἀδελφέ· χαίροις ἐν Κυρίῳ, ἀγαπητέ· χαίροις ἐν Κυρίῳ, συγκληρονόμε. Τὸ ἀδιαλείπτως προσεύχεσθαι ἐν τῷ μέτρῳ ἐστὶ τῆς ἀπαθείας· καὶ τότε γινώσκεται ἡ ἔλευσις τοῦ Πνεύματος καὶ διδάσκει αὐτὸν τὰ πάντα. Εἰ τὰ πάντα, οὐκοῦν καὶ περὶ τῆς προσευχῆς· ὁ Ἀπόστολος γὰρ λέγει· «τὸ τί προσευξόμεθα καθὸ δεῖ οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις».

Τί οὖν εἴπω σοι ἄρτι περὶ τῶν οἰκοδομημάτων Ῥώμης, ὁπότε ἀκμὴν ἐκεῖ οὐκ ἐγένου; Ἄνθρωπος ἡσυχάζων μάλιστα κλινήρης, κανόνα οὐκ ἔχει· ἀλλὰ γενοῦ ὡς ἄνθρωπος τρώγων καὶ πίνων ἐφ' ὅσον ἠδύνεσαι, οὕτως ὅταν ἔρχεταί σοι ἀναγνῶναι καὶ βλέπεις κατάνυξιν ἐν τῇ καρδίᾳ σου, ἀνάγνωθι ὅσον δύνασαι· καὶ τὸ ψάλλειν οὕτως. Τὴν εὐχαριστίαν δὲ καὶ τό, 'Κύριε ἐλέησον', κράτει κατὰ τὴν δύναμίν σου καὶ μὴ φοβηθῇς· ἀμετάβλητα γὰρ τὰ χαρίσματα τοῦ Θεοῦ.

ΡΠΓ'

***Παράκλησις καὶ ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ὁ αὐτὸς μετὰ τὴν ὑγιείαν, τὸν στόμαχον ὀδυνηθείς, ἔπεμψε παρακαλῶν τὸν μέγαν Γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ, λέγων· "Ἀπὸ μεσονυκτίου ξηραίνεταί μου τὸ στόμα καὶ τὰ βλέφαρα καὶ αἱ χεῖρες καὶ οἱ πόδες· καὶ ὅτε διϋπνισθῶ, τρέμει κἂν ἐπὶ ὥραν ὅλον τὸ σῶμά μου, ἀρχόμενον ἀπὸ

Πές, πάτερ, ἡ ἀδιάλειπτη προσευχὴ σὲ ποιό μέτρο βρίσκεται, καὶ ἂν πρέπει νὰ ἔχω κανόνα.

Ἀπόκριση

Χαῖρε, ἀδελφέ, ἐν Κυρίῳ, χαῖρε ἐν Κυρίῳ, ἀγαπητέ, χαῖρε ἐν Κυρίῳ, συγκληρονόμε. Ἡ ἀδιάλειπτη προσευχὴ[89] ἀνήκει στὸ μέτρο τῆς ἀπάθειας· καὶ τότε ἀναγνωρίζεται ἡ ἔλευση τοῦ Πνεύματος καὶ τοῦ διδάσκει τὰ πάντα. Ἐὰν διδάσκει τὰ πάντα, λοιπὸν διδάσκει καὶ γιὰ τὴν προσευχή· διότι ὁ Ἀπόστολος λέγει, «δὲ γνωρίζουμε πῶς πρέπει νὰ προσευχόμαστε, ἀλλὰ τὸ ἴδιο τὸ Πνεῦμα προσεύχεται γιὰ χάρη μας μὲ ἀλαλήτους στεναγμούς»[90].

Τί λοιπὸν νὰ σοῦ πῶ τώρα γιὰ τὰ οἰκοδομήματα τῆς Ρώμης, ἀφοῦ δὲν πῆγες ἐκεῖ ἀκόμη; Ἄνθρωπος ποὺ ἡσυχάζει καὶ μάλιστα κλινήρης, δὲν ἔχει κανόνα· ἀλλὰ γίνε σὰν ἄνθρωπος, τρώγοντας καὶ πίνοντας ὅσο εὐχαριστιέσαι· τὸ ἴδιο καὶ ὅταν σοῦ ἔρχεται νὰ διαβάσεις καὶ βλέπεις στὴν καρδιά σου κατάνυξη, διάβασε ὅσο μπορεῖς· τὸ ἴδιο καὶ μὲ τὴν ψαλμωδία. Τὴν εὐχαριστία ὅμως καὶ τό, «Κύριε ἐλέησον», νὰ τὰ κρατᾶς σύμφωνα μὲ τὴ δύναμη σου καὶ νὰ μὴ φοβηθεῖς· διότι τὰ χαρίσματα τοῦ Θεοῦ εἶναι ἀμετάβλητα[91].

183

Παράκληση καὶ ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ὁ ἴδιος μετὰ τὴ θεραπεία, ἐπειδὴ πόνεσε τὸ στομάχι του, ἔστειλε νὰ παρακαλέσει τὸν μεγάλο Γέροντα νὰ προσευχηθεῖ γι' αὐτὸν λέγοντας· τὰ μεσάνυχτα μοῦ ξηραίνεται τὸ στόμα καὶ τὰ βλέφαρα καὶ τὰ χέρια καὶ τὰ πόδια· καὶ ὅταν ξυπνήσω, τρέμει γιὰ ὥρα ὅλο τὸ σῶμα μου, ἀρχίζοντας

---

89. Α΄ Θεσ. 5,17.
90. Ρωμ. 8,26.
91. Ρωμ. 11,29.

τοῦ στομάχου. Καὶ λοιπὸν ἐκλύομαι καὶ ὡς πηλὸς γίνομαι. Καὶ θέλω εἰπεῖν ψαλμὸν καὶ οὐ δύναμαι διὰ τοῦ στόματος καὶ ἐὰν θελήσω τῇ καρδίᾳ μου εἰπεῖν, περιγίνεταί μου ὁ ὕπνος· καὶ λοιπὸν τί ποιήσω οὐκ οἶδα, ὅτι βλέπω ἐμαυτὸν ἐμποδιζόμενον εἰς σωτηρίαν. Παρακαλῶ σε οὖν, πάτερ, διὰ τὸν Κύριον, εὔχου ὑπὲρ ἐμοῦ καὶ δήλωσόν μοι τί ἐστι ταῦτα.

***Ἀπόκρισις** Βαρσανουφίου*

Ἔχει μὲν τὸ πρᾶγμα μικρὰν ἀσθένειαν ἀπὸ τοῦ στομάχου, ἔχει δὲ καὶ βάρος ἀπὸ τῆς ἐνεργείας τῶν δαιμόνων· τῶν δύο οὖν τούτων καταφρόνησον· φησὶ γάρ· «οἱ δὲ τοῦ Χριστοῦ ὄντες, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις».

Ἰδοὺ οὖν εὔχονται οἱ γέροντες ὑπὲρ τῆς ἀγάπης σου· κλαῦσον καὶ σὺ μικρὸν ἐν τῇ προσευχῇ, εὐχαριστῶν τῷ Θεῷ καὶ δεόμενος τοῦ ἐλεηθῆναι, καὶ ἐλεεῖ σε· πάνυ γὰρ ἐλεήμονα Δεσπότην ἔχομεν καὶ οἰκτίρμονα Πατέρα, καὶ οὐδεὶς ἱκανός, οὔτε τῶν ἄνω δυνάμεων, οὔτε τῶν κάτω γνησίων δούλων εἰπεῖν, καθὼς ἄξιον ἐστὶ τὴν ἀγαθότητα αὐτοῦ, πῶς ἐπιποθεῖ ἐλεῆσαι τὸ γένος τῶν ἀνθρώπων. Ἀλλὰ διὰ τοῦτο μακροθυμεῖ ἐφ' ἡμᾶς, ἵνα πλεονάσῃ τὴν ὑπομονὴν ἡμῶν πρὸς τὴν ἡμῶν σωτηρίαν, ὡς ἐδίδαξεν ἡμᾶς λέγων· «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν».

Μὴ οὖν ὀλιγωρήσῃς, ἀδελφέ, ἤρξατο γὰρ ὁ Ἰησοῦς τὸ ποιῆσαι τὸ ἔλεος αὐτοῦ μετὰ σοῦ.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. Εὔχου ὑπὲρ ἐμοῦ.

ΡΠΔ΄

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.*

ἀπὸ τὸ στομάχι. Στὴ συνέχεια παραλύω καὶ γίνομαι σὰν πηλός. Θέλω νὰ πῶ ψαλμὸ μὲ τὸ στόμα καὶ δὲ μπορῶ, καὶ ἐὰν θελήσω νὰ πῶ μὲ τὴν καρδιά, μοῦ ἔρχεται ὕπνος· καὶ δὲν ξέρω λοιπὸν τί νὰ κάνω, διότι βλέπω τὸν ἑαυτό μου νὰ ἐμποδίζεται γιὰ σωτηρία. Σὲ παρακαλῶ λοιπόν, πάτερ, στὸ ὄνομα τοῦ Κυρίου, προσευχήσου γιὰ μένα καὶ δήλωσέ μου τί εἶναι αὐτά.

Ἀπόκριση Βαρσανουφίου

Ἔχει βέβαια τὸ πρᾶγμα μικρὴ ἀσθένεια ἀπὸ τὸ στομάχι, ἔχει ὅμως καὶ βάρος ἀπὸ τὴν ἐνέργεια τῶν δαιμόνων. Καὶ τὰ δύο λοιπὸν αὐτὰ νὰ τὰ περιφρονήσεις, διότι λέγει· «ἐκεῖνοι ποὺ εἶναι τοῦ Χριστοῦ σταύρωσαν τὴ σάρκα μαζὶ μὲ τὰ πάθη καὶ τὶς ἐπιθυμίες»[92].

Νὰ λοιπόν, οἱ γέροντες προσεύχονται γιὰ τὴν ἀγάπη σου, κλάψε καὶ ἐσὺ λίγο, εὐχαριστώντας μέσα στὴν προσευχὴ τὸ Θεὸ καὶ παρακαλώντας νὰ ἐλεηθεῖς καὶ θὰ σὲ ἐλεήσει· διότι ἔχουμε πολὺ ἐλεήμονα Δεσπότη καὶ οἰκτίρμονα Πατέρα, καὶ κανεὶς δὲν εἶναι ἱκανός, οὔτε ἀπὸ τὶς ἄνω δυνάμεις, οὔτε ἀπὸ τοὺς κάτω γνήσιους δούλους νὰ πεῖ ἀντάξια πρὸς τὴν ἀγαθότητά του, πόσο ἐπιθυμεῖ νὰ ἐλεήσει τὸ γένος τῶν ἀνθρώπων. Ἀλλὰ γι' αὐτὸ δείχνει μακροθυμία πρὸς ἐμᾶς, γιὰ νὰ μεγαλώσει τὴν ὑπομονή μας γιὰ τὴ σωτηρία μας, ὅπως μᾶς δίδαξε λέγοντας· «μὲ τὴν ὑπομονή σας θὰ κερδίσετε τὶς ψυχές σας»[93].

Μὴ ὀλιγωρήσεις λοιπόν, ἀδελφέ, διότι ὁ Ἰησοῦς ἄρχισε νὰ σοῦ δείχνει τὸ ἔλεός του.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο. Προσευχήσου γιὰ μένα.

184

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

92. Γαλ. 5,24.
93. Λουκᾶ 21,19.

Ἄρα κατὰ τί εἶπεν ὁ πατὴρ ἡμῶν, 'ἤρξατο ὁ Ἰησοῦς ποιῆσαι μετὰ σοῦ τὸ ἔλεος αὐτοῦ';

***Ἀπόκρισις** Ἰωάννου*

Περὶ προκοπῆς μεγάλης ὠφελείας ψυχῆς εἶπε· τὸ εὑρεθῆναί σε μετὰ τοιαύτης συνοδίας, μαθ' ἧς ἀναστήσεσθαι μέλλεις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν χαρᾷ μεγάλῃ, ἐὰν ἕως τέλους κρατήσῃς τὴν ὑπομονὴν καὶ τὴν εὐχαριστίαν.

ΡΠΕ'

Αἴτησις τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.

Ἐγὼ πιστεύω, ὅτι ὅσα δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἂν λύσητε, ἔσται λελυμένα. Δέομαί σου, πάτερ, διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, βοήθει μου τῇ ἀσθενείᾳ, ὅτι ψυχῇ καὶ σώματι λελώβημαι καὶ θλίβω τοὺς ἀδελφοὺς μεθ' ὧν οἰκῶ· καὶ αἴτησαι τὸν Θεόν, ἵνα παράσχῃ μοι δι' ἐμαυτοῦ ποιεῖν τὰς χρείας μου, ἵνα μὴ οἱ ἀδελφοὶ βαστάζωσί μου τὰ βάρη· πιστεύω γὰρ ὅτι ὅσα αἰτεῖς τὸν Θεὸν παρέχει σοι· συμπάθησόν μου τῇ ἀσθενείᾳ, πάτερ, καὶ συγχώρησόν μοι.

***Ἀπόκρισις** Βαρσανουφίου*

Αδελφέ, τὸ κλειδίον σου ἀνοίγει μου τὴν θύραν, ἄφρων γάρ εἰμι καὶ οὐ βαστάζω τοῦ κρύψαι τὰ θαυμάσια τοῦ Θεοῦ. Καὶ λοιπὸν εἴ τις ἀκούει μου τοὺς λόγους ἀπὸ ἐκπλήξεως, οὐδὲν ἄλλο λέγει, εἰ μὴ ὅτι ἐξέστη καὶ οὐκ οἶδε· νομίζω τοῦτο ὅτι πάντα τῷ Θεῷ δυνατά· ἀδυνατεῖ δὲ αὐτῷ οὐδέν.

---

94. Ματθ. 8,18.

95. Αὐτὸ τὸ λόγο εἶπε ὁ Ἀββᾶς Πέτρος, ὅτι ἔλεγε ὁ Ἀββᾶς Λὼτ «τὸ κλειδί σου ἀνοίγει τὴ θύρα μου»· ὁ ἀδελφὸς ποὺ πῆρε τὸν Πέτρο εἶπε σ' αὐτόν· «τί σημαίνει αὐτὸς ὁ λόγος;»· ὁ γέροντας, δηλαδὴ ὁ Πέτρος, ἀπάντησε· «ἐὰν σὲ

Ἄραγε γιατί ὁ Πατέρας μᾶς εἶπε ὅτι 'ὁ Ἰησοῦς ἄρχισε νὰ σοῦ δείχνει τὸ ἔλεός του';

Ἀπόκριση Ἰωάννη.

Τὸ εἶπε γιὰ μεγάλη προκοπὴ καὶ ὠφέλεια ψυχῆς· ὅτι θὰ βρεθεῖς μὲ τέτοια συνοδία, μὲ τὴν ὁποία πρόκειται νὰ ἀναστηθεῖς ἐκείνη τὴν ἡμέρα μὲ μεγάλη χαρά, ἐὰν κρατήσεις μέχρι τὸ τέλος τὴν ὑπομονὴ καὶ τὴν εὐχαριστία.

185

Αἴτηση τοῦ ἰδίου πρὸς τὸν μεγάλο Γέροντα.

Ἐγὼ πιστεύω, ὅτι «ὅσα θὰ δέσετε στὴ γῆ, θὰ εἶναι δεμένα στὸν οὐρανό· καὶ ὅσα θὰ λύσετε, θὰ εἶναι λυμένα»[94]. Σὲ παρακαλῶ, Πάτερ, γιὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, νὰ μὲ βοηθήσεις στὴν ἀσθένεια, διότι βλάπτομαι στὴν ψυχὴ καὶ στὸ σῶμα, καὶ στενοχωρῶ τοὺς ἀδελφοὺς μὲ τοὺς ὁποίους μένω· καὶ ζήτησε ἀπὸ τὸ Θεὸ νὰ μοῦ δώσει νὰ κάνω μόνος μου τὶς ἀνάγκες, γιὰ νὰ μὴ βαστάζουν οἱ ἀδελφοὶ τὰ βάρη μου· διότι πιστεύω ὅτι ὅσα ζητεῖς ἀπὸ τὸ Θεό, σοῦ τὰ δίνει. Συμπόνεσέ με, Πάτερ, γιὰ τὴν ἀσθένειά μου, καὶ συγχώρεσέ με.

Ἀπόκριση Βαρσανουφίου

Ἀδελφέ, τὸ κλειδί σου μοῦ ἀνοίγει τὴ θύρα, διότι εἶμαι ἄφρονας καὶ δὲν μπορῶ νὰ κρύψω τὰ θαυμάσια τοῦ Θεοῦ[95]. Ἐὰν λοιπὸν ἀκούει κανεὶς τὰ λόγια μου, ὅταν εἶμαι θαμβωμένος, δὲ λέγει τίποτε ἄλλο, παρὰ ὅτι 'παραφρόνησε καὶ δὲ γνωρίζει τί λέγει'· νομίζω τοῦτο, ὅτι ὅλα εἶναι δυνατὰ στὸ Θεό[96]· τίποτε δὲν εἶναι ἀδύνατο σ' αὐτόν.

πάρει κάποιος λέγεις σ' αὐτὸν 'ὦς εἶσαι; ἀπὸ ποῦ ἦλθες; πῶς εἶναι οἱ ἀδελφοί; ἦρθαν κοντά σου ἢ ὄχί καὶ τότε ἀνοίγεις τὴ θύρα στὸν ἀδελφό σου καὶ ἀκοῦς αὐτὰ ποὺ δὲ θέλει» (Γεροντικὸ σελ. 787 τοῦ Εὐεργετινοῦ).

96. Μαρκ. 10,27.

Ὡς οὖν ἐνήργησε διὰ τῶν πρώτων καὶ ἤγειρε τὸν παραλυτικόν, καὶ πάλιν τὴν Ταβιθᾶ ἀποθανοῦσαν ἐξανέστησεν, οὕτω καὶ διὰ τῶν νῦν δύναται· ἐνώπιον αὐτοῦ λαλῶ καὶ οὐ ψεύδομαι, ὅτι οἶδά τινα δοῦλον Θεοῦ ἐν ταύτῃ τῇ γενεᾷ ἡμῶν, ἐν τούτῳ τῷ καιρῷ, καὶ ἐν τῷ εὐλογημένῳ τόπῳ τούτῳ, ὅτι νεκροὺς δύναται ἐγείρειν ἐν τῷ ὀνόματι τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ δαίμονας ἀπελάσαι, καὶ νόσους ἀνιάτους ἰάσασθαι, καὶ δυνάμεις ἄλλας ποιῆσαι, οὐκ ἔλαττον τῶν Ἀποστόλων, ὡς μαρτυρεῖ ὁ δοὺς αὐτῷ τὸ χάρισμα, μᾶλλον δὲ τὰ χαρίσματα.

Καὶ ταῦτα γὰρ τί εἰσι γενέσθαι ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ; Ἀλλ' οὐ χρῆται τῇ ἰδίᾳ ἐξουσίᾳ, ἐπεὶ καὶ πολέμους καταργῆσαι δύναται, κλεῖσαι δὲ καὶ ἀνοῖξαι τὸν οὐρανὸν κατὰ τὸν Ἠλίαν· πάντοτε γὰρ ἔχει ὁ Κύριος ἡμῶν γνησίους δούλους, οὓς οὐκ ἔτι δούλους, ἀλλὰ υἱοὺς καλεῖ, καὶ εἰ φθονεῖ ὁ ἐχθρός, οὐδὲν χάριτι Χριστοῦ δύναται βλάψαι. Ἡ ναῦς γὰρ τὰς τρικυμίας παρῆλθε, ὁ στρατιώτης τοὺς πολέμους, ὁ κυβερνήτης τὸν χειμῶνα, ὁ γεωργὸς τὴν δυσαερίαν, ὁ ἔμπορος τοὺς λῃστὰς καὶ ὁ μοναχὸς ἐτελειώθη ἐν τῇ μονότητι. Τίς οὐ λέγει, ἀκούων τὰ ὑπέρογκα ταῦτα, ὅτι παρεφρόνησα; Καὶ μετὰ ἀληθείας παραφρονῶ. Ἀλλ' ἐγὼ περὶ ἐμαυτοῦ οὐ μαρτυρῶ, ἀλλὰ περὶ ἄλλου· καὶ εἴ τις θέλει εἰπεῖν ὅτι ἐξέστην ἐμαυτοῦ, ὡς εἶπον, εἴπῃ. Εἴ τις οὖν θέλει ζηλῶσαι τοῦ ἐλθεῖν εἰς τοῦτο τὸ μέτρον μὴ ὀκνήσῃ.

Ταῦτα εἶπον τῇ ἀγάπῃ σου, πληροφορῶν αὐτὴν ὅτι δυνατὸν γενέσθαι ὃ θέλεις· εἰ γὰρ τὰ ἐπουράνια ἀγαθά, τὰ ἀνεκλάλητα καὶ αἰώνια, «ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν», ᾐτησάμέν σοι καὶ ἐχαρίσατό σοι ὁ Θεός, καὶ ἔσται

97. Πράξ. 9,33–34.
98. Πράξ. 9,40.

Ὅπως λοιπὸν ἐνήργησε μὲ τοὺς πρώτους καὶ σήκωσε τὸν παραλυτικό[97], καὶ πάλι ἀνέστησε τὴν Ταβιθᾶ ὅταν πέθανε[98], ἔτσι μπορεῖ καὶ μὲ τοὺς τωρινούς· μιλῶ ἐνώπιον αὐτοῦ καὶ δὲ λέγω ψέματα, διότι γνωρίζω κάποιον δοῦλο τοῦ Θεοῦ στὴ γενεά μας, αὐτὸ τὸν καιρὸ καὶ σ' αὐτὸν τὸν εὐλογημένο τόπο, ποὺ μπορεῖ μὲ τὸ ὄνομα τοῦ Δεσπότη μας Ἰησοῦ Χριστοῦ νὰ ἀνασταίνει νεκροὺς καὶ νὰ διώχνει δαίμονες καὶ νὰ γιατρεύει ἀνίατες ἀρρώστιες καὶ νὰ κάμει ἄλλα θαύματα ὄχι λιγώτερο ἀπὸ τοὺς Ἀποστόλους, ὅπως μαρτυρεῖ αὐτὸς ποὺ τοῦ ἔδωσε τὸ χάρισμα, ἢ καλύτερα τὰ χαρίσματα.

Πράγματι καὶ αὐτὰ τί εἶναι νὰ γίνουν στὸ ὄνομα τοῦ Ἰησοῦ[99]; Ἀλλὰ δὲν χρησιμοποιεῖ τὴ δική του ἐξουσία, διότι μπορεῖ καὶ πολέμους νὰ καταργήσει, καὶ νὰ κλείσει καὶ νὰ ἀνοίξει τὸν οὐρανὸ ὅπως ὁ Ἠλίας· διότι πάντοτε ὁ Κύριός μας ἔχει γνήσιους δούλους, τοὺς ὁποίους ὀνομάζει υἱοὺς καὶ ὄχι δούλους, καὶ ἐὰν ὁ ἐχθρὸς τοὺς φθονεῖ, δὲν μπορεῖ νὰ τοὺς βλάψει σὲ τίποτα μὲ τὴ χάρη τοῦ Χριστοῦ. Τὸ πλοῖο πέρασε τὶς τρικυμίες, ὁ στρατιώτης τοὺς πολέμους, ὁ κυβερνήτης τὴν κακοκαιρία, ὁ γεωργὸς τὸν καταστροφικὸ καιρό, ὁ ἔμπορος τοὺς ληστές, καὶ ὁ μοναχὸς ἐτελειώθη στὴ μοναξιά. Ποιός λοιπὸν ἀκούγοντας αὐτὰ τὰ ὑπέρογκα, δὲ λέγει ὅτι παραφρόνησα; Καὶ πραγματικὰ παραφρονῶ· ἀλλὰ ἐγὼ δὲν μαρτυρῶ γιὰ τὸν ἑαυτό μου, ἀλλὰ γιὰ ἄλλον[1]· καὶ ἂν κανεὶς θέλει νὰ πεῖ ὅτι ξεπέρασα τὸν ἑαυτό μου, ἂς τὸ πεῖ, ὅπως εἶπα. Ἐὰν λοιπὸν θέλει κανεὶς νὰ ζηλεύσει, ὥστε νὰ ἔλθει σ' αὐτὸ τὸ μέτρο, νὰ μὴ διστάσει.

Εἶπα αὐτὰ τὰ πράγματα στὴν ἀγάπη σου γιὰ νὰ τὴν πληροφορήσω ὅτι εἶναι δυνατὸ νὰ γίνει αὐτὸ ποὺ θέλεις· διότι, ἐὰν ζητήσαμε γιὰ χάρη σου τὰ ἐπουράνια ἀγαθὰ τὰ ἀνεκλάλητα καὶ αἰώνια, «τὰ ὁποῖα μάτι δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε καὶ σὲ καρδιὰ ἀνθρώπου δὲν ἀνέβηκαν, τὰ ὁποῖα ὁ Θεὸς ἑτοίμασε γιὰ

99. Δηλαδὴ τίποτε δὲν εἶναι γιὰ τὸ ὄνομα τοῦ Χριστοῦ.

1. Καὶ ὅμως ὅπως φαίνεται γιὰ τὸν ἑαυτό του ὁμιλεῖ.

σοι ταῦτα φυλάττοντι τὰς παραδόσεις, πόσῳ μᾶλλον περὶ τῶν σαρκικῶν παθῶν οὐκ ἔστι κόπος αἰτῆσαι τὸν Θεὸν καὶ λαβεῖν τὴν χάριν εἰς τὸ μὴ ἀσθενῆσαί σε, κἂν μίαν ἡμέραν καὶ θλιβῆναι; Ἀλλ᾽ ὁ Ἰησοῦς οἶδε περισσότερον ἡμῶν τί συμφέρει καὶ ὠφελεῖ τὸν ἄνθρωπον· τὸν μέν, ἵνα λάβῃ τὸν μισθὸν τῆς ὑπομονῆς, κατὰ τὸν Ἰώβ· τοὺς δέ, ἵνα λάβωσι τὸν μισθὸν τῆς διακονίας, κατὰ τὸ Εὐλόγιον τὸν ἀπὸ σχολαστικῶν.

Μηδὲν οὖν αἰτήσῃς παρὰ τοῦ Θεοῦ διὰ τῶν δούλων αὐτοῦ, εἰ μὴ βοήθειαν καὶ ὑπομονήν· «ὁ γὰρ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν». Αὐτῷ μέλει περὶ ἡμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν. Οὐκ οἶδας τί εἶπεν ὁ Κύριος τῷ ἁγίῳ Παύλῳ αἰτοῦντι ἀρθῆναι ἀπ᾽ αὐτοῦ τὴν θλῖψιν, «ἀρκεῖ σοι ἡ χάρις μου»; Μὴ μισῶν αὐτὸν εἶπε τοῦτο, ἢ εἰδὼς τί αὐτῷ συμφέρει; «Μνήσθητι ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς».

Συγχωρήσατέ μοι, καὶ εὔξασθε ὑπὲρ ἐμοῦ τοῦ ἀθλίου, ἵνα κρατήσω κἀγὼ τὰ μέτρα ταῦτα ἕως τέλους· ὁ γὰρ κρατῶν αὐτά, ἤδη ἐγένετο ἀδελφὸς τοῦ Ἰησοῦ.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡΠS'

***Δέησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα, περὶ τοῦ εὑρεῖν ἔλεος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.*

1α. Α' Κορ. 2,9.

ἐκείνους ποὺ τὸν ἀγαποῦν»[1α], καὶ ὁ Θεός σοῦ τὰ ἔδωσε καὶ θὰ σοῦ μείνουν, ἂν φυλάγεις τὶς παραδόσεις, πόσο περισσότερο γιὰ τὰ σαρκικὰ πάθη δὲν εἶναι κόπος νὰ παρακαλέσω τὸ Θεὸ καὶ νὰ λάβεις τὴ χάρη, ὥστε νὰ μὴ ἀσθενήσεις οὔτε νὰ στενοχωρηθεῖς ἔστω καὶ μία μέρα; Ἀλλὰ ὁ Ἰησοῦς γνωρίζει περισσότερο ἀπὸ ἐμᾶς τί συμφέρει καὶ ὠφελεῖ τὸν ἄνθρωπο· τὸν ἕνα γιὰ νὰ πάρει τὸν μισθὸ τῆς ὑπομονῆς σύμφωνα μὲ τὸν Ἰώβ, τοὺς ἄλλους, γιὰ νὰ λάβουν τὸν μισθὸ τῆς διακονίας σὰν τὸν Εὐλόγιο τὸν ἀπὸ τοὺς σχολαστικούς.

Τίποτε λοιπὸν νὰ μὴ ζητήσεις ἀπὸ τὸ Θεὸ μέσω τῶν δούλων του, παρὰ βοήθεια καὶ ὑπομονή· «διότι αὐτὸς ποὺ θὰ ὑπομείνει μέχρι τὸ τέλος, αὐτὸς καὶ θὰ σωθεῖ, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας»[2]. Αὐτὸς μᾶς φροντίζει στοὺς αἰῶνες. Γένοιτο. Δὲν γνωρίζεις τί εἶπε ὁ Κύριος στὸν ἅγιο Παῦλο ποὺ ζητοῦσε νὰ τοῦ φύγει ἡ θλίψη; «σοῦ ἀρκεῖ ἡ χάρη μου»[3]. Τοῦ τὸ εἶπε αὐτὸ μήπως ἐπειδὴ τὸν μισοῦσε, ἢ ἐπειδὴ γνώριζε τί τοῦ συμφέρει; «Θυμήσου, ὅτι τὰ παθήματα τοῦ τωρινοῦ καιροῦ δὲν εἶναι ἄξια πρὸς τὴ μελλοντικὴ δόξα ποὺ πρόκειται νὰ μᾶς ἀποκαλυφθεῖ»[4].

Συγχωρῆστε με καὶ προσευχηθεῖτε γιὰ μένα τὸν ἄθλιο, γιὰ νὰ κρατήσω καὶ ἐγὼ αὐτὰ τὰ μέτρα μέχρι τὸ τέλος· διότι αὐτὸς ποὺ τὰ κρατᾶ ἔγινε ἤδη ἀδελφὸς τοῦ Ἰησοῦ.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

186

Δέηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα
γιὰ νὰ βρεῖ ἔλεος ἐκείνη τὴν ἡμέρα.

---

2. Ματθ. 10,22.
3. Β' Κορ. 12,9.
4. Ρωμ. 8,18.

Ἀπόκρισις *Βαρσανουφίου*

Αδελφὲ Ἀνδρέα καὶ ἀγαπητέ, ἐν Χριστῷ· θαυμάζω σου τὴν ἀγάπην, μᾶλλον δὲ τὴν ἀφελότητα, διστάζουσαν περὶ τῶν ὑποσχέσεων. Εἶπεν ὁ Κύριος τῷ Φιλίππῳ, «ὅλον τὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε;». Πίστευσον, ἀδελφέ, ὅτι κατὰ τὰς ὑποσχέσεις ἔσται ἡμῖν, καί, ἐὰν θελήσητε, περισσότερον· καὶ γὰρ ἔστιν εὑρεῖν μικρὸν ἔλεος· καὶ ἔστιν εὑρεῖν μέγα ἔλεος. Καὶ ὁ Δαβὶδ τὸ μέγα ἐξελέξατο. Ὁ θέλων οὖν τὸ μέγα, διὰ ταπεινότητος καὶ πρᾳότητος καὶ ὑπομονῆς καὶ τῶν τοιούτων ὁμοίων, εὑρίσκει αὐτό. Τὸ οὖν εὑρεῖν ἔλεος, εὐχαῖς ἁγίων εὑρίσκεις, τὸ δὲ μικρὸν ἢ μέγα, ἐν σοὶ κεῖται· ἐπίλεξαι ὃ θέλεις.

Οἴκησον ἐν εἰρήνῃ καὶ ἁγιασμῷ, ἐν ταπεινώσει βαστάζων τὸν πλησίον, ὡς μοναχὸς καὶ ὡς προβεβηκὼς τύπος γινόμενος. Ἔχε οὖν τὸν ἀδελφὸν παρὰ σοὶ τέκνον καὶ ὑπηρέτην, κἂν σφάλῃ ἢ ἀφανίσῃ τίποτε, νουθέτησον αὐτὸν καὶ φανέρωσον αὐτῷ τὸ σφάλμα, ἵνα διορθωθῇ.

Καὶ εὖξαι ὑπὲρ ἐμοῦ.

ΡΠΖ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Πάτερ, κανόνισόν με ὡς ἀρχάριον τὸν μήπω λαβόντα τὸ σχῆμα· καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ὅτι θλίβει με ὁ ἀδελφὸς καὶ ἄλλον ἀναπαύει.

Ἀπόκρισις

Αδελφὲ ποθεινότατε, ἔγραψάς μοι πρᾶγμα ὑπὲρ τὴν δύναμίν σου, τὸ ἐπιτάξαι σοι πρᾶγμα, ὃ οὐ δύνασαι βαστάσαι. Εἶπας γάρ, 'Ἵνα κανονίσω σε ὡς ἀρχάριον τὸν μὴ λαβόντα ἀκμὴν τὸ σχῆμα'. Καὶ ἡ τάξις τοῦ ἀρχαρίου αὕτη

'Απόκριση Βαρσανουφίου

Αδελφὲ καὶ ἀγαπητὲ ἐν Χριστῷ 'Ανδρέα· θαυμάζω τὴν ἀγάπη σου, ἢ καλύτερα τὴν ἀφέλεια ποὺ διστάζει γιὰ τὶς ὑποσχέσεις. Ὁ Κύριος εἶπε στὸν Φίλιππο· «ὅλο τὸ χρόνο εἶμαι μαζί σας καὶ δὲν μὲ ἔχεις γνωρίσει Φίλιππε;»[5]. Πίστεψε, ἀδελφέ, ὅτι θὰ γίνει σὲ μᾶς σύμφωνα μὲ τὶς ὑποσχέσεις καὶ ἐὰν θελήσετε, καὶ περισσότερο· διότι εἶναι δυνατὸ νὰ βρεῖτε μικρὸ ἔλεος· καὶ εἶναι δυνατὸ νὰ βρεῖτε μεγάλο ἔλεος. Καὶ ὁ Δαβὶδ διάλεξε τὸ μεγάλο. Αὐτὸς λοιπὸν ποὺ θέλει τὸ μεγάλο τὸ βρίσκει μὲ ταπεινότητα καὶ πραότητα καὶ ὑπομονὴ καὶ μὲ τὰ παρόμοια. Τὸ νὰ βρεῖς λοιπὸν ἔλεος, αὐτὸ πραγματοποιεῖται μὲ τὶς εὐχὲς τῶν ἁγίων· τὸ νὰ εἶναι ὅμως μικρὸ ἢ μεγάλο ἀξαρτᾶται ἀπὸ σένα· διάλεξε αὐτὸ ποὺ θέλεις.

Μεῖνε στὴν εἰρήνη καὶ στὸν ἁγιασμό, βαστάζοντας μὲ ταπείνωση τὸν πλησίον, γινόμενος πρότυπο σὰν μοναχὸς καὶ ἡλικιωμένος. Ἔχε λοιπὸν τὸν ἀδελφὸ κοντά σου ὡς τέκνο καὶ ὑπηρέτη καὶ ἐὰν σφάλλει ἢ καταστρέψει κάτι, συμβούλεψέ τον καὶ φανέρωσέ του τὸ σφάλμα γιὰ νὰ διορθωθεῖ.

Προσευχήσου γιὰ μένα.

187

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Πάτερ, δός μου κανόνα, ὡς ἀρχάριος ποὺ εἶμαι καὶ δὲν πῆρα ἀκόμη τὸ σχῆμα· καὶ προσευχήσου γιὰ μένα, διότι ὁ ἀδελφὸς στενοχωρεῖ ἐμένα καὶ ἀναπαύει ἄλλον.

'Απόκριση

Πολυπόθητε ἀδελφέ, μοῦ ἔγραψες πρᾶγμα πάνω ἀπὸ τὴ δύναμή σου, νὰ σοῦ ἐπιτάξω δηλαδὴ πρᾶγμα, τὸ ὁποῖο δὲ μπορεῖς νὰ βαστάξεις. Διότι εἶπες νὰ σοῦ δώσω κανόνα ὡς ἀρχάριο ποὺ δὲν πῆρες ἀκόμα τὸ σχῆμα. Καὶ ἡ τάξη

5. Ἰω. 14,9.

ἐστί· Διάγειν ἐν ταπεινώσει πολλῇ, μὴ ψηφίζοντα ἑαυτὸν ἔν τινι πράγματι, μὴ λέγοντα τί ἐστι τοῦτο, ἢ διατί τοῦτο, ἀλλ' ἐν ὑπακοῇ καὶ ὑποταγῇ πολλῇ· οὐκ ἰσάζοντα ἑαυτόν τινι, οὐ λέγοντα τιμᾶται ὁ δεῖνα, διατί οὐ τιμῶμαι, ἀναπαύεται κατὰ πάντα, διατί οὐκ ἀναπαύομαι; καταφρονούμενον εἰς πάντα μὴ ἀγανακτεῖν. Ταῦτα τὰ ἔργα τοῦ ἀληθινοῦ ἀρχαρίου, τοῦ θέλοντος μετὰ ἀληθείας σωθῆναι. Καὶ ταῦτα ἄρτι βαρὺ σοί ἐστι βαστάσαι καὶ διὰ τὴν ἀσθένειαν τοῦ σώματος, καὶ διὰ τὸ ἐφθακέναι εἰς τὸ γῆρας.

Σὺ οὖν τὸ βαρὺ ἐζήτησας βαστάσαι, ἐγὼ δὲ τὸ ἐλαφρότερον ἐπιτίθημί σοι, οὐ κατὰ ἀνάγκην, ἀλλὰ κατὰ συμβουλίαν. Ἔχε τὸν ἀδελφὸν ὡς τέκνον, ὡς εἶπόν σοι, ὡς καὶ σὺ ἔχεις αὐτόν, κἂν κατὰ πειρασμὸν ἀναπαύσῃ τινὰ περισσότερόν σου· εἰ τάχα ἐκεῖνον θέλει ὁ Θεὸς ἀναπαῦσαι, σὲ δὲ θλιβῆναι, καὶ ἐπληροφόρησεν αὐτὸν οὕτω ποιῆσαι, σὺ βάστασον, μὴ θλιβῇς. Διὰ τῆς ὑπομονῆς γὰρ τῶν θλίψεων κτώμεθα τὰς ψυχὰς ἡμῶν καὶ οὐ γινόμεθα κοινωνοὶ τῶν παθημάτων τοῦ Χριστοῦ, ἐὰν μὴ διὰ τῆς ὑπομονῆς τῶν θλίψεων. Τὴν εὐχαριστίαν εἰς πάντα κράτει, ὅτι αὕτη πρεσβεύει ὑπὲρ τῆς ἀδυναμίας ἐνώπιον τοῦ Θεοῦ.

Ὁ κανών σού ἐστι τὸ καθίσαι προσέχοντα τοῖς λογισμοῖς καὶ τὸν φόβον τοῦ Θεοῦ ἔχοντα, πῶς ἔχω ἀπαντῆσαι τῷ Θεῷ; Πῶς παρῆλθον τὸν χρόνον τὸν παρελθόντα; Μετανοήσω κἂν νῦν ὅτε ἤγγικέ μου ἡ ἔξοδος καὶ βαστάσω τὸν πλησίον μου, καὶ τὰς παρ' αὐτοῦ θλίψεις καὶ πειρασμούς, ἕως ποιήσῃ μετ' ἐμοῦ ὁ Κύριος τὸ ἔλεος καὶ φέρῃ με εἰς τὴν κατάστασιν τῆς ἀοργησίας, καὶ ἐξορίσῃ ἀπ' ἐμοῦ τὸν φθόνον, τὸ γέννημα τοῦ διαβόλου. Κύλισον τὰς ὀλίγας σου ἡμέρας ἐρευνῶν τοὺς λογισμούς, καὶ ἀντιλέγων τοῖς φέρουσι ταραχήν, νουθετῶν τὸν υἱόν σου ἐν φόβῳ Θεοῦ καὶ ὑπομιμνήσκων αὐτὸν τὰ σφάλματα αὐτοῦ, εἰδὼς ὅτι

τοῦ ἀρχαρίου εἶναι αὐτή· Νὰ ζεῖς μὲ πολλὴ ταπείνωση, νὰ μὴ λογαριάζεις τὸν ἑαυτό σου σὲ τίποτε, νὰ μὴ λέγεις τί εἶναι αὐτὸ ἢ γιατί αὐτό, ἀλλὰ νὰ τὸ δέχεσαι μὲ πολλὴ ὑπακοὴ καὶ ὑποταγή. Νὰ μὴ παραβάλλεις τὸν ἑαυτό σου μὲ κανένα, οὔτε νὰ λέγεις, 'ὁ τάδε τιμᾶται, γιατί δὲν τιμῶμαι κι' ἐγώ; 'Αναπαύεται σὲ ὅλα, γιατί δὲν ἀναπαύομαι κι ἐγώ;' 'Ακόμα καὶ ἂν περιφρονεῖσαι σὲ ὅλα, νὰ μὴ ἀγανακτεῖς. Αὐτὰ εἶναι τὰ ἔργα τοῦ ἀληθινοῦ ἀρχαρίου, ποὺ θέλει νὰ σωθεῖ πραγματικά. Καὶ εἶναι πολὺ βαριὰ αὐτά, ὥστε νὰ τὰ βαστάξεις καὶ λόγω τῆς ἀσθένειας τοῦ σώματος καὶ διότι ἔφθασες στὰ γηρατειά.

Ἐσὺ λοιπὸν ζήτησες νὰ βαστάξεις τὸ βαρὺ καὶ ἐγὼ σοῦ λέγω τὸ ἐλαφρότερο· ὄχι ὡς ὑποχρέωση, ἀλλὰ ὡς συμβουλή. Νὰ ἔχεις τὸν ἀδελφὸ σὰν παιδί, ὅπως σοῦ εἶπα, ὅπως καὶ τὸν ἔχεις, ἀκόμα καὶ ἂν ἀπὸ πειρασμὸ ἀναπαύσει κάποιον ἄλλον περισσότερο ἀπὸ σένα· ἐὰν ὁ Θεὸς θέλει νὰ ἀναπαύσει ἐκεῖνον καὶ νὰ στενοχωρηθεῖς ἐσύ, καὶ τὸν πληροφόρησε νὰ κάμει ἔτσι, ἐσὺ βάσταξε, μὴ στενοχωρηθεῖς. Διότι μὲ τὴν ὑπομονὴ τῶν θλίψεων σώζουμε τὶς ψυχές μας[6] καὶ δὲ γινόμαστε κοινωνοὶ τῶν παθημάτων τοῦ Χριστοῦ παρὰ μὲ τὴν ὑπομονὴ τῶν θλίψεων. Νὰ κρατᾶς σὲ ὅλα τὴν εὐχαριστία, διότι αὐτὴ μεσολαβεῖ γιὰ τὴν ἀδυναμία ἐνώπιον τοῦ Θεοῦ.

Ὁ κανόνας σου εἶναι νὰ καθίσεις προσέχοντας τοὺς λογισμοὺς καὶ ἔχοντας τὸν φόβο τοῦ Θεοῦ, πῶς μπορῶ νὰ συναντήσω τὸ Θεό; Πῶς πέρασα τὸν περασμένο χρόνο; Ἂς μετανοήσω ἔστω καὶ τώρα ποὺ πλησίασε ἡ ἔξοδός μου καὶ ἂς βαστάξω τὸν πλησίον μου καὶ τὶς θλίψεις του καὶ τοὺς πειρασμούς, ὥς ποὺ νὰ μὲ ἐλεήσει ὁ Κύριος καὶ νὰ μὲ φέρει στὴν κατάσταση τῆς ἀοργησίας, νὰ μοῦ διώξει τὸν φθόνο, τὸ γέννημα τοῦ διαβόλου. Πέρασε τὶς λίγες ἡμέρες σου ἐρευνώντας τοὺς λογισμούς, καὶ ἀντιλέγοντας σ' αὐτοὺς ποὺ φέρουν ταραχή, συμβουλεύοντας τὸν υἱό σου μὲ φόβο Θεοῦ καὶ ὑπενθυμίζοντάς του τὰ σφάλματά του, ἔχοντας ὑπόψη σου ὅτι καὶ αὐτὸς εἶναι ἄνθρωπος ποὺ ὑπό-

---

6. Λουκᾶ 21,19.

καὶ αὐτὸς ἄνθρωπός ἐστιν ὑποκείμενος πειρατηρίοις. Ὁ Κύριος Ἰησοῦς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, δώῃ ὑμῖν εἰρηνικὴν κατάστασιν καὶ οἴκησιν κατὰ φόβον αὐτοῦ. Θαυμάζω δὲ πῶς ἀναγινώσκετε τὴν Γραφὴν λέγουσαν· «ἀδελφοί, χαίρετε ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, καὶ οἱ μηδαμινοὶ ταράσσουσιν ὑμᾶς». Γνῶτε κἂν ποῦ ἐστε καὶ οἵαν ἔχετε δύναμιν, καὶ ταπεινωθῇ ὁ σιδηροτράχηλος καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἔσται μεθ' ὑμῶν.

Συγχωρήσατέ μοι καὶ εὔξασθε ὑπὲρ ἐμοῦ, ἵνα μὴ ἀκούσω, «ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;». Καὶ τί ποιήσω τῇ ἀγάπῃ; Ὅμως τὸ ἔλεος αὐτοῦ ἐστι τοῦ Δεσπότου ἡμῶν Θεοῦ.

ΡΠΗ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Λέγει μοι ὁ λογισμός, 'εἶπας ἅπαξ καὶ δεκάκις τῷ ἀδελφῷ, ἄφες αὐτὸν λοιπὸν ποιῆσαι εἴ τι θέλει, καὶ ἀμερίμνησον ὡς εἶπον οἱ πατέρες'.

Ἀπόκρισις

Ἀδελφὲ ποθεινότατε καὶ ὁμόψυχε, εἰρήνη σοι ἔστω, ἣν ἔδωκεν ὁ Κύριος τοῖς μαθηταῖς αὐτοῦ· εἰρήνην γὰρ πρῶτον ἔδωκεν αὐτοῖς ἐξορίζων ἀπ' αὐτῶν πάντας τοὺς σαρκικοὺς λογισμοὺς καὶ πᾶν νόημα διαβολικόν, ἵνα καθαραὶ εὑρεθῶσιν αἱ καρδίαι αὐτῶν καὶ καθαρῶς δέξωνται τὰ μαθήματα καὶ τὰ ἐντάλματα τοῦ αὐτῶν Δεσπότου.

Οὕτω καὶ σύ, ἀγαπητέ, δεξάμενος τὴν φοβερὰν εἰρήνην ταύτην, οὐ παρ' ἐμοῦ, ἀλλὰ παρὰ τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ, συνετῶς καὶ ἀταράχως ἑτοίμασον σεαυτὸν τοῦ ἀκοῦσαι καὶ ποιῆσαι. Οἶδας γὰρ πῶς θέλω σε λαβεῖν καὶ ἀναπτερῶσαι εἰς τὸν οὐρανόν. Πανταχόθεν ὁ διάβολος περιέρχεται ταράξαι σε διὰ

κειται σὲ πειρασμούς. Ὁ Κύριος Ἰησοῦς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, εἴθε νὰ σᾶς δώσει εἰρηνικὴ κατάσταση καὶ οἴκηση σύμφωνα μὲ τὸ φόβο αὐτοῦ. Ἀπορῶ πῶς διαβάζετε τὴ Γραφὴ ποὺ λέγει· «ἀδελφοί, νὰ χαίρεσθε ὅταν περιπέσετε σὲ ποικίλους πειρασμούς, καὶ οἱ μηδαμινοὶ σᾶς ταράσσουν»[7]. Σκεφθεῖτε τουλάχιστο ποῦ εἶσθε καὶ ποιά δύναμη ἔχετε, καὶ ἂς ταπεινωθεῖ ὁ σιδηροτράχηλος καὶ ἡ εἰρήνη τοῦ Θεοῦ θὰ εἶναι μαζί σας.

Συγχωρῆστε με καὶ προσευχηθεῖτε γιὰ μένα, γιὰ νὰ μὴ ἀκούσω, «ἐσὺ ποὺ διδάσκεις ἄλλον δὲ διδάσκεις τὸν ἑαυτό σου;»[8]. Καὶ τί νὰ κάνω μὲ τὴν ἀγάπη; Ὅμως τὸ ἔλεος αὐτοῦ εἶναι τοῦ Δεσπότη μας Θεοῦ.

188

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Ὁ λογισμός μοῦ λέγει, 'ἀφοῦ πεῖς μία φορὰ καὶ δέκα φορὲς στὸν ἀδελφό, ἄφησέ τον μετὰ νὰ κάμει ὅ,τι θέλει καὶ ἀμερίμνησε, ὅπως εἶπαν οἱ Πατέρες'.

Ἀπόκριση

Πολυπόθητε καὶ ὁμόψυχε ἀδελφέ, νὰ ἔχεις εἰρήνη, τὴν ὁποία ἔδωσε ὁ Κύριος στοὺς μαθητές του· διότι πρῶτα τοὺς ἔδωσε εἰρήνη, διώχνοντας ἀπὸ αὐτοὺς ὅλους τοὺς σαρκικοὺς λογισμοὺς καὶ κάθε διαβολικὴ ἔννοια, γιὰ νὰ βρεθοῦν οἱ καρδιές τους καὶ καθαρὲς καὶ νὰ δεχθοῦν καθαρὰ τὰ μαθήματα καὶ τὰ ἐντάλματα τοῦ Δεσπότη τους.

Ἔτσι καὶ σύ, ἀγαπητέ, ἀφοῦ δεχθεῖς αὐτὴ τὴ φοβερὴ εἰρήνη, ὄχι ἀπὸ μένα ἀλλὰ ἀπὸ τὸν Ἰησοῦ Χριστὸ τὸν Σωτήρα, ἑτοίμασε τὸν ἑαυτό σου συνετὰ καὶ ἀτάραχα νὰ ἀκούσεις καὶ νὰ πράξεις. Διότι γνωρίζεις πῶς θέλω νὰ τὸν δεχθεῖς καὶ νὰ πετάξεις στὸν οὐρανό. Ὁ διάβολος περιέρχεται παντοῦ γιὰ νὰ σὲ τα-

---

7. Ἰακ. 1,2.
8. Ρωμ. 2,21.

φθόνου, δι' ὀργῆς, καὶ οὐχ εὗρε χώραν καὶ εἰς τὰ μηδαμινὰ εὗρέ σε χλευαζόμενον, καὶ εἰς αὐτὰ πολεμεῖ σε καὶ ταράττει διὰ σοῦ καὶ τὸν ἀδελφόν. Καὶ τοῦτο, ὅτι ἔγραψά σοι εἰς τὰς προτέρας ἐπιστολὰς εἰπεῖν τῷ ἀδελφῷ τὰ σφάλματα αὐτοῦ καὶ νουθετῆσαι αὐτόν, ἢ κακῶς εἶπον καὶ σὺ κατεφρόνησας, ἢ καλῶς καὶ σὺ ἡττήθης τῷ πολέμῳ. Καὶ χαίρει λοιπὸν κατὰ σοῦ ὁ διάβολος καὶ ἔρχεται ἔχων τὰ πικρὰ δικαιώματα καὶ λέγει σοι· 'εἶπον ἅπαξ καὶ δεκάκις, ἀλλὰ ἄφες αὐτὸν ποιῆσαι ὡς θέλει, καὶ ἀμερίμνησον, ὡς εἶπον οἱ πατέρες, καὶ χλευάζουσί σε καὶ εἰς τοῦτο'. Ἀπέχεις γὰρ τοῦ μέτρου τούτου, ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς. Καὶ θέλεις μαθεῖν;

Ὁ Κύριος εἶπε περὶ τῶν δένδρων, ὅτι καὶ αὐτὰ γεννῶσι καρπούς, μάθε τί γεννᾷ σοι ἡ παρὰ τοῦ διαβόλου σιωπή, ταραχάς, ὀργάς· ὁπότε καὶ ἀπὸ σαυτοῦ ὁρμᾷς εἰς τὸ πρᾶγμα ἄνευ ἐρωτήσεως, παγιδεύῃ ταχύ· οὕτω γὰρ πάσχουσιν οἱ ἀφελεῖς ὡς ἀμαθεῖς. Καὶ δῆλόν σοι ποιήσω, ὅτι ἡ μακροθυμία σου οὐκ ἔστι κατὰ Θεόν· ὅτι θησαυρίζων πολλὰς ἡμέρας, εἰς μίαν κενοῖς τὸ βαλάντιον καὶ εὑρίσκεται κενόν.

Ἡ δὲ κατὰ Θεὸν μακροθυμία, οὐ λαλεῖ ὅλως ἕως τέλους. Καὶ ὅμοιος εἶ, κύριε ἀδελφέ, ὡς δεσπότης πρὸς τὸν αὐτοῦ δοῦλον ἀντὶ τοῦ δοῦναι αὐτῷ ἕνα κόσσον, λέγων αὐτῷ τὰ σφάλματα αὐτοῦ, καὶ ἰδοὺ εἰρήνη· μακροθυμεῖς πολλὰς ἡμέρας καὶ ὕστερον παρέχεις αὐτῷ ἓν ἐπινώτιον καὶ λαμβάνεις τὴν ψυχὴν αὐτοῦ.

ΡΠΘ'

Ὁ αὐτὸς ἠρώτησε τὸν ἄλλον γέροντα τὰ αὐτά.

Καὶ εἰ ὀφείλει μεταβῆναι ἐκ τοῦ κελλίου, τάχα γὰρ παύεται ὁ πόλεμος.

Ἀπόκρισις

Εἰ προσεῖχες καὶ ἐξηκολούθεις τῇ ἀποκρίσει τοῦ Γέροντος, λέγοντός σοι 'μὴ ψηφίσαι σεαυτὸν ἔν τινι, μὴ ζητῆσαι τὴν ἰσότητα ἄλλου', ἀναπαῆναι εἶχες καὶ μὴ

ράξει μὲ φθόνο καὶ ὀργή, ἀλλὰ δὲ βρῆκε εὐκαιρία· σὲ βρῆκε νὰ χλευάζεσαι στὰ μηδαμινὰ καὶ σ' αὐτὰ σὲ πολεμεῖ καὶ διὰ σοῦ ταράζει καὶ τὸν ἀδελφό. Καὶ αὐτό, διότι σοῦ ἔγραψα στὶς προηγούμενες ἐπιστολὲς νὰ πεῖς στὸν ἀδελφὸ τὰ σφάλματά του καὶ νὰ τὸν συμβουλέψεις· λοιπὸν ἢ κακῶς εἶπα καὶ σὺ τὰ περιφρόνησες ἢ καλῶς εἶπα καὶ σὺ νικήθηκες στὸν πόλεμο. Καὶ χαίρεται λοιπὸν ὁ διάβολος μὲ σένα καὶ ἔρχεται ἔχοντας τὰ πικρὰ δικαιώματα καὶ σοῦ λέγει· εἶπα μία καὶ δέκα φορές, ἄφησέ τον νὰ κάμει ὅπως θέλει καὶ ἀμερίμνησε, ὅπως εἶπαν οἱ Πατέρες, καὶ θὰ σὲ χλευάζουν καὶ γι' αὐτό. Διότι ἀπέχεις ἀπὸ αὐτὸ τὸ μέτρο, ὅσο ἀπέχει ὁ οὐρανὸς ἀπὸ τὴ γῆ. Καὶ θέλεις νὰ μάθεις;

Ὁ Κύριος εἶπε γιὰ τὰ δένδρα ὅτι καὶ αὐτὰ γεννοῦν καρπούς· μάθε τί σοῦ γεννᾶ ἡ σιωπὴ ἀπὸ τὸν διάβολο· ταραχές, ὀργές, ὁπότε καὶ ἀπὸ μόνος σου ὁρμᾶς στὸ πρᾶγμα χωρὶς ἐρώτηση, καὶ παγιδεύεσαι γρήγορα· διότι ἔτσι παθαίνουν οἱ ἀφελεῖς σὰν ἀμαθεῖς. Καὶ θὰ σοῦ φανερώσω ὅτι ἡ μακροθυμία σου δὲν εἶναι σύμφωνη μὲ τὸ Θεό· ἐνῶ δηλαδὴ θησαυρίζεις πολλὲς ἡμέρες, ἀδειάζεις σὲ μία μέρα τὸ βαλάντιο καὶ βρίσκεται κενό.

Ἀντιθέτα ἡ κατὰ Θεὸν μακροθυμία δὲ μιλᾶ καθόλου μέχρι τέλους. Καὶ νὰ εἶσαι ὅμοιος, κύριε ἀδελφέ, σὰν ἕνας κύριος πρὸς τὸν δοῦλο του πού, ἀντὶ νὰ τοῦ δώσει ἕνα ράπισμα, τοῦ λέγει τὰ σφάλματά του, καὶ νά, ἐπικρατεῖ εἰρήνη. Μακροθυμεῖς πολλὲς ἡμέρες καὶ ὕστερα τοῦ δίνεις ἕνα φοβερώτατο χτύπημα καὶ παίρνεις τὴν ψυχή του.

189

Ὁ ἴδιος ἐρώτησε τὸν ἄλλο γέροντα τὰ ἴδια.

Ἐπίσης ἐὰν πρέπει νὰ φύγει ἀπὸ τὸ κελλί, διότι ἴσως σταματήσει ὁ πόλεμος.

Ἀπόκριση Ἰωάννη

Ἐὰν πρόσεχες καὶ ἀκολουθοῦσες τὴν ἀπόκριση τοῦ Γέροντα ποὺ σοῦ λέγει νὰ μὴ λογιαριάζεις τὸν ἑαυτό σου σὲ τίποτε καὶ νὰ μὴ ζητήσεις τὴν ἰσότητα μὲ ἄλλον, θὰ

ἐλθεῖν εἰς ταραχὴν καὶ οὐκ ἦν ἐμοῦ χρεία, οὐδὲ ἄλλου τινός.

Βλέπε, ἀδελφέ, ὅτι χλευάζῃ ὑπὸ δαιμόνων. Λέγεις τὰ παραπτώματα τοῦ ἀδελφοῦ εἶναι ἀληθινὰ καὶ εἰπέ μοι, ἀκριβῶς οἶδας ὅτι εἰσὶν ἀληθινά; Τὸ γὰρ εἰπεῖν παραπτώματά τινος ἀπὸ ὑποψίας, ἐνίως οὐχ εὑρίσκονται ἀληθινὰ τὰ παραπτώματα. Περὶ ποίων οὖν εἶπεν ὁ Κύριος τοῖς ἀνθρώποις, «ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν»; Περὶ ποίων ἔλεγε; περὶ τῶν ἀληθινῶν ἢ τῶν ἀπὸ ὑποψίας; Πάντως περὶ τῶν ἀληθινῶν.

Καὶ πῶς κρίνεις καὶ κατακρίνεις τὸν ἀδελφόν σου διὰ τὰ παραπτώματα τῶν τριῶν ἑβδομάδων καὶ οὐκ οἶδας ὅτι εἰς κατάκρισιν μεγάλην βάλλεις σεαυτόν; Καὶ γάρ, ἐὰν ἀπαιτῇς τὸν ἀδελφόν σου ταῦτα, ἔχει ὁ Θεὸς ἀπαιτῆσαί σε τὰ ἐκ νεότητός σου μέχρι τοῦ νῦν. Ποῦ ἐστι ὁ λέγων, «ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν»; Ποῦ τό, «ἀλλήλων τὰ βάρη βαστάζετε»; Ποῦ ἡ ἐπιστολὴ τοῦ Γέροντος ἡ δυναμένη σε κανονίσαι; Ἀντὶ εὐχαριστίας ταῦτα; Οὐκ οἶδας τί λέγεις. «Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν» καὶ τὰ λοιπά. Καὶ πῶς ὑπηρετεῖ ὑμῖν ὁ ἀδελφός; Οὐχὶ διὰ τὸν Θεὸν καὶ τὴν ἀγάπην αὐτοῦ; Καὶ πῶς πλήσσετε τὸν λογισμὸν αὐτοῦ;

Πρόσχες, ὅτι ἐγγύς ἐστιν ἡ ἔξοδός σου, ὡς καὶ ἤκουσας καὶ ὁμολογεῖς· καὶ οὐκ ἀφιᾶσί σε οἱ δαίμονες κρατῆσαι τὸ ἀψήφιστον καὶ ἀναπαῆναι. Πολέμησον πρὸς τοὺς φέροντάς σοι ταραχήν, λογισμούς, καθὼς καὶ ὁ καλόγηρος ἐδήλωσε, καὶ εὑρίσκεις βοήθειαν. Λοιπόν, ἐὰν περιστραφῇς εἰς μυρία μάγγανα, ἐὰν εἴ τι δήποτε ποιήσῃς, ἐὰν μεταβῇς, ὁπότε πόλεμος καὶ πειρασμός ἐστιν, οὐχ ὑπάγει ἀπὸ σοῦ, ἐὰν μὴ πυκτεύσῃς πρὸς τοὺς λογι-

---

9. Ματθ. 6,15.
10. Ἐφ. 4,26.

μοροῦσες ν' ἀναπαυθεῖς καὶ νὰ μὴ ἔλθεις σὲ ταραχὴ καὶ δὲ θὰ μὲ χρειαζόσουν ἐμένα οὔτε κανέναν ἄλλο.

Πρόσεχε, ἀδελφέ, διότι χλευάζεσαι ἀπὸ δαίμονες. Λέγεις ὅτι τὰ παραπτώματα τοῦ ἀδελφοῦ εἶναι ἀληθινά, καὶ πές μου, γνωρίζεις μὲ ἀκρίβεια ὅτι εἶναι ἀληθινά; Διότι, ἂν πεῖς τὰ παραπτώματα κάποιου μὲ ὑποψία, μερικὲς φορὲς δὲν εἶναι ἀληθινὰ παραπτώματα. Γιὰ ποιά λοιπὸν ὁ Κύριος εἶπε στοὺς ἀνθρώπους, «ἀλήθεια σᾶς λέγω, ἐὰν δὲν συγχωρήσετε στοὺς ἀνθρώπους τὰ παραπτώματά τους, οὔτε ὁ οὐράνιος Πατέρας σας θὰ συγχωρήσει τὰ παραπτώματά σας»[9]; Γιὰ ποιά ἔλεγε; Γιὰ τὰ ἀληθινὰ ἢ γιὰ τὰ ὑποτιθέμενα; Ὁπωσδήποτε γιὰ τὰ ἀληθινά.

Καὶ πῶς κρίνεις καὶ κατακρίνεις τὸν ἀδελφό σου γιὰ τὰ παραπτώματα τῶν τριῶν ἑβδομάδων καὶ δὲ σκέφτεσαι ὅτι βάζεις τὸν ἑαυτό σου σὲ μεγάλη κατάκριση; Διότι, ἐὰν ἀπαιτεῖς αὐτὰ ἀπὸ τὸν ἀδελφό σου, ὁ Θεὸς μπορεῖ ν' ἀπαιτήσει ἀπὸ σένα τὰ ἀπὸ τὴ νεότητά σου μέχρι τώρα. Ποὺ εἶναι αὐτὸς ποὺ λέγει, «ὁ ἥλιος νὰ μὴ δύσει καὶ σᾶς βρεῖ μὲ τὸν παροργισμό σας»[10]; Ποῦ εἶναι τό, «νὰ βαστάζετε τὰ βάρη μεταξύ σας»[11]; Ποῦ εἶναι ἡ ἐπιστολὴ τοῦ Γέροντα ποὺ μπορεῖ νὰ σὲ βάλει σὲ κανόνα; Ἀντὶ εὐχαριστίας αὐτά; Δὲ γνωρίζεις τί λέγεις. «Μοῦ ἀνταπέδοσαν κακὰ ἀντὶ τῶν ἀγαθῶν»[12] καὶ τὰ λοιπά. Καὶ πῶς σὲ ὑπηρετεῖ ὁ ἀδελφός; Ὄχι χάριν τοῦ Θεοῦ καὶ τῆς ἀγάπης του; Καὶ πῶς χτυπᾶς τὸ λογισμό του;

Πρόσεχε, διότι εἶναι κοντὰ ἡ ἔξοδός σου, ὅπως καὶ ἄκουσες καὶ ὁμολογεῖς· καὶ οἱ δαίμονες δὲ σὲ ἀφήνουν νὰ κρατήσεις τὸ ἀψήφιστο καὶ νὰ ἀναπαυθεῖς. Πολέμησε τοὺς λογισμοὺς ποὺ σοῦ φέρουν ταραχή, ὅπως ἐδήλωσε ὁ καλόγηρος, καὶ θὰ βρεῖς βοήθεια. Ἐὰν λοιπὸν περιστραφεῖς σὲ μύρια μαγγάνια, ἐὰν θὰ κάνεις ὁτιδήποτε, ἐὰν φύγεις, ὁπότε εἶναι πόλεμος καὶ πειρασμός, δὲ θὰ φύγει ἀπὸ σένα, ἐὰν δὲν ἀγωνισθεῖς πρὸς τοὺς λο-

---

11. Γαλ. 6,2.
12. Ψαλμ. 34,12.

σμούς. Ἐὰν ἔχῃς ἐκ τῶν ἰδίων κόπων μικρόν τι συμμίξαι μετὰ τῆς δεήσεως τῶν ἁγίων· «πολλὰ γὰρ ἰσχύει ὅταν ᾖ ἐνεργουμένη». Εἰπὲ τῷ λογισμῷ, 'αὔριον ἀποθνήσκεις'· κράτει τὸ ἀψήφιστον καὶ ἀναπαύῃ.

Ὁ Κύριος δώῃ σοι τὴν εἰρήνην αὐτοῦ. Ἀμήν.

ΡϞ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Πάτερ, ἐνουθέτησα ἐν ἀγάπῃ Θεοῦ τὸν ἀδελφὸν καὶ οὐκ ἐδέξατο, καὶ ἐταράχθην· τί οὖν ποιήσω καὶ ἐὰν συντύχω, οἷς ἐκέλευσας ἀδελφοῖς; Εἰπέ μοι, εἰ μηδεὶς ἐκ τούτου λαμβάνει λογισμούς.

Ἀπόκρισις

Ἐπειδὴ οὐ νοοῦμεν τί λέγομεν, πᾶσα νουθεσία ἐῶσα ταραχὴν εἰσελθεῖν εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου, αὕτη νουθεσία κατὰ Θεὸν οὐκ ἔστι, ἀλλ' ἀπὸ τῆς ἐνεργείας τοῦ διαβόλου, μεμιγμένη μετὰ δικαιώματος. Εἰ κατὰ Θεὸν ἐνουθέτησας τὸν πλησίον, πῶς ἐταράχθης; Ἡ γὰρ κατὰ Θεὸν λύπη οὐκ ἀφίησι ταραχθῆναί τινα· ἀλλὰ κἂν ἀπέλθῃ ὁ νουθετούμενος καὶ καταλαλήσῃ αὐτοῦ, οὐ ταράσσεται, ἀλλὰ βαστάζει τὰ βάρη αὐτοῦ. Ἐφανερώθη δὲ καὶ ἡμῖν τὸ πρᾶγμα, ὅτι πειρασμὸς ἦν, ἀλλ' ὁ Θεὸς κατήργησεν αὐτὸν καὶ καταργεῖ.

Ὁ Κύριος δῴη ὑμῖν τὴν ὑγείαν ψυχῆς καὶ σώματος, τοῦ συνιέναι τί εἰσι τὰ μηχανήματα τοῦ πονηροῦ καὶ ἐξειλῆσαι ἀπ' αὐτῶν. Εὔχεσθε ὑπὲρ ἐμοῦ.

Περὶ δὲ τῆς συντυχίας, ὧν εἶπας ἀδελφῶν, ὁπότε κατὰ ἀγάπην Θεοῦ γίνεται, οὐκ ἀφίησι σκάνδαλον εἶναι εἰς τὸ μέσον, ἀλλ' εἰς οἰκοδομήν.

γισμούς. Ἐὰν ἔχεις λίγο ἀπὸ τοὺς κόπους σου νὰ ἀνακατέψεις μὲ τὴ δέηση τῶν ἁγίων· διότι «ὅταν τίθεται σὲ ἐνέργεια αὐτή, ἔχει πολλὴ ἰσχύ»[13]. Πές, στὸ λογισμό, αὔριο πεθαίνεις· κράτησε τὸ ἀκατάκριτο καὶ θ' ἀναπαυθεῖς.

Εἴθε ὁ Κύριος νὰ σοῦ δώσει τὴν εἰρήνη του. Γένοιτο.

190

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πάτερ, συμβούλεψα τὸν ἀδελφὸ μὲ τὴν ἀγάπη κατὰ Θεὸν καὶ δὲ δέχθηκε καὶ ταράχθηκα. Τί νὰ κάνω λοιπὸν καὶ ἐὰν συναντήσω τοὺς ἀδελφοὺς ποὺ μοῦ παρήγγειλες; Πές μου, ἐὰν κανεὶς δὲν δέχεται λογισμοὺς ἀπὸ αὐτόν.

Ἀπόκριση

Ἐπειδὴ δὲν καταλαβαίνουμε τί λέμε, κάθε νουθεσία ποὺ ἀφήνει νὰ μπεῖ στὴν καρδιὰ τοῦ ἀνθρώπου ταραχή, αὐτὴ δὲν εἶναι νουθεσία κατὰ Θεόν, ἀλλὰ προέρχεται ἀπὸ τὴν ἐνέργεια τοῦ διαβόλου καὶ εἶναι ἀναμιγμένη μὲ τιμωρία. Ἐὰν συμβούλεψες τὸν πλησίον κατὰ Θεόν, πῶς ταράχθηκες; Διότι ἡ κατὰ Θεὸν λύπη δὲν ἀφήνει κάποιον νὰ ταραχθεῖ· ἀλλὰ ἀκόμα καὶ ἂν ἀπομακρυνθεῖ ὁ νουθετούμενος καὶ τὸν συκοφαντήσεις, δὲν ταράσσεται, ἀλλὰ βαστάζει τὰ βάρη του. Φανερώθηκε μάλιστα καὶ σὲ μᾶς τὸ πρᾶγμα, ὅτι ἦταν πειρασμός, ἀλλὰ ὁ Θεὸς τὸν κατάργησε καὶ τὸν καταργεῖ.

Εἴθε ὁ Κύριος νὰ σᾶς δώσει ὑγεία ψυχῆς καὶ σώματος, ὥστε νὰ καταλάβετε ὅτι εἶναι οἱ μηχανορραφίες τοῦ πονηροῦ καὶ νὰ γλυτώσετε ἀπ' αὐτές. Νὰ προσεύχεσθε γιὰ μένα.

Γιὰ τὴ συνάντηση τῶν ἀδελφῶν ποὺ εἶπες, ὅποτε γίνεται σύμφωνα μὲ τὴν ἀγάπη τοῦ Θεοῦ, δὲν ἀφήνει νὰ ὑπάρχει στὴ μέση σκάνδαλο, ἀλλὰ συντελεῖ πρὸς οἰκοδομή.

---

13. Ἰακ. 5,16.

ΡϞΑ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Ἀββᾶ, πάνυ θλίβει με ὁ ἀδελφός· καὶ εἰ δυνατὸν ἡδέως ἔχω αὐτὸν ἀλλάξαι· λέγει δέ μοι ὁ λογισμός, ὅτι 'εἰ ἤμην κατ' ἐμαυτόν, οὐκ εἶχον θλιβῆναι, ἀλλὰ μᾶλλον σωθῆναι'. Εἰπέ μοι οὖν εἰ οὕτως συμφέρει.

Ἀπόκρισις

Ἀδελφέ, μὴ θλίψῃ σε τὸ δικαίωμα λέγον, 'εἰ ἤμην κατ' ἐμαυτόν, οὐκ εἶχον θλιβῆναι, ἀλλὰ μᾶλλον σωθῆναι', ἐπεὶ καταργεῖς τὴν Γραφήν, λέγουσαν, «πολλαὶ αἱ θλίψεις τῶν δικαίων», καὶ πάλιν, «πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ». Εἴτε οὖν δίκαιος εἶ, εἴτε ἁμαρτωλός, βαστάσαι ὀφείλεις τὴν μέμψιν· οὐ δυνάμεθα γὰρ εἶναι ἄνευ θλίψεως, ὑπομονὴν ἡμᾶς διδάσκει. Καὶ εὑρίσκομεν ἄριστον διδάσκαλον τὸν Ἀπόστολον λέγοντα, «τῇ θλίψει ὑπομένοντες»· καὶ γὰρ πρόκεινται αἱ θλίψεις τοῖς μέλλουσι σώζεσθαι. Ὁ γὰρ Κύριος εἶπεν, «ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε»· καὶ πάλιν, «διὰ πολλῶν θλίψεων δεῖ ὑμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν».

Βλέπε, ἀδελφέ μου, ὅτι θέλων σε σωθῆναι ὁ εἰπών, «περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου», ἀφῆκέ σε μικρὸν θλιβῆναι, ἵνα εὕρῃς ἐκεῖ τὸ ἔλεος παρ' αὐτοῦ ἀντὶ τῆς ὑπομονῆς ἐν τῇ ὥρᾳ τῇ φοβερᾷ ἐκείνῃ. Ἐὰν γὰρ κατὰ πάντα θέλωμεν τὴν ἀνάπαυσιν, ἀκοῦσαι ἔχομεν, «ἀπελάβετε τὰ ἀγαθὰ ὑμῶν ἐν τῇ ζωῇ ὑμῶν». Ὅλα τὰ πάθη δι' ἡμᾶς ὑπέμεινεν ὁ Δεσπότης ἡμῶν, καὶ πῶς ἡμεῖς μνημονεύοντες αὐτῶν οὐχ ὑπομένομεν, ἵνα συγκοι-

---

14. Ψαλμ. 33,19.
15. Ψαλμ. 31,10.
16. Ρωμ. 12,12.

191

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἀββᾶ, ὁ ἀδελφὸς μὲ στενοχωρεῖ πολύ· καὶ ἐὰν ἦταν δυνατὸ εὐχαρίστως θὰ τὸν ἄλλαζα. Ὁ λογισμὸς μοῦ λέγει, ὅτι, ἐὰν ἤμουν μόνος μου, δὲν θὰ στενοχωριόμουν, ἀλλὰ μᾶλλον θὰ σωζόμουν. Πές μου λοιπὸν ἐὰν συμφέρει ἔτσι.

Ἀπόκριση Ἰωάννη

Αδελφέ, μὴ σὲ στενοχωρήσει τὸ δικαίωμά σου ποὺ σοῦ λέγει, 'ἐὰν ἤμουν μόνος μου, δὲ θὰ θλιβόμουν, ἀλλὰ μᾶλλον θὰ σωζόμουν', ἐπειδὴ καταργεῖς τὴ Γραφὴ ποὺ λέγει, «πολλὲς οἱ θλίψεις τῶν δικαίων»[14]. Καὶ πάλι· «πολλὲς οἱ μάστιγες τοῦ ἁμαρτωλοῦ»[15]. Εἴτε δίκαιος λοιπὸν εἶσαι, εἴτε ἁμαρτωλός, ὀφείλεις νὰ βαστάξεις τὴ μέμψη· διότι δὲ μποροῦμε νὰ ὑπάρχουμε χωρὶς θλίψη, ἡ ὁποία μᾶς διδάσκει ὑπομονή. Καὶ βρίσκουμε ἄριστο διδάσκαλο τὸν Ἀπόστολο ποὺ λέγει· «ὑπομένοντας τὴ θλίψη»[16]· διότι οἱ θλίψεις βρίσκονται μπροστὰ σὲ ἐκείνους ποὺ πρόκειται νὰ σωθοῦν· διότι ὁ Κύριος εἶπε· «μέσα στὸν κόσμο θὰ ἔχετε θλίψη»[17]· καὶ πάλι, «μὲ πολλὲς θλίψεις πρέπει νὰ εἰσέλθετε στὴν βασιλεία τῶν οὐρανῶν»[18].

Πρόσεχε, ἀδελφέ μου, ὅτι, θέλοντας νὰ σὲ σώσει ἐκεῖνος ποὺ εἶπε «ἡ ψυχή μου εἶναι γεμάτη λύπη μέχρι θανάτου»[19], σὲ ἄφησε νὰ θλιβεῖς λίγο, γιὰ νὰ βρεῖς ἐκεῖ τὸ ἔλεος ἀπὸ αὐτὸν ἀντὶ τῆς ὑπομονῆς κατ' ἐκείνη τὴ φοβερὴ ὥρα. Διότι, ἐὰν θέλουμε σὲ ὅλα τὴν ἀνάπαυση, θὰ συμβεῖ ν' ἀκούσουμε, «ἀπολαύσατε τὰ ἀγαθά σας στὴ ζωή σας»[20]. Ὁ Δεσπότης μας ὑπέμεινε ὅλα τὰ πάθη γιὰ μᾶς, καὶ πῶς ἐνθυμούμενοι ἐμεῖς αὐτὰ δὲν δεί-

---

17. Ἰω. 16,33.
18. Πράξ. 14,22.
19. Ματθ. 26,38.
20. Λουκᾶ 16,25.

νωνοὶ αὐτῷ γενώμεθα; Βλέπε, ὅτι ἐντολὴν ἔχομεν ἐν παντὶ εὐχαριστεῖν· μὴ ἑλκύσῃ ἡμᾶς ὁ μισόκαλος εἰς ἀχαριστίαν καὶ ἀπολέσωμεν ὅλα.

Καὶ περὶ τοῦ λαβεῖν ἄλλον ἀδελφόν, τῷ ἀββᾷ οὐκ ἔνι βαρὺ τὸ δοῦναί σοι ἄλλον· τὸ αὐτὸ γάρ ἐστιν αὐτῷ. Ἐὰν οὖν φθάσῃς λαβεῖν ἄλλον καὶ εὑρεθῇ θλίβων σε ἔν τινι, τί πάλιν ἔχεις ποιῆσαι; Εἰ γὰρ καὶ ὁμαλός ἐστιν ὁ ἀδελφός, ἀλλ' ἔχει ἀκεραιότητα ὀλίγην. Οὐχ ὡς κωλύων σε λαβεῖν ἄλλον ταῦτά σοι λέγω, ἀλλὰ τὸ δοκιμάσαι πάντα καὶ κρατῆσαι τὸ καλὸν συμβουλεύω σε. Ὡς γὰρ ὑπηρετεῖ σοί τις διὰ τὸν Θεόν, καὶ σὺ ὀφείλεις τὰ βάρη αὐτοῦ βαστάζειν, ἵνα ἀνταναπληρώσῃς τὸν νόμον τοῦ Χριστοῦ. Ὅτι οὐ θέλω σου τὴν ἀνάπαυσιν; Ὁ Θεὸς οἶδεν, εἰ ἠδυνάμην, ἤθελον ὑπηρετῆσαί σοι πάσας τὰς ἡμέρας μου. Καὶ τί ποιήσω, ὅτι ὅλως χρήσιμός εἰμι; Μισήσωμεν τὴν ἀνάπαυσιν τῆς σαρκός, βδελυκτὴ γάρ ἐστι τῷ Θεῷ, ἵνα μὴ ἀπαλλοτριώσῃ ἡμᾶς τοῦ Θεοῦ.

Ταῦτα ὡς ὁμοψύχῳ ἔγραψά σοι, ὅτι ἐκ Θεοῦ ἐστιν ἡμῖν θλιβῆναι ἡμᾶς μικρόν· ἄνευ γὰρ θλίψεως οὐκ ἔστι προκοπὴ κατὰ φόβον Θεοῦ.

Συγχώρησόν μοι, ὑπομονητέ, καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ἵνα βάλω ἀρχήν· εἰμὶ γὰρ λοιπὸν περὶ τὰ ἔσχατά μου.

ΡϞΒ'

***Ἀπόκρισις** τοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν.*

Χαῖρε, ἀδελφέ, καὶ εὐθύμει, καὶ μὴ ταράξῃ σε ὁ διάβολος εἰς ἀνωφελῆ. Τί νομίζει ἡ ἀγάπη σου, ὅτι χωρὶς συγχωρήσεως Θεοῦ γίνεται τὸ πειρασθῆναί τινα ἢ θλιβῆναι; οὐχί· ἀλλὰ πρὸς ὠφέλειαν ψυχῆς συγχωρεῖ ἡμῖν ὁ Θεὸς ταῦτα γίνεσθαι καὶ βλέπων ὁ διάβολος ὅτι οὕτως ἐστίν, ἀντέ-

χνουμε ὑπομονή, γιὰ νὰ γίνουμε συγκοινωνοί του; Πρόσεχε, ὅτι ἔχουμε ἐντολὴ νὰ εὐχαριστοῦμε μὲ κάθε τρόπο[21]· ἂς μὴ μᾶς παρασύρει ὁ μισόκαλος σὲ ἀχαριστία καὶ τὰ χάσουμε ὅλα.

Ὅσο γιὰ τὸ νὰ πάρεις ἄλλον ἀδελφὸ δὲν εἶναι βαρὺ γιὰ τὸν ἀββᾶ νὰ σοῦ δώσει ἄλλον· διότι τὸ ἴδιο εἶναι γι' αὐτόν. Ἐὰν λοιπὸν φθάσεις νὰ πάρεις ἄλλον καὶ σὲ θλίψει σὲ κάτι, τί μπορεῖς πάλι νὰ κάνεις; Διότι καὶ ἂν ἀκόμα εἶναι ὁμαλὸς ὁ ἀδελφός, θὰ ἔχει λίγη ἀκεραιότητα. Δὲν σοῦ τὰ λέγω αὐτὰ γιὰ νὰ σὲ ἐμποδίσω νὰ πάρεις ἄλλον, ἀλλὰ σὲ συμβουλεύω γιὰ νὰ δοκιμάσεις ὅλα καὶ νὰ κρατήσεις τὸ καλό. Διότι, ὅπως σὲ ὑπηρετεῖ κάποιος γιὰ τὸ ὄνομα τοῦ Θεοῦ, καὶ ἐσὺ ὀφείλεις νὰ βαστάζεις τὰ βάρη του, γιὰ νὰ ἐκπληρώσεις τὸ νόμο τοῦ Χριστοῦ. Δὲν θέλω μήπως τὴν ἀνάπαυσή σου; Ὁ Θεὸς γνωρίζει, ὅτι ἐὰν μποροῦσα, θὰ σὲ ὑπηρετοῦσα ὅλες τὶς ἡμέρες μου. Τί νὰ κάνω, ποὺ εἶμαι σὲ ὅλους χρήσιμος; Ἂς μισήσουμε τὴν ἀνάπαυση τῆς σάρκας, διότι εἶναι βδελυκτὴ στὸ Θεό, γιὰ νὰ μὴ μᾶς ἀποξενώσει ἀπὸ τὸ Θεό.

Σοῦ ἔγραψα αὐτὰ σὰν πρὸς ὁμόψυχο, διότι εἶναι ἀπὸ τὸ Θεὸ τὸ νὰ θλιβόμαστε λίγο· χωρὶς θλίψη δὲν ὑπάρχει προκοπὴ σύμφωνη μὲ τὸν κατὰ Θεὸν φόβο.

Συγχώρησέ με, ὑπομονητικέ, καὶ προσευχήσου γιὰ μένα, γιὰ νὰ βάλω ἀρχή· διότι εἶμαι πιὰ στὰ τελευταῖα μου.

192

Ἀπόκριση τοῦ μεγάλου Γέροντα πρὸς τὸν ἴδιο.

Ἀδελφέ, νὰ χαίρεσαι καὶ νὰ εὐθυμεῖς, καὶ νὰ μὴ σὲ ταράξει ὁ διάβολος σὲ ἀνώφελα. Τί νομίζει ἡ ἀγάπη σου, ὅτι χωρὶς παραχώρηση Θεοῦ γίνεται νὰ πειραχθεῖ κάποιος ἢ νὰ θλιβεῖ; Ὄχι· ἀλλὰ ὁ Θεὸς παραχωρεῖ νὰ γίνονται σὲ μᾶς αὐτὰ γιὰ ὠφέλεια ψυχῆς, καὶ βλέποντας ὁ διάβολος ὅτι

---

21. Α΄ Θεσ. 5,18.

στρεψεν ἡμῖν τὰ πράγματα, καθὼς καὶ ἀπ' ἀρχῆς, ἕως οὗ ἐξέβαλεν ἡμᾶς τῆς ἁγίας εἰρήνης, ἐκ τοῦ Παραδείσου. Τί γὰρ οὐκ ἠλλοίωσεν ἡμῖν; Ἀντὶ τῆς ἁγίας εἰρήνης δεινὴν ἡμῖν οὐκ ἐνέβαλεν ὀργήν; Ἀντὶ μίσους τοῦ παρὰ Θεοῦ τοῦ μισεῖν τὰ κακά, οὐκ ἐνέβαλεν ἡμῖν μῖσος πονηρὸν τοῦ μισεῖν τὰ ἀγαθὰ καὶ αὐτὸν τὸν Θεόν; Ἀλλ' οὐ συνιῶμεν.

Καὶ οὐκ οἴδαμεν ὅτι κόπτων ἀφ' ἡμῶν ὁ Θεὸς πᾶσαν ἐνθύμησιν αἰσχρὰν καὶ πάντα λογισμὸν πονηρὸν καὶ ψυχοφθόρον, εἶπεν ἡμῖν εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν ἡμῶν καὶ εὐλογεῖν τοὺς καταρωμένους καὶ ἐνετείλατο ἀγαπᾶν τοὺς ἐχθροὺς ἡμῶν· καὶ εἰ τοὺς ἐχθροὺς ἐνετάλθημεν ἀγαπᾶν, τοὺς μήτε ἀμελῶς μήτε σπουδαίως ποιοῦντας ἡμῖν διακονίαν, ποίαν ἔχομεν συγγνώμην, μὴ ἀγαπῶντες τοὺς εὐεργετοῦντας καὶ διακονοῦντας ἡμῖν, κἂν ἀμελῶς δεικνύουσιν οἱ δαίμονες ἡμῖν τὴν διακονίαν αὐτῶν γινομένην;

Ἐὰν σωθῆναι θέλῃς καὶ τῷ Θεῷ καὶ ἡμῖν ἐπίστευσας τὴν ψυχήν σου, μὴ πιστεύσῃς τῷ λογισμῷ σου· κακὸν γὰρ σπέρμα σπείρουσιν οἱ δαίμονες, ἄλλα ἀντ' ἄλλων. Ἐξακολούθησον οὖν καὶ μανθάνεις τὴν ὁδὸν τοῦ Θεοῦ· αὐτὸς γὰρ εἶπεν, «ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε» καὶ τὰ λοιπά. Ὥστε οὖν ἐξ ἡμῶν ἐστι τὸ φαγεῖν καὶ τὸ μὴ φαγεῖν· καὶ τί μεμφόμεθα τὸν πλησίον;

Μὴ φέρῃς πρόφασιν εἴς τινα εἰς τίποτε ὅλως, ἀλλ' εἰς πάντα εὐαρέστησον· καὶ μὴ λογίζου κακὸν εἴς τινα, ἐπεὶ γίνῃ κακός· ὁ κακὸς γὰρ κακὰ λογίζεται καὶ ὁ καλὸς τὰ καλά. Τὸ δὲ λογίζεσθαι περί τινων, ὅτι κατ' ἐμοῦ λαλοῦσι, οὗτος ὁ πόλεμος τῶν ἀρχαρίων ἐστί. Ὥστε οὖν ἀπὸ τούτου, ἐὰν ὦσι δύο εὐχόμενοι εἰς ἓν κελλίον, ἢ νουθετοῦντες ἀλλήλους, δύναταί τις εἰπεῖν περὶ αὐτῶν τὰ ἐναντία· κἂν λογίζεται οὕτως, οὐ παρὰ τοῦτο ἀληθεύει, ἀλλὰ ἁπλῶς ἐν τῇ ἀφροσύνῃ αὐτοῦ ἀπώλειαν ἑαυτῷ περιποιεῖται ὁ τοιοῦτος.

συμβαίνει ἔτσι, μᾶς ἀντέστρεψε τὰ πράγματα, ὅπως καὶ ἀπὸ τὴν ἀρχή, μέχρι ποὺ μᾶς ἔδιωξε ἀπὸ τὴν ἁγία εἰρήνη, ἀπὸ τὸν Παράδεισο. Διότι τί δὲν μᾶς ἄλλαξε; Ἀντὶ τῆς ἁγίας εἰρήνης δὲν μᾶς ἔβαλε φοβερὴ ὀργή; Ἀντὶ γιὰ μίσος ποὺ προέρχεται ἀπὸ τὸ Θεὸ νὰ μισοῦμε τὰ κακά, δὲν μᾶς ἔβαλε πονηρὸ μίσος, ὥστε νὰ μισοῦμε τὰ καλὰ καὶ τὸν ἴδιο τὸ Θεό; Ἀλλὰ δὲ συνετιζόμαστε.

Καὶ δὲ γνωρίζουμε ὅτι κόπτοντας ὁ Θεὸς ἀπὸ μᾶς κάθε αἰσχρὴ ἐνθύμηση καὶ κάθε πονηρὸ καὶ ψυχοφθόρο λογισμό, μᾶς εἶπε νὰ προσευχόμαστε γιὰ τοὺς ἐχθρούς μας καὶ νὰ εὐλογοῦμε ἐκείνους ποὺ μᾶς καταρῶνται καὶ μᾶς ἔδωσε ἐντολὴ νὰ ἀγαπᾶμε τοὺς ἐχθρούς μας[22]. Καὶ ἂν διαταχθήκαμε νὰ ἀγαπᾶμε τοὺς ἐχθρούς, ποὺ δὲ μᾶς βοήθησαν οὔτε ἀμελῶς οὔτε σπουδαίως, πῶς θὰ συγχωρηθοῦμε ἐὰν δὲν ἀγαπᾶμε αὐτοὺς ποὺ μᾶς εὐεργετοῦν καὶ μᾶς διακονοῦν, ἀκόμα καὶ ἂν οἱ δαίμονες μᾶς δείχνουν ὅτι ἡ διακονία τους γίνεται μὲ ἀμέλεια;

Ἐὰν θέλεις νὰ σωθεῖς καὶ ἐμπιστεύθηκες τὴν ψυχή σου στὸ Θεὸ καὶ σὲ μᾶς, νὰ μὴ πιστέψεις στὸ λογισμό σου· διότι οἱ δαίμονες σπέρνουν κακὸ σπέρμα, ἄλλα ἀντὶ ἄλλων. Ἀκολούθησε λοιπὸν καὶ θὰ μάθεις τὸν δρόμο τοῦ Θεοῦ· διότι αὐτὸς εἶπε, «ἐὰν θέλετε καὶ ἐὰν μὲ ἀκούσετε, θὰ φᾶτε τὰ ἀγαθὰ τῆς γῆς»[23], καὶ τὰ λοιπά. Ὥστε λοιπὸν ἀπὸ μᾶς ἐξαρτᾶται ἂν θὰ φᾶμε ἢ ἂν δὲν θὰ φᾶμε· γιατί τότε κατακρίνουμε τὸν πλησίον;

Μὴ δώσεις πρόφαση σὲ κανένα ἀπολύτως γιὰ τίποτε, ἀλλὰ νὰ τὸν εὐχαριστεῖς σὲ ὅλα· καὶ νὰ μὴ σκέφτεσαι κακὸ γιὰ κάποιον, ἐπειδὴ γίνεσαι κακός· διότι ὁ κακὸς σκέφτεται τὰ κακὰ καὶ ὁ καλὸς τὰ καλά. Τὸ νὰ σκέφτεσαι γιὰ κάποιους, ὅτι μιλοῦν ἐναντίον μου, αὐτὸς ὁ πόλεμος εἶναι τῶν ἀρχαρίων. Ὥστε λοιπὸν ἀπὸ αὐτό, ἐὰν εἶναι δύο ποὺ προσεύχονται σὲ ἕνα κελλὶ ἢ συμβουλεύουν ὁ ἕνας τὸν ἄλλον, μπορεῖ κανεὶς νὰ πεῖ γι' αὐτοὺς τὰ ἀντίθετα· καὶ ἂν σκέφτεται ἔτσι, δὲν ἀληθεύει σ' αὐτό, ἀλλὰ ἁπλῶς μὲ τὴν ἀφροσύνη του ὁ ἄνθρωπος αὐτὸς προκαλεῖ τὴ δική του ἀπώλεια.

---

22. Ματθ. 5,44. Λουκᾶ 6,27.
23. Ἠσ. 1,19.

Μὴ ἔχε ταῦτα, ἔχει γὰρ ὁ ἀδελφὸς ὅτι δι' ὑμῶν εὑρίσκει ἔλεος. Κἂν θλίβησθε δι' αὐτὸν μικρόν, ἵνα κτήσησθε τὴν ὑπομονήν, χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι μέγας ἐστὶν ὁ μισθὸς τῆς ὑπομονῆς. Καὶ ἤδη πρὸ τούτου ἔμαθες παρὰ τοῦ ἀδελφοῦ Ἰωάννου ὅτι, ἐκτὸς τοῦ Θεοῦ οὐ συγχωρούμεθα θλιβῆναι πρὸς τὴν ἡμῶν ὠφέλειαν.

Μὴ πιστεύσῃς τοῖς δαίμοσιν ἔν τινι κατὰ τοῦ ἀδελφοῦ σου, οὐ γὰρ πρᾶγμα ἔχει· ἀλλ' αὐτοί εἰσιν οἱ θέλοντές σε ταράξαι. Καταργήσοι αὐτοὺς ὁ Κύριος.

Καὶ ὃ ἐλογίσω, ὅτι 'δοῦλος ἀνθρώπων ἦλθον γενέσθαι', οὐκ ἔστι ταπεινώσεως. Ὁ Ἀπόστολος ἐκαυχᾶτο, ὅτι δοῦλος ἐγένετο πάντων, καὶ σὺ ταῦτα λέγεις. Πότε ἔρχῃ εἰς τὸ μέτρον τοῦτο τῆς ταπεινώσεως; Οὐκ οἶδας, τί εἶπας, ἀδελφέ.

ΣΧΟΛΙΟΝ

Ὅρα τὴν σοφίαν τοῦ Γέροντος· ἐπειδὴ γὰρ εἶδεν ἐκεῖνον δοῦλον ἑαυτὸν ὀνομάσαντα καὶ νομίζοντα, ὡς ὅτι μέγα τι λέγει καὶ κατόρθωμα τοῦτο λογιζόμενον, σκώπτει καὶ ἀνάξιον τούτου τοῦ ῥήματος αὐτὸν ἀποφαίνει, διὰ πάντων πρὸς τὴν ἐνεργῆ ταπείνωσιν συνωθῶν. Ἡ γὰρ διὰ λόγου, ὑπερηφανίας ἐστὶ γέννημα καὶ ἀκαταστάτως ἐν τούτῳ τὴν ἰδίαν μητέρα κενοδοξίαν ἀπογεννῶσα· εἰ καὶ παράδοξόν πώς ἐστι τὸ λεγόμενον καὶ ἀνακόλουθον.

ΡϞΓ'

***Ἀπόκρισις** τοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν.*

Θαυμάζω τινάς, ὄντας ἔτη πολλὰ ἐν τοῖς σχολείοις, καὶ πάλιν ἀλφαβητίζοντας καὶ συλλαβίζοντας, ὀφείλοντας εἶναι λοιπὸν τελείως διδασκάλους. Οὕτω καὶ τοὺς

Νὰ μὴ ἔχεις αὐτὰ τὰ πράγματα, διότι ὁ ἀδελφὸς πιστεύει ὅτι θὰ βρεῖ ἔλεος μὲ τὴ βοήθειά σας. Καὶ ἂν στενοχωριέσθε λίγο ἐξαιτίας του, γιὰ νὰ ἀποκτήσετε τὴν ὑπομονή, νὰ χαίρεσθε καὶ νὰ ἀγάλλεσθε, διότι ὁ μισθὸς τῆς ὑπομονῆς εἶναι μεγάλος[24]. Καὶ ἤδη προηγουμένως ἔμαθες ἀπὸ τὸν ἀδελφὸ Ἰωάννη ὅτι ἔξω ἀπὸ τὸ Θεὸ δὲ μᾶς ἐπιτρέπεται νὰ στενοχωριόμαστε γιὰ τὴ δική μας ὠφέλεια.

Νὰ μὴ πιστέψεις λοιπὸν τοὺς δαίμονες σὲ κάτι ἐναντίον τοῦ ἀδελφοῦ σου, διότι δὲν ἔχει βάση, ἀλλὰ αὐτοὶ εἶναι ἐκεῖνοι ποὺ θέλουν νὰ σὲ ταράξουν. Εἴθε νὰ τοὺς καταργήσει ὁ Κύριος.

Καὶ αὐτὸ ποὺ σκέφθηκες, ὅτι ἦρθα νὰ γίνω δοῦλος ἀνθρώπων, δὲν εἶναι γνώρισμα ταπεινώσεως. Ὁ Ἀπόστολος καυχιόταν ὅτι ἔγινε δοῦλος ὅλων[25] καὶ ἐσὺ λέγεις αὐτά; Πότε ἦρθες σ' αὐτὸ τὸ μέτρο τῆς ταπεινώσεως; Δὲ γνωρίζεις, ἀδελφέ, τί εἶπες.

ΣΧΟΛΙΟ

Πρόσεχε τὴ σοφία τοῦ γέροντα. Ὅταν εἶδε ὅτι ἐκεῖνος ὀνόμασε τὸν ἑαυτό του δοῦλο, καὶ νόμισε ὅτι τὸ λέγει αὐτὸ σὰν κάτι μεγάλο καὶ ὅτι τὸ θεωρεῖ κατόρθωμα, τὸν περιπαίζει καὶ τὸν ἀποδεικνύει ἀνάξιο τοῦ λόγου, συνωθώντας τον μὲ ὅλα πρὸς τὴν ἔμπρακτη ταπείνωση. Διότι ἡ ταπείνωση μὲ τὰ λόγια εἶναι γέννημα ὑπερηφάνειας καὶ γεννᾶ ἀκατάστατα σ' αὐτὸν τὴν ἴδια τὴ μητέρα τὴν κενοδοξία, ἂν καὶ τὸ λεγόμενο εἶναι κάπως παράδοξο καὶ ἀνακόλουθο.

193

Ἀπόκριση τοῦ μεγάλου Γέροντα πρὸς τὸν ἴδιο.

Θαυμάζω μερικούς, ποὺ εἶναι πολλὰ χρόνια στὰ σχολεῖα καὶ πάλι ἀλφαβητίζουν καὶ συλλαβίζουν, ἐνῶ ὀφείλουν νὰ εἶναι στὸ ἑξῆς τέλειοι διδάσκαλοι. Ἔτσι θαυμάζω

24. Ματθ. 5,12.
25. Α' Κορ. 9,19.

χρονίζοντας ἐν τῷ σχήματι, ὀφείλοντας διακρίνειν καὶ ἄλλους λογισμοὺς βαθυτέρους, καὶ πολεμουμένους ὑπὸ τῶν πολέμων τῶν ἀρχαρίων. Ὑμεῖς ὀφείλετε ὁδηγεῖν τοὺς πεπλανημένους εἰς εὐθεῖαν ὁδὸν ὡς τέλειοι· καὶ μᾶλλον ἀντὶ τοῦ βαστάσαι τὰ βάρη τῶν ἀδυνάτων, βαρεῖτε διὰ τῆς λύπης εἰς καταποντισμόν.

Πρόσεχε σεαυτῷ, ἀδελφέ. Ἆρα οὐδὲν ἀδικεῖ τὴν ψυχήν σου ἀρτίως τοῦτο ὅτι θλίβεις τὸν λογισμὸν τοῦ πλησίον; Μετὰ γὰρ τοῦ ποιῆσαι τὸν κόπον διὰ τὸν Θεόν, παρέχεις αὐτῷ λογισμούς, ὅτι ὡς ἠθέλησας ἐποίησας; Ἄνθρωπος τέλειος ἀρχαρίῳ ταῦτα; οὐκ ἦν σόν, ἀλλὰ νουθετεῖν, κυβερνᾶν, φοβούμενον τὸν λέγοντα· «μὴ δοῦναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον». Τίς χρεία εἰπεῖν λόγον λυπηρὸν τῷ πλησίον;

Τί δὲ λέγω σοι ταῦτα; Καὶ οὕτως εἰμί, ἡ ἀφροσύνη μου οὐκ ἀφῆκε με βαστάσαι λόγον, ἕως οὗ ἐκβάλω αὐτὸν καὶ ταράξω τὴν ψυχὴν τοῦ ἀδελφοῦ μου, ὁπότε σπείρει ὁ διάβολος εἰς σὲ κακοὺς λογισμοὺς (τοῦτο ἔργον αὐτοῦ ἐστι, σπείρειν ἄλλα ἀντ' ἄλλων), καὶ μνημονεῦσαι τοῦ θανάτου οὐκ ἀφίησι. Τί χειμάζεσθε ἀπὸ οὐδαμινῶν ὡς ἀρχάριοι καὶ ἰδιῶται; Ποῦ ἐστιν, «ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι»; Οἱ πατέρες ἡμῶν ἐπελέγοντο ἑαυτοῖς τὰς θλίψεις, καὶ ἡμεῖς οὐκ αἰσχυνόμεθα πᾶσαν ἀνάπαυσιν ζητοῦντες;

Μάθωμεν οἱ ταλαίπωροι, ὅτι ταῦτα πάντα γέγραπται ἐν τοῖς ἄνω διπτύχοις καὶ ἀπαιτούμεθα ταῦτα μετὰ ἀκριβείας. Ταῦτα γράφω θέλων ἐπᾶραι πᾶσαν τὴν σηπεδόνα. Εἰ δὲ θλίβω ὑμᾶς, συγχωρήσατε, καὶ οὐ προσθήσω ἔτι τοῦ θλῖψαι· εὔξασθε ὑπὲρ ἐμοῦ, ἵνα ἔλθω εἰς ἐπίγνωσιν ζωῆς.

Περὶ δὲ τοῦ θανάτου σου, πολλάκις εἶπον καὶ λέγω, οὐ χρονίζεις ἐν τῷ σώματι.

καὶ αὐτοὺς ποὺ πολυκαιρίζουν στὸ σχῆμα, ἐνῶ ὀφείλουν νὰ διακρίνουν καὶ ἄλλους βαθύτερους λογισμούς. Ἐσεῖς σὰν τέλειοι ὀφείλετε νὰ ὁδηγεῖτε τοὺς πλανημένους στὸν εὐθὺ δρόμο· καὶ μᾶλλον ἀντὶ νὰ βαστάξετε τὰ βάρη τῶν ἀδυνάτων, βαρύνεστε ἀπὸ τὴ λύπη, ὥστε νὰ καταποντιστεῖτε.

Ἀδελφέ, πρόσεχε τὸν ἑαυτό σου. Ἄραγε δὲν ἀδικεῖ σὲ τίποτε τὴν ψυχή σου τώρα αὐτό, τὸ ὅτι στενοχωρεῖς τὸν λογισμὸ τοῦ πλησίον; Μετὰ δηλαδὴ ἀπὸ τὸν κόπο σου γιὰ τὸ Θεό, τοῦ δημιουργεῖς λογισμούς, ὅτι ἔκαμες, ὅπως θέλησες. Τέλειος ἄνθρωπος κάνει αὐτὰ τὰ πράγματα σὲ ἀρχάριο; Δὲν ἁρμόζει σὲ σένα νὰ κάνεις αὐτό, ἀλλὰ νὰ νουθετεῖς, νὰ κυβερνᾶς, φοβούμενος αὐτὸν ποὺ λέγει, «νὰ μὴ δώσεις στὸν ἀδελφὸ ἐμπόδιο ἢ σκάνδαλο»[26]. Ποιά ἡ ἀνάγκη νὰ πεῖς στὸν πλησίον λυπηρὸ λόγο;

Γιατί σοῦ τὰ λέγω αὐτά; Τέτοιος εἶμαι· ἡ ἀφροσύνη μου δὲ μὲ ἄφησε νὰ βαστάξω τὸ λόγο, ὥς ποὺ νὰ τὸν διώξω καὶ νὰ ταράξω τὴν ψυχὴ τοῦ ἀδελφοῦ μου, ὁπότε ὁ διάβολος θὰ σοῦ σπείρει κακοὺς λογισμοὺς (αὐτὸ εἶναι τὸ ἔργο του, νὰ σπέρνει ἄλλα ἀντ' ἄλλων) καὶ δὲν ἀφήνει νὰ θυμηθεῖς τὸ θάνατο. Γιατί βασανίζεσθε ἀπὸ τιποτένια πράγματα σὰν ἀρχάριοι καὶ ἀνόητοι; Ποῦ εἶναι τὸ «ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι»[27]; Οἱ πατέρες μας διάλεγαν γιὰ τοὺς ἑαυτούς τους τὶς θλίψεις καὶ ἐμεῖς δὲ ντρεπόμαστε νὰ ἐπιζητοῦμε κάθε ἀνάπαυση;

Ἂς μάθουμε οἱ ταλαίπωροι ὅτι ὅλα αὐτὰ ἔχουν γραφεῖ στὰ ἐπάνω δίπτυχα καὶ θὰ μᾶς τὰ ἀπαιτήσουν αὐτὰ μὲ ἀκρίβεια. Γράφω αὐτὰ τὰ πράγματα, ἐπειδὴ θέλω ν' ἀφαιρέσω ὅλη τὴ σαπίλα. Ἐὰν σᾶς στενοχωρῶ, συγχωρῆστε με καὶ δὲ θὰ προσθέσω παραπάνω θλίψη. Προσευχηθεῖτε γιὰ μένα, γιὰ νὰ ἔλθω σὲ ἐπίγνωση ζωῆς.

Ὅσο γιὰ τὸ θάνατό σου, εἶπα πολλὲς φορὲς καὶ λέγω ὅτι δὲ χρονίζεις μέσα στὸ σῶμα.

---

26. Ρωμ. 14,13.
27. Ἑβρ. 11,37.

ΡϞΔ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Οἶδας, πάτερ, ὅτι οὐ τολμῶ ὅλως εἰς τίποτε ἀνιλέξαι τῇ κελεύσει σου· εἴ τι γὰρ λέγεις ζωὴν ἡμῖν ἐστι· ἀλλ' εὖξαι ὑπὲρ ἐμοῦ ὅτι πάνυ θλίβει με ὁ ἀδελφός.

Ἀπόκρισις

Χαίροις, ἀγαπητέ μου, χαίροις ἐν Κυρίῳ, ὅτι ἐὰν εἴπω σοι ἐν τῇ φυλακῇ οἰκῆσαι ἐνιαυτὸν ἡμερῶν, οὐκ ἀντιλέγεις· εἰδὼς πῶς καὶ τίνι λαλῶ, συνδούλῳ καὶ ὁμοψύχῳ. Οὐκ οἶδας πῶς λέγει ὁ Ἰώβ, «ἦ οὐχὶ πειρατήριόν ἐστι τὸ κατοικητήριον τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς;».

Γενοῦ τοίνυν ἕτοιμος εἰς πειρασμοὺς καὶ θλίψεις πάντοτε· «καὶ ἐπιλανθάνου πάντων τῶν ὄπισθεν», κατὰ τὸν Ἀπόστολον, «ἐπὶ τὸ ἔμπροσθεν ἐπεκτείνων σεαυτόν», ἵνα μὴ λέγοντός σου ταῦτα κατὰ τοῦ ἀδελφοῦ σου, γένηταί σοι μνησικακία. Ὁ Κύριος συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. Ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ εἰρήνη καὶ ἀγάπη αὐτοῦ ἔσται μεθ' ἡμῶν ἕως τέλους. Ἀμήν.

Καὶ δῴη ὑμῖν χαράν, εὐφροσύνην, ἀγάπην, ἣ οὐδέποτε πίπτει, ἵνα βαστάσητε ἀλλήλους ἐν φόβῳ Θεοῦ· ὁ γὰρ θάνατος οὐ χρονιεῖ.

ΡϞΕ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Εἰπέ μοι, πάτερ, τί ἐστι ταπείνωσις, καὶ εὖξαι τὴν ὁδὸν τοῦ θανάτου εἰρηνικὴν γενέσθαι.

---

28. Ἰὼβ 7,1.

194

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Γνωρίζεις, Πάτερ, ὅτι δὲν τολμῶ νὰ φέρω ἀντίρρηση γιὰ τίποτε στὴν ἐντολή σου· διότι ὅ,τι λέγεις, εἶναι ζωὴ σὲ ἐμᾶς· ἀλλὰ προσευχήσου γιὰ μένα, διότι ὁ ἀδελφὸς μὲ στενοχωρεῖ πολύ.

Ἀπόκριση

Χαῖρε, ἀγαπητέ μου, χαῖρε ἐν Κυρίῳ. Γνωρίζω καὶ πιστεύω ἐν Κυρίῳ ὅτι, ἐὰν σοῦ πῶ νὰ μείνεις στὴ φυλακὴ ἕνα χρόνο, δὲν θὰ φέρεις ἀντίρρηση, διότι ξέρω πῶς καὶ σὲ ποιόν ὁμιλῶ, σύνδουλο καὶ ὁμόψυχο. Δὲν γνωρίζεις τί λέγει ὁ Ἰώβ, «ἢ δὲν εἶναι δοκιμαστήριο ἡ κατοικία τοῦ ἀνθρώπου στῆ γῆ;»[28].

Γίνε λοιπὸν ἕτοιμος στοὺς πειρασμοὺς καὶ στὶς θλίψεις «καὶ ξέχνα ὅλα τὰ περασμένα», σύμφωνα μὲ τὸν Ἀπόστολο, «ἐπεκτεινόμενος πρὸς τὰ μπροστά»[29], ὥστε, λέγοντας αὐτὰ κατὰ τοῦ ἀδελφοῦ σου, νὰ μὴ σοῦ δημιουργηθεῖ μνησικακία. Ὁ Κύριος θὰ συντρίψει τὸν σατανᾶ κάτω ἀπὸ τὰ πόδια μας γρήγορα[30]. Ἡ χάρη τοῦ Θεοῦ καὶ ἡ εἰρήνη καὶ ἡ ἀγάπη του θὰ εἶναι μαζί σας μέχρι τὸ τέλος. Γένοιτο.

Καὶ εἴθε νὰ σᾶς δώσει χαρά, εὐφροσύνη, ἀγάπη, ἡ ὁποία δὲν πέφτει ποτέ, γιὰ νὰ βαστάξετε ὁ ἕνας τὸν ἄλλο μὲ τὸ φόβο τοῦ Θεοῦ· διότι ὁ θάνατος δὲν ἀργεῖ.

195

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πές μου, Πάτερ, τί εἶναι ταπείνωση, καὶ προσευχήσου νὰ γίνει εἰρηνικὸς ὁ δρόμος τοῦ θανάτου.

---

29. Φιλ. 3,13.
30. Ρωμ. 16,20.

Ἀπόκρισις

Η ταπείνωσίς ἐστι, τὸ ἔχειν ἑαυτὸν γῆν καὶ σποδόν, ἔργοις καὶ οὐ λόγοις μόνον· καὶ τὸ εἰπεῖν, ἐγὼ τίς εἰμι; τίς ψηφίζει με; πρᾶγμα οὐκ ἔχω μετά τινος. Καὶ περὶ τοῦ θανάτου σου, ἔτι ὀλίγον χρόνον ὑπόμεινον τὸν Κύριον καὶ δοξάζει σου τὴν ἔξοδον ἐν χαρᾷ πολλῇ.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ μου. Ἀσπάζομαί σε ἐν Κυρίῳ.

ΡϞϚ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Ἀββᾶ, ἰδοὺ ὁ ἀδελφὸς ἠναντιώθη μοι ταχέως καὶ οὐδεμίαν συμπάθειαν ἐνεδείξατο εἰς ἐμέ. Τί οὖν κελεύεις ποιήσω;

Ἀπόκρισις

Αδελφὲ Ἀνδρέα, θαυμάζω σου τὴν ἀφελότητα· οὕτως ἁπλῶς ἔχεις, ὅτι ἡσυχάζει ὁ διάβολος μὴ πειράσαι τινά; Μὴ δυνάμεθα αἰτιάσασθαι τοὺς πίπτοντας ἀπὸ δαίμονος καὶ ἀφρίζοντας; Οὕτως οὐδὲ τοὺς ἐνεργουμένους ὑπὸ τοῦ διαβόλου εἰς ἀντιλογίαν καὶ ἀσυμπάθειαν, οὐ δυνάμεθα αἰτιάσασθαι, ἀλλὰ τὸ πάθος.

Πρόσεχε συνετῶς τοῖς λεγομένοις· καὶ γὰρ καὶ σὺ ἐνεργῇ ὑπὸ τοῦ διαβόλου καὶ οὐ νοεῖς τὰ σά, ἀλλὰ τὰ τοῦ πλησίον ὀξέως βλέπεις. Ἰδοὺ εἶπας τὰ τοῦ ἀδελφοῦ σου, καὶ τὰ σὰ οὐκ εἶπας· ὅτι ὀλίγας ἡμέρας ἔχεις ἐρωτήσας καὶ περὶ ταπεινώσεως καὶ ἀκούσας ἔχειν σεαυτὸν 'γῆν καὶ σποδὸν καὶ μὴ ψηφίζεσθαι'.

Ἀπόκριση

Η ταπείνωση εἶναι, νὰ θεωρεῖς τὸν ἑαυτό σου χῶμα καὶ στάχτη[31], μὲ ἔργα καὶ ὄχι μόνο μὲ λόγια· καὶ τὸ νὰ πεῖς, «ἐγὼ ποιός εἶμαι;»[32], ποιός μὲ ὑπολογίζει; δὲν ἔχω τίποτε μὲ κανένα. Καὶ γιὰ τὸ θάνατό σου, δεῖξε ἀκόμα λίγο ὑπομονὴ στὸν Κύριο καὶ θὰ σοῦ δοξάσει τὴν ἔξοδο μὲ πολλὴ χαρά.

Προσευχήσου γιὰ μένα, ἀδελφέ μου. Σὲ ἀσπάζομαι ἐν Κυρίῳ.

196

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

> Ἀββᾶ, ὁ ἀδελφός μου ἐναντιώθηκε γρήγορα καὶ δὲν μοῦ ἔδειξε καμμία συμπάθεια. Τί παραγγέλλεις λοιπὸν νὰ κάνω;

Ἀπόκριση

Ἀδελφὲ Ἀνδρέα, θαυμάζω τὴν ἀφέλειά σου. Εἶσαι τόσο ἀφελὴς νὰ πιστεύεις ὅτι ὁ διάβολος ἡσυχάζει, ὥστε νὰ μὴ πειράζει κανένα; Μήπως μποροῦμε νὰ κατηγορήσουμε ἐκείνους ποὺ πέφτουν καὶ ἀφρίζουν ἀπὸ τὸ δαίμονα; Ἔτσι δὲν μποροῦμε νὰ κατηγορήσουμε ἐκείνους ποὺ ὁδηγοῦνται ἀπὸ τὸν διάβολο σὲ ἀντιλογία καὶ ἀσυμπάθεια, ἀλλὰ τὸ πάθος.

Πρόσεχε μὲ σύνεση τὰ λεγόμενα· διότι καὶ ἐσὺ ἐνεργεῖσαι ἀπὸ τὸν διάβολο καὶ δὲν σκέφτεσαι τὰ δικά σου, ἀλλὰ βλέπεις καλὰ τὰ τοῦ πλησίον. Εἶπες λοιπὸν τὰ τοῦ ἀδελφοῦ σου καὶ δὲν εἶπες τὰ δικά σου· διότι ἔχεις λίγες ἡμέρες ποὺ ἐρώτησες γιὰ ταπείνωση καὶ ἄκουσες ὅτι πρέπει νὰ θεωρεῖς τὸν ἑαυτό σου

31. Γεν. 18,27.
32. Β΄ Βασ. 7,18.

Ἡ γῆ οὖν καὶ ἡ σποδὸς καὶ τὸ ἀψήφιστον θέλει συμπάθειαν παρά τινος; μάλιστα παρὰ ἀνθρώπου ἐνεργουμένου παρὰ τοῦ μισοκάλου; Καὶ τοῦτο ὅτι τελειότερος αὐτοῦ εἶ, καὶ ἐν τῇ ἡλικίᾳ καὶ ἐν τῷ σχήματι καὶ ἐν τῷ κλήρῳ, καὶ ὁ τελειότερος βαστάσαι ὀφείλει τὸν ἐλάσσονα, λέγων, ὅτι 'ἐγώ εἰμι ὁ ἀνάξιος'.

Ἐὰν δὲ λέγῃς καὶ οὐχ ὑπομένῃς, ἀκαίρως λέγεις· σὺ γὰρ τίς εἶ ὁ ἔχων ὀφθαλμοὺς βλέποντας τὰ ἀλλότρια πάθη; Ἄνθρωπος εὐαγγελισθεὶς ὑπέρμετρα πράγματα· ἀδολεσχῶν γὰρ εἰς αὐτά, ὤφειλες ἐπιλανθάνεσθαι φαγεῖν τὸν ἄρτον σου· ἀλλ' οὔπω ἐγεύσω αὐτῶν, καὶ οὐκ ἐγένοντό σοι ποθητὰ ὡς ἐχρῆν.

Μνήσθητι τοῦ Λαζάρου πόσον χρόνον ὑπέμεινεν εὐχαριστῶν τῷ Θεῷ καὶ μὴ ἐπιλάθου καὶ τούτων, ὧν πολλάκις εἶπόν σοι, φθόνος διαβολικός ἐστι, εἰδὼς τί σοι ἀπόκειται. Ἐγὼ δὲ πιστεύω εἰς τὸν Θεόν, ὅτι οὐδὲν ἔχει ἰσχύσαι.

ΡϞΖ'

***Αἴτησις** εὐχῆς τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ, ὅτι εἰς φαντασίαν ἐνέπεσον.

Ἀπόκρισις

Ἀδελφὲ Ἀνδρέα, συγκράξωμεν τῷ ἁγίῳ Παύλῳ· «ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ». Πῶς καὶ ἡμᾶς ἀνακόπτει τοῦ μὴ μεγαλαυχεῖν ἐπὶ τῷ τόξῳ ἡμῶν, μηδὲ ἔχειν ἐν νῷ, ὅτι ἡ ρομφαία ἡμῶν σώζει ἡμᾶς, ἀλλ' ἡ χάρις τῆς αὐτοῦ ἀγαθότητος. Φησὶ γὰρ ὅτι «χάριτί ἐστε

33. Γεν. 18,27.
34. Λουκᾶ 16,20.

χῶμα καὶ στάχτη[33] καὶ νὰ μὴ τὸν ὑπολογίζεις. Τὸ χῶμα λοιπὸν καὶ ἡ στάχτη καὶ τὸ μὴ ὑπολογίσημο, θέλει συμπάθεια ἀπὸ κανένα; Καὶ μάλιστα ἀπὸ ἄνθρωπο ποὺ ἐνεργεῖται ἀπὸ τὸν μισόκαλο; Κι' αὐτό, ἐνῶ εἶσαι τελειότερος αὐτοῦ καὶ στὴν ἡλικία καὶ στὸ σχῆμα καὶ στὸν κλῆρο, καὶ ὁ τελειότερος ὀφείλει νὰ βαστάξει τὸν ἐλαχιστότερο, λέγοντας, 'ἐγὼ εἶμαι ὁ ἀνάξιος'.

Ἐὰν λέγεις καὶ δὲν ὑπομένεις, λέγεις ἄκαιρα· διότι ποιός εἶσαι ἐσὺ ποὺ ἔχεις μάτια ποὺ βλέπουν τὰ ξένα πάθη; Ἄνθρωπος ποὺ εὐαγγελίσθηκε ὑπέρμετρα πράγματα· διότι ἀσχολούμενος μὲ αὐτά, ὤφειλες νὰ ξεχάσεις νὰ φᾶς τὸ ψωμί σου· ἀλλὰ δὲν τὰ γεύθηκες καὶ δὲν σοῦ ἔγιναν ποθητά, ὅπως ἔπρεπε.

Θυμήσου τὸν Λάζαρο πόσον καιρὸ ὑπέμεινε εὐχαριστώντας τὸ Θεὸ[34] καὶ μὴ ξεχάσεις καὶ αὐτὰ ποὺ σοῦ εἶπα πολλὲς φορές, ὅτι εἶναι διαβολικὸς φθόνος, γνωρίζοντας τί σοῦ ἐπιφυλάσσεται. Ἐγὼ ὅμως πιστεύω στὸ Θεό, ὅτι δὲν μπορεῖ νὰ ὑπερισχύσει.

197

Παράκληση προσευχῆς τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Πάτερ, προσευχήσου γιὰ μένα, διότι ἔπεσα σὲ φαντασία.

Ἀπόκριση

Ἀδελφὲ Ἀνδρέα, θὰ φωνάξουμε μαζὶ μὲ τὸν ἅγιο Παῦλο, «πῶ πῶ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· πόσο ἀνεξερεύνητα εἶναι τὰ κρίματά του, καὶ ἀνεξιχνίαστοι οἱ δρόμοι του»[35]. Πῶς μᾶς ἀνακόπτει καὶ ἐμᾶς, ὥστε νὰ μὴ μεγαλαυχήσουμε γιὰ τὸ τόξο μας, οὔτε νὰ μὴ νομίζουμε ὅτι μᾶς σώζει ἡ ρομφαία μας[36], ἀλλὰ ἡ χάρη τῆς ἀγαθότητάς

35. Ρωμ. 11,33.
36. Ψαλμ. 43,6.

σεσωσμένοι». Διὰ τοῦτο ἀφίησιν ἡμᾶς ἐμπεσεῖν εἰς φαντασίας καὶ εἰς ἄλλα πάθη, ἵνα γνῶμεν ἡμῶν τὴν ἀσθένειαν καὶ ὅπου ἀκμήν ἐσμεν· καὶ τοῦτο ἐκ τῆς ἀγαθότητος αὐτοῦ ἐᾷ ἡμᾶς πρὸς ὠφέλειαν ἡμετέραν, ἵνα ἡ πεποίθησις ἡμῶν ᾖ τοῦ Θεοῦ καὶ μὴ ἐξ ἡμῶν.

Ἀλλὰ βλέπε μὴ νομίσῃς ὅτι θέλημά ἐστι Θεοῦ, ἵνα ἐμπέσωμεν εἰς φαντασίας καὶ ἄλλα πάθη, ἀλλὰ διὰ τὴν ἀμέλειαν ἡμῶν ἐᾷ ἡμᾶς τὰ τοιαῦτα παθεῖν, καὶ ἐκ τῆς φιλανθρωπίας αὐτοῦ ἀπὸ τῶν κακιῶν ἡμῶν προξενεῖ ἡμῖν τὴν ταπείνωσιν εἰς σωτηρίαν. Τί οὖν; τοῖς κακοῖς πάθεσιν ἐπιγράψομεν τὴν σωτηρίαν ἡμῶν; μὴ γένοιτο! ἀλλὰ τῇ αὐτοῦ εὐσπλαγχνίᾳ καὶ παντέχνῳ σοφίᾳ. Κατανόησον οὖν πῶς ἐξήγειρε πάντοθεν τὸν νοῦν ἡμῶν τοῦ μνημονεῦσαι εἰπεῖν· «εἰ μὴ Κύριος ἐβοήθησέ μοι, παρὰ μικρὸν παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου» καὶ τὰ λοιπά.

Εἰδότες οὖν ὅτι διὰ τὴν ἀσθένειαν ἡμῶν καὶ τὴν ἀμέλειαν ταῦτα πάσχομεν, ποιήσωμεν ἡμῶν τὴν δύναμιν, ἵνα μὴ ἐμπέσωμεν εἰς αὐτά· καὶ αὐτοῦ ἔστι τὸ ἔλεος ρύσασθαι ἡμᾶς ἀπ' αὐτῶν. Καὶ ἐπὶ Πέτρου τοῦτο ἐποίησε καὶ Παύλου, ἀποστήσας τὴν δύναμιν πρὸς μικρὸν ἀπ' αὐτῶν, ἵνα γνῶσιν ὅτι ἄνθρωποί εἰσι. Καὶ ὁ μὲν εἰς ἄρνησιν πέπτωκεν, ὁ δὲ ἐν σαργάνῃ ἐχαλάσθη, ἵνα μάθωσι μὴ ἔχειν τὴν πεποίθησιν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ τῶν ἁπάντων Δεσπότῃ.

Καὶ σὺ οὖν μάθε τί εἶ, καὶ ποῦ, καὶ συγγνώμων γενοῦ περὶ τὸ σύνδουλον καὶ κατάκρινον σεαυτόν. Ταπεινώθητι ἀληθινῶς, οὐ μόνον ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τῶν ἀνθρώπων· καὶ ρίψον πᾶσάν σου τὴν μέριμναν ἐπ' αὐτόν, τὸν δυνάμενον ποιῆσαι ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν· καὶ αὐτὸς πληρώσει πάντα σοι τὰ ἐπαγγελθέντα. Οὐ μὴ γὰρ ἀθετήσῃ τοὺς αἰτήσαν-

37. Ἐφ. 2,5.
38. Ψαλμ. 93,17.

του. Διότι λέγει, «μὲ τὴ χάρη ἔχετε σωθεῖ»[37]. Γι' αὐτὸ μᾶς ἀφήνει νὰ πέσουμε σὲ φαντασίες καὶ σὲ ἄλλα πάθη, γιὰ νὰ καταλάβουμε τὴν ἀδυναμία μας, καὶ ποῦ εἴμαστε ἀκόμα· καὶ αὐτὸ ἀπὸ τὴν ἀγαθότητά του· μᾶς ἀφήνει γιὰ δική μας ὠφέλεια, γιὰ νὰ εἶναι ἡ πεποίθησή μας ἀπὸ τὸ Θεὸ καὶ ὄχι ἀπὸ ἐμᾶς.

'Αλλὰ πρόσεχε, μὴ νομίσεις ὅτι εἶναι θέλημα τοῦ Θεοῦ νὰ πέσουμε σὲ φαντασίες καὶ σὲ ἄλλα πάθη, ἀλλὰ λόγω τῆς ἀμέλειάς μας μᾶς ἀφήνει νὰ τὰ παθαίνουμε αὐτά, καὶ ἀπὸ τὴ φιλανθρωπία του, καὶ ἀπὸ τὶς κακίες μας μᾶς προξενεῖ τὴν ταπείνωση γιὰ σωτηρία. Τί λοιπόν; Θὰ ἀποδώσουμε στὰ κακὰ πάθη τὴ σωτηρία μας; Μὴ γένοιτο! 'Αλλὰ στὴν εὐσπλαγχνία του καὶ τὴν πολυμήχανη σοφία. Κατανόησε λοιπὸν πῶς ἐξήγειρε ἀπὸ παντοῦ τὸ νοῦ μας, ὥστε νὰ θυμηθοῦμε νὰ ποῦμε· «ἐὰν δὲν μὲ βοηθοῦσε ὁ Κύριος, ἡ ψυχή μου παρὰ λίγο θὰ κατοικοῦσε στὸν ἄδη»[38] καὶ τὰ λοιπά.

Γνωρίζοντας λοιπὸν ὅτι παθαίνουμε αὐτὰ ἐξαιτίας τῆς ἀσθένειας καὶ τῆς ἀμέλειάς μας, ἂς προσπαθήσουμε ὅσο μποροῦμε νὰ μὴ πέσουμε μέσα σ' αὐτὰ καὶ δικό του εἶναι τὸ ἔλεος, ὥστε νὰ μᾶς προστατέψει ἀπὸ αὐτά. Καὶ στὸν Πέτρο τὸ ἔκανε αὐτό, καὶ στὸν Παῦλο, δηλαδὴ ἀπομάκρυνε λίγο ἀπὸ αὐτοὺς τὴ δύναμη γιὰ νὰ καταλάβουν ὅτι εἶναι ἄνθρωποι. Ὁ πρῶτος εἶχε πέσει σὲ ἄρνηση[39], ἐνῶ ὁ ἄλλος κατεβάσθηκε μὲ καλάθι[40], γιὰ νὰ μάθουν νὰ μὴ στηρίζουν τὴν πεποίθησή τους στοὺς ἑαυτούς τους, ἀλλὰ στὸ Δεσπότη τῶν ὅλων.

Καὶ ἐσὺ λοιπὸν μάθε τί εἶσαι, καὶ ποῦ· καὶ γίνε συγχωρητικὸς γιὰ τὸν σύνδουλο καὶ κατάκρινε τὸν ἑαυτό σου. Ταπεινώσου πραγματικά, ὄχι μόνο ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τῶν ἀνθρώπων, καὶ παράδωσε ὅλη σου τὴ μέριμνα σ' αὐτὸν[41] ποὺ μπορεῖ νὰ κάνει πολὺ περισσότερα ἀπὸ ἐκεῖνα ποὺ ζητοῦμε ἢ σκεπτόμαστε[42] κι ὁ ἴδιος θὰ σοῦ πραγματοποιήσει ὅλες τὶς ὑπόσχέ-

---

39. Ματθ. 26,69–75.
40. Β' Κορ. 11,33.
41. Α' Πέτρ. 5,7.
42. Ἐφ. 3,20.

τας αὐτὸν γνησίως, ἰδίους καὶ ἐντίμους αὐτοῦ δούλους, τοὺς δι' αὐτοῦ καὶ ἐν αὐτῷ ἐλευθερώσαντας ἑαυτοὺς ἀπὸ ὅλου τοῦ παλαιοῦ ἀνθρώπου, καὶ ἀκούσαντας παρ' αὐτοῦ μετὰ χαρᾶς ἀνεκλαλήτου, ὅτι «ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς» καὶ τὰ λοιπά, καὶ ἔδωκεν αὐτοῖς πᾶσαν ἐξουσίαν ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.

Λοιπὸν δούλευσον τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιῶ αὐτῷ ἐν τρόμῳ· καὶ εὐχαρίστησον αὐτῷ ἀκαταπαύστῳ στόματι, ὅτι ἠλέησέ σε, καὶ ἄλλους πολλούς, διὰ τῶν δούλων αὐτοῦ.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΡϞΗ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν αἰτήσαντα εὐχήν.*

Ὁ Θεὸς ὁ οἰκτίρμων, ὁ ὕψιστος καὶ ἐλεήμων, δώῃ ὑμῖν τὴν ἐξ ὕψους δύναμιν τοῦ πάντοτε μελετᾶν τὰ γραφόμενα ὑμῖν λόγια, καὶ ἐργάσασθαι ἔργον ἀληθινὸν πνευματικόν, τοῦτ' ἔστι πολεμῆσαι πρὸς τοὺς ταράσσοντας ὑμᾶς λογισμούς· καὶ ἵνα εὑρεθῆτε μετὰ τῶν λαβόντων τὰ τάλαντα καὶ διπλασιασάντων, καὶ ἀκούσητε ἃ ἤκουσαν, καὶ ἵνα πυκτεύσητε τοῦ βαστάσαι ἀλλήλους· καὶ ποιήσῃ ἡ γῆ ὑμῶν τῷ Θεῷ καρποὺς καλοὺς καὶ εὐκαίρους, ἀνὰ ἑκατόν, ἀνὰ ἑξήκοντα, ἀνὰ τριάκοντα.

Αὕτη ἐστὶν ἡ εὐχή μου ἡ πρὸς τὸν Θεόν, ἵνα, φυλαξάντων ὑμῶν ταῦτα, ἴδω ὑμᾶς ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ γνησίους φίλους, ἀγαλλιωμένους ἐν Κυρίῳ.

---

43. Ματθ. 18,18.

σεις. Διότι δὲν θὰ ἀπαρνηθεῖ ἐκείνους ποὺ τὸν παρακάλεσαν γνήσια, τοὺς δικούς του ἔντιμους δούλους, ποὺ ἐλευθέρωσαν τοὺ ἑαυτούς τους ἀπὸ ὅλο τὸν παλαιὸ ἄνθρωπο δι' αὐτοῦ καὶ ἐν αὐτῷ καὶ ἄκουσαν ἀπὸ αὐτὸν μὲ ἀνεκδιήγητη χαρὰ ὅτι «ὅσα δέσετε στὴ γῆ, θὰ εἶναι δεμένα στοὺς οὐρανούς»[43], καὶ τὰ λοιπά, καὶ τοὺς ἔδωσε κάθε ἐξουσία στὸν οὐρανὸ καὶ στὴ γῆ[44].

Ὑπηρέτησε λοιπὸν τὸν Κύριο μὲ φόβο καὶ ἀγάλλου στὸ ὄνομα αὐτοῦ μὲ τρόμο[45], καὶ εὐχαρίστησέ τον ἀκατάπαυστα μὲ τὸ στόμα, διότι ἐλέησε ἐσένα καὶ πολλοὺς ἄλλους μέσω τῶν δούλων του.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

198

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ποὺ ζήτησε προσευχή.

Ο οἰκτίρμων, ὁ ὕψιστος καὶ ἐλεήμων Θεός, εἴθε νὰ δώσει σὲ σᾶς τὴν ἐξ ὕψους δύναμη νὰ μελετᾶτε πάντα τὰ λόγια ποὺ γράφηκαν σὲ σᾶς· καὶ νὰ κάνετε ἔργο ἀληθινὰ πνευματικό, δηλαδὴ νὰ πολεμήσετε τοὺς λογισμοὺς ποὺ σᾶς ταράσσουν, ὥστε νὰ βρεθεῖτε μαζὶ μ' ἐκείνους ποὺ πῆραν τὰ τάλαντα καὶ τὰ διπλασίασαν[46], καὶ νὰ ἀκούσετε ἐκεῖνα ποὺ ἄκουσαν, καὶ γιὰ νὰ ἀγωνισθεῖτε νὰ βαστάξετε ὁ ἕνας τὸν ἄλλον, ὥστε νὰ κάνει ἡ γῆ σας μὲ τὴ βοήθεια τοῦ Θεοῦ καλοὺς καὶ εὐκαιρους καρπούς, ἀνὰ ἑκατό, ἀνὰ ἑξήντα, ἀνὰ τριάντα[47].

Αὐτὴ εἶναι ἡ προσευχή μου πρὸς τὸν Θεό, γιὰ νὰ σᾶς δῶ, ἀφοῦ τὰ φυλάξετε αὐτά, στὴ βασιλεία τοῦ Θεοῦ ὡς γνήσιους φίλους, καὶ γεμάτους ἀγαλλίαση ἐν Κυρίῳ.

---

44. Ματθ. 28,18.
45. Ψαλμ. 2,11.
46. Ματθ. 25,16–17.
47. Ματθ. 13,8.

ΡϞΘ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Εἰπέ μοι, πάτερ, πόθεν ἀνεφύη ἡμῖν ὁ γενόμενος πειρασμός; καὶ εἰς τί ἐκφαίνει; καὶ πῶς καταργεῖται; καὶ εὖξαι ἵνα λυτρωθῶ ἐξ αὐτοῦ.

Ἀπόκρισις

Ὁ μισόκαλος διάβολος, εἰδὼς τὴν ὠφέλειαν τῆς ψυχῆς ὑμῶν καὶ ὅτι ἄλλο κάθισμα σωτηρίας οὐκ ἔνι, ἢ τὸ βαστάσαι ἀλλήλων τὰ βάρη, ἐφθόνησε, καὶ πυκτεύει τοῦ σπεῖραι ὑμᾶς· ἔνθεν οὖν ἀνεφύη ὑμῖν ὁ πειρασμός, ὃν καταργήσοι ὁ Κύριος. Καταργεῖται δὲ ὁ τοιοῦτος πειρασμὸς ἐν τῷ βαστάσαι ἀλλήλων τὰ βάρη καὶ τῷ ὑπερεύξασθαι τοῦ ἀνθρώπου, δι' οὗ ὁ πειρασμὸς γίνεται· ἄνευ γὰρ ἀγῶνος μετὰ συλλογισμοῦ οὐ γίνεται ἔκβασις τῷ πειρασμῷ.

Τὸ δὲ σπεῖραι ἀναχώρησιν ἔνθεν, καὶ τοῦτο πειρασμός ἐστιν ἀπὸ φθόνου αὐτοῦ διὰ δικαιώματος, ἵνα διαρρήξῃ τὴν ἀγάπην τῶν ὑπερευχομένων σου ἁγίων, καὶ ἀποστερήσῃ σε τῆς αὐτῶν βοηθείας.

Ἰδοὺ τὴν εἴσβασιν καὶ τὴν ἔκβασιν τοῦ πειρασμοῦ ἔδειξά σοι. Ὑπόμεινον μικρὸν καὶ λαμβάνεις αὐτῶν κουφισμόν, ἐν Χριστῷ Ἰησοῦ.

Σ'

Ἀπόκρισις *τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν ὀλιγωρήσαντα πρὸς τοὺς ἐπαναστάντας αὐτῷ πειρασμούς.*

Ἀδελφὲ Ἀνδρέα καὶ ὁμόψυχε, μὴ ὀλιγωρήσῃς· οὐ γὰρ ἐγκατέλιπέ σε ὁ Θεός, οὐδὲ ἐγκαταλιμπάνει, ἀλλ ἐπαγγελία ἐστὶ δεσποτικὴ πρὸς τὸν κοινὸν ἡμῶν πατέ-

48. Γαλ. 6,2.

199

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Πές μου, πάτερ, ἀπὸ ποῦ μᾶς φύτρωσε ὁ πειρασμὸς που μᾶς συνέβηκε; καὶ σὲ τί φανερώνεται, καὶ πῶς καταργεῖται; καὶ προσευχήσου γιὰ νὰ λυτρωθῶ ἀπὸ αὐτόν.

Ἀπόκριση

Ὁ μισόκαλος διάβολος, ἐπειδὴ γνωρίζει τὴν ὠφέλεια τῆς ψυχῆς σας καὶ ὅτι δὲν ὑπάρχει ἄλλος τρόπος σωτηρίας παρὰ νὰ ὑπομένετε ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου[48], ἐφθόνησε καὶ ἀγωνίζεται νὰ σᾶς διασκορπίσει· ἀπὸ ἐδῶ λοιπὸν σοῦ γεννήθηκε ὁ πειρασμός, τὸν ὁποῖο εἴθε νὰ καταργήσει ὁ Κύριος. Καὶ ὁ τέτοιος πειρασμὸς καταργεῖται μὲ τὸ νὰ βαστάζετε ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου καὶ μὲ τὸ νὰ προσεύχεται κανεὶς γιὰ τὸν ἄνθρωπο διὰ τοῦ ὁποίου γίνεται ὁ πειρασμός· διότι χωρὶς ἀγώνα μὲ συλλογισμὸ δὲ γίνεται ἔξοδος τοῦ πειρασμοῦ.

Τὸ νὰ σοῦ ἐμπνεύσει ἀναχώρηση ἀπὸ ἐδῶ καὶ αὐτὸ εἶναι πειρασμός, ποὺ γίνεται ἀπὸ τὸ φθόνο του καὶ μὲ τὴν ἐπιδίωξη νὰ διασπάσει τὴν ἀγάπη τῶν ἁγίων ποὺ προσεύχονται γιὰ σένα καὶ νὰ σοῦ στερήσει τὴ βοήθειά τους.

Νὰ λοιπὸν σοῦ ἔδειξα τὴν εἴσοδο καὶ τὴν ἔξοδο τοῦ πειρασμοῦ. Δεῖξε λίγη ὑπομονὴ καὶ θὰ λάβεις ἀνακούφιση ἀπὸ αὐτὰ μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ.

200

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο,

ὅταν ὀλιγώρησε στοὺς πειρασμοὺς ποὺ ἐπαναστάτησαν ἐναντίον του.

Ἀδελφὲ καὶ ὁμόψυχε Ἀνδρέα, μὴ ὀλιγωρήσεις· διότι ὁ Θεὸς δὲν σὲ ἐγκατέλειψε, οὔτε σὲ ἐγκαταλείπει· εἶναι δεσποτικὴ κατάρα πρὸς τὸν Ἀδὰμ τὸν κοινό μας πατέ-

ρα τὸν Ἀδὰμ καὶ οὐ παρελεύσεται, ὅτι «ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου». Καὶ καθὼς προσέταξε τῷ ἔξω ἀνθρώπῳ, οὕτω καὶ τῷ ἔσῳ ἀνθρώπῳ, τὸ ἐν τῇ ἀσκήσει συνεργῆσαι εὐχαῖς τῶν ἁγίων, καὶ πολλὰ ἀνύουσιν, ἵνα μὴ ᾖ ἄκαρπος ὁ ἄνθρωπος.

Καθὼς γὰρ ὁ χρυσὸς πυρούμενος ἐν τῷ χονευτηρίῳ καὶ διὰ τοῦ λιβιδίου κρατούμενος, καὶ τυπτόμενος διὰ τῆς σφύρας δόκιμος γίνεται καὶ εὐπρόσδεκτος εἰς βασιλικὸν διάδημα, οὕτως ὁ κρατούμενος ἄνθρωπος διὰ τῆς εὐχῆς τῶν ἁγίων, τῆς πολλὰ δυναμένης καὶ ἀνυούσης, πυροῦται διὰ τῶν θλίψεων καὶ δέρεται διὰ τοῦ πειρασμοῦ, εἰ ὑπομένει εὐχαριστῶν, καὶ ἀναδείκνυται υἱὸς τῆς βασιλείας.

Ὅλα οὖν πρὸς τὸ συμφέρον σοι γίνονται, ἵνα σχῇς καὶ σὺ παρρησίαν ἀπὸ τῶν ἁγίων, ἀπὸ τῶν ἰδίων πόνων, ὧν τὴν ἀπαρχὴν προσφέρειν μὴ αἰσχύνου.

Μὴ οὖν ἀντὶ τῆς πνευματικῆς χαρᾶς, λύπην σεαυτῷ προσπορίσῃ· καὶ ἔχε πιστὸν τὸν ἐπαγγηλάμενον, ὅτι ποιεῖ.

Ἔρρωσο ἐν Κυρίῳ, ἀγαπητέ.

ΣΑ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, εἰς πολλὴν ἀθυμίαν ἐμπεσόντα.*

Ἀδελφὲ Ἀνδρέα, μὴ δώῃ ὁ φιλάνθρωπος ἡμῶν Θεὸς τῷ μισοκάλῳ ἐχθρῷ σπεῖραι εἰς σὲ τὴν αὐτοῦ λύπην καὶ ἀθυμίαν, ἵνα μὴ εἰς ἀπόγνωσιν ἐνέγκῃ σε περὶ τῶν ἐπηγγελμένων διὰ Πνεύματος ἁγίου σοὶ τῷ ἀγαπητῷ ὑπὸ τοῦ

ρα, καὶ δὲν θὰ ἀκυρωθεῖ, ὅτι «μὲ τὸν ἱδρῶτα τοῦ προσώπου σου θὰ φᾶς τὸ ψωμί σου»[49]. Καὶ ὅπως πρόσταξε στὸν ἐξωτερικὸ ἄνθρωπο, ἔτσι προστάζει καὶ γιὰ τὸν ἐσωτερικὸ ἄνθρωπο, ὥστε νὰ συνεργεῖ στὴν ἄσκηση μὲ τὶς προσευχὲς τῶν ἁγίων, ποὺ καὶ αὐτὲς πολλὰ κατορθώνουν, γιὰ νὰ μὴ εἶναι ὁ ἄνθρωπος ἄκαρπος.

Ὅπως δηλαδὴ ὁ χρυσός, ὅταν πυρώνεται στὸ χωνευτήρι καὶ κρατεῖται μὲ τὴ λαβίδα καὶ χτυπιέται μὲ τὴ σφύρα, γίνεται καθαρὸς καὶ εὐπρόσδεκτος σὲ βασιλικὸ διάδημα, ἔτσι καὶ ὁ κρατούμενος ἄνθρωπος μὲ τὴν προσευχὴ τῶν ἁγίων, ποὺ μπορεῖ καὶ κατορθώνει πολλά, πυρώνεται μὲ τὶς θλίψεις καὶ δέρνεται μὲ τὸν πειρασμό, ἐὰν θὰ τὰ ὑπομένει μὲ εὐχαριστίες, καὶ ἀναδεικνύεται υἱὸς τῆς βασιλείας.

Ὅλα λοιπὸν γίνονται γιὰ τὸ συμφέρον σου, γιὰ νὰ ἔχεις καὶ ἐσὺ παρρησία ἀπὸ τοὺς ἁγίους, καὶ ἀπὸ τοὺς δικούς σου κόπους, ἀπὸ τοὺς ὁποίους μὴ ντρέπεσαι νὰ προσφέρεις τοὺς πρώτους καρπούς.

Μὴ προμηθεύσεις λοιπὸν στὸν ἑαυτό σου λύπη ἀντὶ γιὰ πνευματικὴ χαρά, καὶ θεώρα ἀξιόπιστο τὸν ὑποσχόμενο[50], διότι τὰ ἐκπληρώνει.

Ὑγίαινε ἐν Κυρίω, ἀγαπητέ.

201

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ὅταν ἔπεσε σὲ πολλὴ ἀθυμία.

Αδελφὲ Ἀνδρέα, ὁ φιλάνθρωπος Θεός μας εἴθε νὰ μὴ ἐπιτρέψει στὸν μισόκαλο ἐχθρὸ νὰ σπείρει σὲ σένα τὴ λύπη καὶ τὴν ἀθυμία του, γιὰ νὰ μὴ σὲ φέρει σὲ ἀπόγνωση γιὰ τὰ ὑποσχόμενα διὰ τοῦ ἁγίου Πνεύματος ἀπὸ τὸν εὐ-

49. Γεν. 3,19.
50. Ἑβρ. 10,23.

εὐλογημένου Θεοῦ, ἀλλ' ἀνοίξοι σου τὴν καρδίαν τοῦ συνιέναι τὰς Γραφάς, καθὼς ἤνοιξε τὴν καρδίαν τῶν περὶ Κλεώπαν.

